ἀπὸ τούτου ἕως τοῦ ἐν Τροίῃ ἀπόλοντο (162) ἀθετοῦνται στίχοι τρεῖς, καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον ἐν τῷ τῆς Ἀθηνᾶς λόγῳ ἑξῆς εἰσὶ τεταγμένοι (176), νῦν δὲ ἀνοικειότερον λέγονται A. ἀνοικειότερον L. pro κοινότερον (Vill.) vel κωμικώτερον (Bekk.) Herodian. 459.

ὅτι Ζηνόδοτος γράφει Ἀργείην θ’ Ἑλένην σὺν τῷ συνδέσμῳ, ὥστε εἶναι χωρὶς καύχημα, καὶ σὺν τούτῳ τὴν Ἑλένην. οὐ λέγει δὲ οὕτως, ἀλλ’ αὐτὴν τὴν Ἑλένην καύχημα. A.

σοῖς ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον: ἀθετεῖται καὶ ἀστερίσκος παράκειται, ὅτι καὶ οὗτος πρὸς Ἀθηνᾶς οἰκείως πρὸς Ὀδυσσέα λέγεται (180), καὶ ψεῦδος περιέχει νῦν· οὐ γὰρ ἡ Ἀθηνᾶ παρίσταται ἑκάστῳ, ἀλλ’ ὁ Ὀδυσσεύς. A.

ἀστερίσκος, ὅτι ἐνταῦθα τάξιν ἐπέχουσιν. A. (160—62).

ἀστερίσκος, ὅτι ἐνταῦθα οἰκείως τέτακται. A. (164).

κῆρυξ Εὐρυβάτης: ἡ διπλῆ, ὅτι καὶ ἕτερος Εὐρυβάτης ὁμώνυμος (Α 320 Ι 170). A.

δέξατό οἱ σκῆπτρον: ἡ διπλῆ ὅτι ἀρχαικώτερον δέξατο αὐτῷ τὸ σκῆπτρον ἀντὶ τοῦ παρ’ αὐτοῦ. A. Cf. p. 25.

σὺν τῷ ἔβη: ὅτι Ζηνόδοτος γράφει σὺν τῷ βάς. A.

ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ’ ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς.

πρὸς τὴν τάξιν τῶν ἑξῆς τὸ ἀντίσιγμα (v. ad 192 et 203). A.

ὅτι οὐκ ἐγκλιτέον τὸν δέ σύνδεσμον, ὡς ἄν τις εἴποι ὑφ’ ἓν τόνδε· χρῆται γὰρ ὁ ποιητὴς συνήθως αὐτῷ περισσῷ. ABL. Recinunt ex his et Herodianus et Aristonicus. L. Similis dubitatio, quid utrique tribuendum sit est I 509, de quo vide Lehrs. in Herodiano. Ut hic ἐγκλιτέον, ita ἐγκεκλι-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μένως ἀναγνωστέον Α 277, ἐγκλιτέον τὴν ἀνάγνωσιν Λ 217,
book 189.5.3 Ι 509 συνεγκλίνειν.
book 192.1 οὐ γάρ πω σάφα οἶσθ’ οἷος νόος Ἀτρείωνος:
book 192.2 τὸ ἀντίσιγμα ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺς ἑξῆς παρεστι-
book 192.3 γμένους τρεῖς στίχους (203—5): εἰσὶ γὰρ πρὸς βασιλεῖς ἁρ-
book 192.4 μόζοντες, οὐ πρὸς δημότας· οὐ μέν πως πάντες βασι-
book 192.5.1 λεύσομεν ἐνθάδ’ Ἀχαιοί, οὐκ ἀγαθὸν πολυκοιρανίη
book 192.5.2 καὶ τὰ ἑξῆς. A et L omittens τὸ ἀντίσιγμα.
book h193-7.1 νῦν μὲν πειρᾶται, τάχα δ’ ἴψεται υἷας Ἀχαιῶν.
book h193-7.2 ἐν βουλῇ δ’ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν.
book h193-7.3 μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
book h193-7.4 θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος,
book h193-7.5 τιμὴ δ’ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς.
book 193.1 ἀπὸ τούτου ἕως τοῦ τιμὴ δ’ ἐκ Διός ἐστι (197)
book 193.2 ἀθετοῦνται στίχοι ε′, ὅτι ἀπεοικότες οἱ λόγοι καὶ μὴ προ-
book 193.3 τρεπτικοὶ εἰς καταστολήν. A.
book 196.1 ὅτι Ζηνόδοτος (Pluygers. p. 10) γράφει διοτρεφέων
book 196.2 βασιλήων· ἐπὶ δὲ τὸν Ἀγαμέμνονα ἀναφέρεται ὁ λόγος·
book 196.3 διό φησι φιλεῖ δέ ἑ μητίετα Ζεύς. A. Videtur igitur ἕ
book 196.4 Zenodotus pro plurali accepisse. L.
book h203-5.1 οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ’ Ἀχαιοί,
book h203-5.2 οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
book h203-5.3 εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
book 203.1 τούτῳ καὶ τοῖς μετ’ αὐτὸν δίο ἡ στιγμὴ παράκει-
book 203.2 ται. A. (v. ad 192). Antisigmata et puncta versibus Θ 535-
book 203.3 541 addita significant, aut eos retinendos esse quibus haec aut
book 203.4 eos quibus illa sint appicta.
book 217 φολκός: ἡ διπλῆ, ὅτι ἅπαξ εἴρηται. A. Ar. 14.
book h220-3.1 ἔχθιστος δ’ Ἀχιλῆι μάλιστ’ ἦν ἠδ’ Ὀδυσῆι·
book h220-3.2 τοὺς γὰρ νεικείεσκε. τότ’ αὖτ’ Ἀγαμέμνονι δίῳ
book h220-3.3 ὀξέα κεκληγὼς λέγ’ ὀνείδεα. τῷ δ’ ἄρ’ Ἀχαιοί
book h220-3.4 ἐκπάγλως κοτέοντο, νεμέσσηθέν τ’ ἐνὶ θυμῷ.
book 220.1 ὅτι Ζηνόδοτος τοῦτον καὶ τοὺς μετ’ αὐτὸν τρεῖς ἠθέ-
book 220.2 τηκεν. πρὸς ὑπόθεσιν δέ τινα λέγονται· ἐπίτηδες γὰρ τού-
book 220.3 των τῶν ἀγαθῶν ἐπεσβόλον παραγήοχεν. A. παραγήοχεν
book 220.4 etiam Z 338. Ejicienda forlasse verba τῶν ἀγαθῶν, quae sic
book 220.5 certe nude posita ut nunc sunt, vix videntur ferri posse. L.
book h226-8.1 πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
book h226-8.2

εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοί
book h226-8.3 πρωτίστῳ δίδομεν, εὖτ’ ἂν πτολίεθρον ἕλωμεν.
book 226.1 πολλαὶ δὲ γυναῖκες· ὅτι Ζηνόδοτος γράφει πλεῖαι
book 226.2 δὲ γυναικῶν καὶ τοὺς ἑξῆς δύο ἠθέτηκεν, ἐν οἷς μάλιστα
book 226.3 ὁ Θερσίτης γελοιοποιός. A.
book 227.1 ὅτι τοῦτον καὶ τὸν ἑξῆς Ζηνόδοτος ἠθέτηκεν. ἡ
book 227.2 δὲ αἰτία προείρηται. A. Ar. p. 354.
book 229.1 ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει:
book 229.2 ὅτι περισσὸς ὁ κέ (cod. καί). A. Pluygers. 8. Cf. p. 11.
book 231.1 ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν—
book 231.2 υἷας Ἀχαιῶν (234): ὅτι Ζηνόδοτος τοὺς τέσσαρας ἠθέτη-
book 231.3 κεν, ἐν οἷς πάλιν ἐστὶ τὰ γελοιότατα. A. Ar. 354.
book 238.1 ἠὲ καὶ οὐκί: ὅτι τὴν ἀπόφασιν διὰ τοῦ κ, οὐ διὰ
book 238.2 τοῦ χ. A. B 300, 349 K 445.
book 239.1 ἕο μέγ’ ἀμείνονα φῶτα: ἡ διπλῆ περιεστιγμένη,
book 239.2 ὅτι Ζηνόδοτος γράφει ἑοῦ. τοῦτο δὲ σύναρθρον καὶ οὐχ
book 239.3 ἁρμόζον τῷ λόγῳ. A. σύναρθρον pro ἀσυν. Bekk.
book 242.1 ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο:
book 242.2 πρὸς τὸ σχῆμα, ἀντὶ τοῦ ἐλωβήσω ἄν. A. Cf. p. 7.
book 247.1 ἴσχεο, μηδ’ ἔθελ’ οἶος: ὅτι ἔθελε κατὰ συναλοι-
book 247.2 φήν. A. Pluyg. 8.
book h252-6 οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
book h252-6.2 ἢ εὖ ἦε κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
book h252-6.3 τῷ νυν Ἀτρείδῃ Ἀγαμέμνονι ποιμένι λαῶν
book h252-6.4 ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
book h252-6.5 ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.
book 252.1 ἀπὸ τούτου ἕως τοῦ ἥρωες Δαναοί (256) ἀθε-
book 252.2 τοῦνται στίχοι ε′, ὅτι πεζότεροι τῇ συνθέσει, καὶ τὸ ἧσαι οὐ
book 252.3 κυρίως ἐστὶ δέξασθαι· οὐ γὰρ κάθηται· οὐδ’ ὡς ὁ Διομήδης
book 252.4 λέγει τέττα, σιωπῇ ἧσο (Δ 412) ἀντὶ τοῦ ἡσύχαζε. A.
book 258.1 εἴ κ’ ἔτι ς’ ἀφραίνοντα κιχήσομαι, ὥς νύ περ
book 258.2 ὧδε: ὅτι περισσὸς ὁ κέ. A. Cf. p. 12.
book 260.1 μηδ’ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην:
book 260.2 ἡ διπλῆ ὅτι προδιασυνίστησι τὰ κατὰ τὴν Ὀδύσσειαν μέλ-
book 260.3 λοντα λόγου τυχεῖν πλειόνος. AB. Cf. B 278 Δ 354. ὅτι
book 260 προδιασυνίστησι scr. L. pro πρὸς διασύγκρισιν.
book 264.1 πεπληγώς: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ πλήσσων τὸ
book 264.2 παθητικὸν παρείληφεν. A. Cf. p. 3.
book 269.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλγήσας δ’ ἀχρεῖον ἰδών, ἀπομόρξατο δάκρυ:
book 269.2 ὅτι Φιλητᾶς τὸ ἰδών περισπᾷ, οἷον τῶν ὀφθαλμῶν, ἰδεῶν.
book 269.3 οὐδέποτε δὲ Ὅμηρος ἰδέας τοὺς ὀφθαλμοὺς εἶπεν. ἔστιν
book 269.4 οὖν τὸ ἀχρεῖον ἰδών ἐντελῶς σχηματίσας. A. Nam ἰδῶν es-
book 269.5 set non ἐντελῶς ἐσχηματισμένον, sed κατὰ πάθος L. Cf. Ar. 55.
book 276.1 οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγή-
book 276.2 νωρ: ὅτι τὸ πάλιν εἰς τοὐπίσω, τὸ δὲ αὖτις χρονικόν, ἐξ
book 276.3 ὑστέρου. A. Pluyg. 8. Ar. 100.
book 278.1 ὣς φάσαν ἡ πληθύς· ἀνὰ δ’ ὁ πτολίπορθος
book 278.2 Ὀδυσσεύς: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι πρὸς τὸ νοητόν·
book 278.3 τὸ γὰρ ἔννοιαν ἔχον τοῦ πλήθους ὄνομα πρὸς τὸ (ins. L.)
book 278.4 πληθυντικὸν ἐπισυνέζευξε (cf. A 363) τὸ φάσαν· [ᾧ εἴη ἂν
book 278.5.1 ὅμοιον δερκόμενοι πᾶς δῆμος—errror pro ἀγρόμενοι
book 278.5.2 Υ 166 L.] (cf. p. 16): καὶ πρὸς τὸ πτολίπορθον, ὅτι διὰ τῆς
book 278.5.3 Ὀδυσσείας δέδεικται τὰ κατὰ τὸν δούρειον ἵππον. A. Hoc
book 278.5.4 extremum pertinet ad Homeri morem notatum v. 260, in Iliade
book 278.5.5 quae in Odyssea latius exponantur, levi significatione occupasse.
book 278.10.1 Ulixem autem πτολίπορθον dictum vult propter ejus operam
book 278.10.2 in Troja per equum diruenda (ἐπεὶ Τροίης πτολίεθρον ἔπερ-
book 278.10.3 σεν) cf. ad Φ 550. L. Verba πρὸς τὸ σχῆμα in codd. LV ab
book 278.10.4 hoc versu ad sequentem aberraverunt.
book 284.1 Ἀτρείδη, νῦν γάρ σε ἄναξ ἐθέλουσιν Ἀχαιοί:
book 284.2 ὅτι αὕτη ἡ γραφὴ ἡ διὰ τοῦ γάρ μετὰ τῆς (μετὰ τήν?)
book 284.3 προσηγορίας, καὶ λόγον ἔχει, ἔθος δὲ αὐτῷ ἀπὸ τοῦ γάρ ἄρ-
book 284.4 χεσθαι· ὦ γύναι, οὐ γὰρ ὀίω ἐυκνήμιδας Ἀχαιούς
book 284.5.1 (ς 259). (Ar. p. 9). A. τόν ante λόγον del. L. Pro ὦ γύναι,
book 284.5.2 οὐ γάρ cod. ὦ πόποι, ἦ γάρ.
book 286.1 οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἥν περ ὑπέ-
book 286.2 σταν: ἡ διπλῆ πρὸς τὴν ἐναλλαγὴν τοῦ χρόνου, ὅτι ἀντὶ
book 286.3 τοῦ ἐκτελέσουσιν. A. Cf. p. 6.
book 291.1 ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι:
book 291.2 ἡ διπλῆ πρὸς τὸν πόνον, ὅτι ἀντὶ τοῦ ἔργον· οὐδέποτε γὰρ
book 291.3 οὕτως εἶπε τὴν ἀλγηδόνα. A. Ar. 88.
book 296-7.1 τῷ οὐ νεμεσίζομ’ Ἀχαιούς
book 296-7.2 ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης:
book 296-7.3 ὅτι Ζηνόδοτος γράφει ἀσχαλάαν μίμνοντ’ ἐπὶ νήεσσι
book 296-7.4 (cod. ἀσχαλάαν μιμνόντεσσι, corr. Bekk.), τὰ πληθυντικὰ
book 296-7.5 δυικῶς ἐκφέρων. περιττεύει δὲ ὁ καὶ σύνδεσμος (cf. p. 34). A.
book 299.1

τλῆτε φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον: ὅτι Ζηνόδοτος γράφει ἔτι χρόνον, ἀπιθάνως. ἔμφασις γὰρ (Ar. 74) γίνεται πολλοῦ χρόνου διὰ τοῦ ἔτι. A. Ar. 378.

οὐκί: ἡ διπλῆ, ὅτι διὰ τοῦ κ γραπτέον, οὐ διὰ τοῦ χ. A. Cf. 238.

μάρτυροι: ὅτι Ζηνόδοτος γράφει μάρτυρες. ὁ δ' Ὅμηρος οὕτως ἐσχημάτικεν· Ζεὺς δ' ἀμμ' (cod. ἄμ) ἐπιμάρτυρος ἔστω (Η 76). A.

ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας: ὅτι Ζηνόδοτος γράφει τιτίζοντας. εὐτελὴς δὲ ἡ λέξις· κατὰ φύσιν γὰρ φθεγγόμενοι οἱ νεοσσοὶ τιτίζουσιν, οἱ δὲ κατεσθιόμενοι τρίζουσιν. A. Aut in εὐτελής aliquid vitii est aut post ἡ λέξις addendum καὶ ἀνοίκειος ἐνταῦθα. Ceterum cf. Ar. 378.

αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν,
τὸν μὲν ἀΐζηλον θῆκεν θεός, ὅς περ ἔφηνεν.
λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς ἀγκυλομήτεω.

ὅτι Ζηνόδοτος γράφει ἀρίδηλον καὶ τὸν ἐχόμενον προσέθηκεν. ἔδει δὲ ἀΐζηλον. τὸ γὰρ ἀρίδηλον ἄγαν ἐμφανές, ὅπερ ἀπίθανον. μάχεται οὖν ὁ ἐχόμενος. ὃν γὰρ ἀναπλάσῃ, τοῦτον οὐκ ἀναιρεῖ. λέγει μέντοι γε ὅτι ὁ φήνας αὐτὸν θεὸς καὶ ἄδηλον ἐποίησεν. A. Verba ἔδει δὲ ἀΐζηλον et μάχεται οὖν ὁ ἐχόμενος ins. L.; idem pro ὃ γὰρ ἐὰν πλάσῃ, τοῦτο ἀναιρεῖ scripsit ὃν γὰρ ἀναπλάσῃ, τοῦτον οὐκ ἀναιρεῖ, et totum locum explicuit Herodian. p. 456 his verbis: Hoc dicit: narrationis tenor haudquaquam verisimile facit, de dracone, quem antea subito Deum in lucem prodidisse dixerat (309), nunc in fine dicere poetam: postquam autem peregerat ad quod proditus erat, Deus qui eum prodiderat valde eum conspicuum fecit: sed contra eo nos duci ut dixerit: postquam autem quasi partes suas peregerat, Deus qui eum prodiderat, idem delevit. Verior itaque altera lectio ἀίζηλον. Hoc si ita est, subsequens versus stare non potest: nam quem de integro fingit, eum non delet. Certe quidem (μέντοι γε v. ad. v. 528) dicit (sc. id sensus recti docet): Deus, qui eum prodidit, idem nunc eum ex hominum oculis delevit.

Non dubitandum quin Aristarchea lectio ἀΐζηλον fuerit, quam in suis exemplaribus habuit Apollonius lex. Homerici

Eulogikon public reading copy · View original HTML at eulogikon.org

auctor p. 16 Be., cujus vocabuli memoriam praeterea servarunt
book 318.20.4 Hesychius et Etymologus, hic ex hoc loco, Hesychius, apud
book 318.20.5 quem nominativus est ἀίζηλος ἄδηλος, ex alio. Cf. Buttm.
book 318.25 lex. I, 252.
book 319 ἀθετεῖται· προείρηται γὰρ ἡ αἰτία. A.
book 320.1 ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη:
book 320.2 ὅτι ἀντὶ τοῦ ἐξεπληττόμεθα. A. Ar. 149.
book 328.1 ὣς ἡμεῖς τοσσαῦτ’ ἔτεα πτολεμίξομεν αὖθι:
book 328.2 ὅτι τὸν τοῦ Κάλχαντος λόγον μεταλαβὼν ἐποίησεν ἐπὶ τῆς
book 328.3 Αὐλίδος, αὐτὸς ὢν ἐπὶ τῆς Τροίας. διὸ κέχρηται τῷ αὖθι
book 328.4 τοπικῷ ἀντὶ τοῦ αὐτόθι ὅπου νῦν ἐσμέν. A. Hoc vult: Si
book 328.5.1 orationem Calchantis immutatam transtulisset (qui sc. dixerat
book 328.5.2 κεῖθι) fecisset eum de bello in Aulide gerendo loquentem, quum
book 328.5.3 ipse in agro Trojano sit. Unde illud κεῖθι in αὖθι mutavit.
book 328.5.4 ἐποίησεν est ἐποίησεν ἂν: eodem modo ἄν omittitur ad A 29—
book 328.5.5 31, P 153. L. —Equidem verba ἐποίησεν ἐπὶ τῆς Αὐλίδος
book 328.10 non pro sanis habeo.
book 341.1 σπονδαί τ’ ἄκρητοι: ἡ διπλῆ ὅτι ὅταν λέγῃ ἐν
book 341.2 ἄλλοις κρητῆρι δὲ οἶνον ἔμισγον (Γ 269), οὐ σημαίνει
book 341.3 τὸ ὕδατι κίρνασθαι, ἀλλ’ ὅτι τὸν τῶν Τρώων καὶ τῶν
book 341.4 Ἀχαιῶν οἶνον ἔμισγον. (Ar. 199). ABL. Sed L. ab initio ση-
book 341.5.1 μείωσαι ὅτι, nec ἡ διπλῆ erit in B, quod de similibus locis
book 341.5.2 valebit. L.
book 347.1 νόσφιν βουλεύωσι—ἄνυσις δ’ οὐκ ἔσσεται αὐ-
book 347.2 τῶν: ὅτι βουλεύωσι αἱ Ἀριστάρχου. A. cod. βουλεύωσιν. V.
book 347.3 qu. ep. 49. Nisi potius Didymi est.
book 349 οὐκί: ὅτι διὰ τοῦ κ καὶ οὐ διὰ τοῦ χ A. Cf. ad 238.
book 350.1 φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρο-
book 350.2 νίωνα—
book 353.1 ἀστράπτων ἐπιδέξι’, ἐναίσιμα σήματα φαί-
book 353.2 νων: ὅτι ἀκαταλλήλως εἴρηται· ἔδει γὰρ ἀστράπτοντα καὶ
book 353.3 φαίνοντα. ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει Λάιε, πάλαι
book 353.4 δή ς’ ἐξερωτῆσαι θέλων σχολή μ’ ἀπεῖργε. BL. Cf. p. 19.
book 356.1 τίσασθαι δ’ Ἑλένης ὁρμήματά τε στοναχάς
book 356.2 τε: ἡ διπλῆ πρὸς τοὺς χωρίζοντας· ἔφασαν γὰρ τὸν μὲν
book 356.1 τῆς Ἰλιάδος ποιητὴν δυσανασχετοῦσαν συνιστάνειν καὶ στέ-
book 356.2 νουσαν διὰ τὸ βίᾳ ἀπῆχθαι ὑπὸ τοῦ Ἀλεξάνδρου, τὸν δὲ
book 356.5.1 τῆς Ὀδυσσείας ἑκοῦσαν, οὐ νοοῦντες ὅτι οὐκ ἔστιν ἐπ’ αὐ-
book 356.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς ὁ λόγος, ἀλλ’ ἔξωθεν πρόθεσιν τὴν περί δεῖ λαβεῖν, ἵν’
book 356.5.3 ᾗ περὶ Ἑλένης. A. Cf. p. 26.
book 385.1 ὥς κε πανημέριοι στυγερῷ κρινώμεθ’ Ἄρηι:
book 385.2 ὅτι προεληλυθυίας λέγει τῆς ἡμέρας ἤδη τὸ πανημέριοι ἐπὶ
book 385.3 τοῦ ἀπολείποντος αὐτοῦ (αὐτῆς?) μέρους, καὶ οὐ πάντως
book 385.4 τὸ ἀπ’ ἀνατολῆς μέχρι δύσεως λέγει πρόπαν ἦμαρ (cf. A 601).
book 385.5 A. προεληλυθυίας scr. L. pro παρελ.
book 389.1 ἀσπίδος ἀμφιβρότης: ὅτι περιφερεῖς καὶ ἀνδρο-
book 389.2 μήκεις αἱ ἀσπίδες. A. Ar. 194.
book 389.3 τὸν δ’ οὔ ποτε κύματα λείπει
book 397.1 παντοίων ἀνέμων, ὅτ’ ἂν ἔνθ’ ἢ ἔνθα γένων-
book 397.2 ται: ἡ διπλῆ ὅτι οὐ γραπτέον, ὥς τινες, γένηται· ὁμηρικώ-
book 397.3 τερον γὰρ οὕτως λέγειν, γένωνται τὰ κύματα, ὡς σπάρτα
book 397.4 λέλυνται. A. Cf. p. 15.
book 412.1 Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι
book 412.2 ναίων: ὅτι ἔν τισι γέγραπται Ζεῦ πάτερ Ἴδηθεν με-
book 412.3 δέων. οὐχ ἁρμόζει δὲ τὸν ἐγχώριον Δία προσκαλεῖσθαι ἐπὶ
book 412.4 τῆς πορθήσεως, ἀλλὰ βέλτιον κοινοτέραν (sc. πρόσκλησιν). A.
book 417.1 Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
book 417.2 χαλκῷ ῥωγάλεον: ὅτι οὕτως εἴρηκεν ἀντὶ τοῦ
book 417.3 χαλκῷ ῥηγέντα, καὶ ἐκ παρεπομένου ἐν μέρει τὸ ἀνελεῖν. A.
book 417.4 Pro ἐν μέρει quod sensum non habet, scribendum videtur ση-
book 417.5.1 μαίνει. Cf. I 546. Multa significantur ἐκ παρεπομένου vel
book 417.5.2 ἐκ τοῦ παρακολουθοῦντος i. e. rerum vel actionum acciden-
book 417.5.3 tibus positis ipsae res vel actiones indicantur. Ut si πυρῆς
book 417.5.4 ἐπέβησε dicitur pro ἀνεῖλεν, δουπῆσαι significat bello perire.
book 417.5.5 V. Δ 213 N 426 Ξ 214 Π 142, 822 Υ 388 Ψ 679. Plenius
book 417.10.1 hoc dicitur Q γ 486: ἐκ τοῦ παρακολουθοῦντος τὸ προη-
book 417.10.2 γούμενον. Cf. scholl. ad ζ 83 μ 172 ν 78 ο 184. L. ad N
book 417.10.3 426: ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον.
book 422.1 αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδει-
book 422.2 ραν: ἡ διπλῆ ὅτι τὸ αὖ ἔρυσαν ἀντὶ τοῦ εἰς τοὐπίσω ἀνέ-
book 422.3 κλασαν, ὃ ποιοῦσιν οἱ σφάζοντες. A. Ar. 198.
book 424 δίπτυχα ποιήσαντες, ἐπ’ αὐτῶν δ’ ὠμοθέτη-
book 424.1 σαν: πρὸς τὸ ὠμοθέτησαν, ὅτι ἐστὶν ἀπὸ τῶν μελῶν τῶν
book 424.2 ὤμων ἀπάρξασθαι καὶ εἰς τὸν ἐπίπλουν ἐνθέντας ἱερεῦ-
book 424.3 σαι. A. Ar. 198.
book 435.1 μηκέτι νῦν δήθ’ αὖθι λεγώμεθα: ὅτι (Plug.
book 435.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

p. 8) Ζηνόδοτος γράφει ταῦτα λεγώμεθα. ὁ δὲ Ὅμηρος εἴωθε λέγειν, ὅταν πολλὰ προειρημένα ᾖ, ὡς ἐπ’ Αἰνείου καὶ Ἀχιλλέως ἀλλ’ ἄγε μηκέτι ταῦτα λεγώμεθα (Υ 244). A. Hic autem quum ante Nestorem nemo dixerit, poni non potest. Aristarchus explicuit συναθροιζώμεθα, v. Did.

λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας: ἀντὶ τοῦ ἀγειρέτωσαν. A. Cf. Θ 517, 521 Ι 67.

ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα: ἀντὶ τοῦ ἐγείρωμεν. A. Cf. p. 13.

τῆς (αἰγίδος) ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται· Ζηνόδοτος γράφει παρατατικῶς ἠερέθοντο, ὅπερ οὐχ ἁρμόζει ἐπὶ ἀθανάτων. A. Ar. 379. Ceterum erravit Aristarchus: v. Philol. VI, 675.

τοῖσι δ’ ἄφαρ πόλεμος γλυκίων γένετ’ ἠὲ νέεσθαι ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν. ὅτι πρὸ τῆς Ἀγαμέμνονος ἀριστείας (Λ 13) οὐκ ὀρθῶς φέρονται. A.

αἴγλη παμφανόωσα δι’ αἰθέρος οὐρανὸν ἷκεν: ὅτι καθ’ Ὅμηρον πρῶτος ἀπὸ γῆς ἐστιν ὁ ἀήρ, εἶτα μετὰ τὰ νέφη ὁ αἰθήρ, ὃν καὶ ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ. (Ar. 167). A.

ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ’ ἔχουσαι: ὅτι Ζηνόδοτος γράφει Ὀλυμπιάδες βαθύκολποι. οὐδέποτε δὲ τὰς Ἑλληνίδας γυναῖκας βαθυκόλπους εἴρηκεν, ὥστε οὐδὲ τὰς Μούσας (v. Ω 215 Ar. 115). ABL.

ὑμεῖς γὰρ θεαί ἐστε, πάρεστέ τε, ἴστε τε πάντα: ὅτι τινὲς γράφουσι παρῆστε, οἷον κατ’ ἐκεῖνον τὸν χρόνον. βέλτιον δὲ καθολικῶς ἐπὶ πάντων. A.

πληθὺν δ’ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω: ἤτοι ὅτι περισσὸς ὁ ἄν ἢ μυθήσομαι εἴρηκεν ἀντὶ τοῦ μυθησαίμην. A. Cod. ἤτοι ὅτι περισσόν, εἰ κτλ. V. p. 9. Additum praeterea fuit, ad οὐδ’ ὀνομήνω supplendam esse particulam μή: Α 262, aut etiam hunc conjunctivum esse pro optativo: Ε 215. Non mutavi ἤτοι ὅτι in ὅτι ἤτοι: v. Δ 176.

οὐδ’ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ’ εἶεν: ὅτι ἡ ἰδιότης τῆς ὑπερβολῆς Ὁμηρική. καὶ ἐν Ὀδυσσείᾳ οὐδ’ εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν (μ 78): ἡ δὲ ἀναφορὰ πρὸς τοὺς περιγράφοντας τούτους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς στίχους. A.

νῆάς τε προπάσας: ὅτι περισσὴ ἡ πρό πρόθεσις. AD. V. p. 27.

οἵ τ’ Ἐλεῶν’ εἶχον ἠδ’ Ὕλην: ὅτι νῦν ἐκτεταμένως Ὕλην εἴρηκεν, ἐν ἄλλοις δὲ συνεσταλμένως Ὕλῃ ἔνι οἰκία ναίων (Η 221). νῦν δὲ καλοῦνται Ὕλαι πληθυντικῶς. (Ar. 241). A.

Θίσβην: ὅτι Ζηνόδοτος γράφει Μέσσην. ἔστι δὲ ἡ Μέσση τῆς Λακωνικῆς, ἣν ἐν ἄλλοις Μεσσήνην καλεῖ. A. Cf. 582.

οἵ τε πολυστάφυλον Ἄρνην ἔχον: ὅτι Ζηνόδοτος γράφει Ἄσκρην ἔχον (Η 9). οὐ δύναται δὲ πολυστάφυλος ἡ Ἄσκρη λέγεσθαι· ἀξιοπιστότερος γάρ ἐστιν Ἡσίοδος λέγων Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ (E. 638). A. Ar. 234.

Ὀρχομενὸν Μινύειον: ἡ διπλῆ, ὅτι καὶ ἕτερος Ὀρχομενός ἐστιν Ἀρκαδικός. ἀλλ’ ὁ μὲν Βοιωτιακὸς Μινύειος καλεῖται, ὁ δὲ Ἀρκαδικὸς πολύμηλος (605): καὶ τοῖς ἐπιθέτοις διαστέλλεται ἡ ὁμωνυμία. A.

αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον: ἡ διπλῆ ὅτι καὶ ἕτερος Σχεδίος ἐστὶ Φωκεύς, τῶν ἐπὶ μέρους ἡγεμών (cf. Υ 84), καὶ ἀμφότεροι ὑφ’ Ἕκτορος ἀναιροῦνται. ἔνθ’ Ἕκτωρ μὲν ἕλε Σχεδίον Ἀρχὸν Φωκήων (Ο 515). ἡ δὲ ἀναφορὰ πρὸς τὰ Πυλαιμένους. A. De Epistropho homonymo B 856.

Κυπάρισσον: ὁμωνύμως τῷ δένδρῳ ἀνεγνώσθη. A. V. Lobeck. proll. path. p. 64, qui suspicatur fuisse, qui Κυπάρισσαν vellent. Ab Aristonico haec fluxisse suspiceris propter notam ad v. 532. L.

καὶ Πανοπῆα: ὅτι (Pluyg. p. 8) Ζηνόδοτος γράφει καὶ Πανοπτέων (Duentzer conj. ἠδὲ Πανοπτέων), ἄμετρον ποιῶν τὸν στίχον καὶ οὐ καθ’ Ὅμηρον σχηματίζων τὸ ὄνομα. ἔστι γὰρ Πανοπεύς, ὡς Ἀχιλλεύς· ὃς ἐν κλειτῷ Πανοπῆι (Ρ 307). A. Eustathius hinc ipsa verba referens Zenodoto tribuit Πανόπεων ὡς Μενέλεων. L.

Λοκρῶν δ’ ἡγεμόνευεν Ὀιλῆος ταχὺς Αἴας: ἡ διπλῆ, ὅτι τινὲς τῶν νεωτέρων ἀνέγνωσαν χωρὶς τὸ ο, ὡς ἄρθρου ὄντος, εἶτα Ἰλῆος. Ὁ δὲ Ὅμηρος σὺν τῷ ο λέγει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν Ὀιλῆα. (Ar. 180). A.
book 528.1 μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος Αἴας:
book 528.2 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν.
book 528.3 ἀναγκαῖος δέ ἐστι· προδιασυνίστησι γὰρ, ὅτι ἥττων ἐστὶ κατὰ
book 528.4 τὸ μέγεθος τοῦ Τελαμωνίου. ἐκεῖνον μέντοι γε μέγαν (Π
book 528.5 358 Ρ 115) λέγει. A.
book h529-30.1 ἀλλὰ πολὺ μείων, ὀλίγος μὲν ἔην, λινοθώρηξ,
book h529-30.2 ἐγχείῃ δ’ ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς.
book 529-30.1 ἀθετοῦνται ἀμφότεροι ὅτι προείρηκε μείων
book 529-30.2 οὔτι τόσος γε καὶ πρὸς οὐδὲν διλογεῖ ἀλλὰ πολὺ μείων.
book 529-30.3 καὶ οὐδὲ πολὺ λείπεται τοῦ ἑτέρου. κακῶς δὲ καὶ τὸ λινο-
book 529-30.4 θώρηξ· οἱ γὰρ Ἕλληνες οὐκ ἐχρῶντο λινοῖς θώραξι· διὰ
book 529-30.5.1 παντὸς γὰρ χαλκοχίτωνας αὐτοὺς λέγει. (cf. ad N 372, Ar.
book 529-30.5.2 194). καὶ Ἕλληνας οὐδέποτε εἴρηκεν, ἀλλ’ Ἀργείους ἢ Δα-
book 529-30.5.3 ναούς· καὶ οὐδὲ Ἑλλάδα τὴν οἰκουμένην ὑπὸ Ἑλλήνων, ἀλλὰ
book 529-30.5.4 μίαν πόλιν Θεσσαλίας, ἧς τοὺς οἰκήτορας Ἕλληνας λέγει·
book 529-30.5.5 Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί
book 529-30.10 (648). Cf. ad I 395. Ar. 233. A.
book 532.1 Βῆσσαν: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος
book 532.2 γράφει Βῆσαν ἐν τῷ ἑνὶ ς, διὰ τὸ βήσσας λέγεσθαι τῶν
book 532.3 ὀρῶν τοὺς καθύγρους τόπους. ἔστι μέντοι προσηγορικά, ἅ
book 532.4 τινων κύρια γίνεται, οἷον κυπάρισσος καὶ πόλεως ὄνομα
book 532.5 (519). A.
book h552-5.1 υἱὸς Πετεῶο Μενεσθεύς.
book h552-5.2 τῷ δ’ οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ’ ἀνήρ,
book h552-5.3 κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
book h552-5.4 Νέστωρ οἷος ἔριζεν· ὁ γὰρ προγενέστερος ἦεν.
book 553.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος ἀπὸ τού-
book 553.2 του τρεῖς στίχους ἠθέτηκεν, μήποτε διότι (διότι pro δέ Bekk.)
book 553.3 διὰ τῶν ἐπὶ μέρους οὐδέποτε αὐτὸν διατάσσοντα συνέστη-
book 553.4 σεν. πολλὰ μέντοι Ὅμηρος κεφαλαιωδῶς συνίστησιν, αὐτὰ
book 553.5.1 τὰ ἔργα παραλιπών, ὡς τὴν Μαχάονος ἀριστείαν· παῦσεν
book 553.5.2 ἀριστεύοντα μάχας (Λ 506). A.
book h557-8.1 Αἴας δ’ ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας.
book h557-8.2 στῆσε δ’ ἄγων, ἵν’ Ἀθηναίων ἵσταντο φάλαγγες
book 558.1 Notatum fuit ἀθετεῖσθαι hunc versum, quod ordo
book 558.2 navium non is fuerit, ut Athenienses prope Ajacem steterint:
book 558.3 Γ 230 Δ 251. Ar. 230. L.
book 570.1

ἀφνειόν τε Κόρινθον: ἡ διπλῆ ὅτι ἐκ τοῦ ἰδίου
book 570.2 προσώπου Κόρινθον· ὅταν δὲ ἡρωικῷ προσώπῳ περιτιθῇ τὸν
book 570.3 λόγον, Ἔφυραν λέγει· ἔστι πόλις Ἐφύρη (Ζ 152). 2ar. 237. A.
book 571.1 Ἀραιθυρέην: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνό-
book 571.2 δοτος γράφει Παραιθυρέην. οὐκ ἐπίσταται δὲ ταύτην τὴν
book 571.3 πόλιν οὕτως ὀνομαζομένην. A. Fortasse οὐκ ἐπίσταται δὲ
book 571.4 οὐδεὶς ταύτην τὴν πόλιν vel τινα πόλιν κτλ. Aut οὐκ ἐπί-
book 571.5 σταται δὲ (Zenodot.) τὴν Φλιοῦντα πάλαι οὕτως ὀνομαζομένην.
book 576.1 τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων:
book 576.2 ὅτι τὸ τῶν οὐχ ὡς ἄρθρον παρείληπται, ἀλλ’ ἀντὶ ἀντωνυ-
book 576.3 μίας τῆς τούτων, καὶ παραλέλειπται ἡ ἔκ πρόθεσις, ἵν’ ᾖ,
book 576.4 ἐκ τούτων τῶν πόλεων ἑκατὸν νηῶν ἦρχεν. A. V. p. 25 et 30.
book h579-80.1 κυδιόων, πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν,
book h579-80.2 (Agamemnon)
book h579-80.3 οὕνεκ’ ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.
book 579-80.1 ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν, ἐπεὶ διὰ
book 579-80.2 τῶν ἑξῆς (768) ἄριστος ὁ Αἴας λέγεται. ἐν διαφόροις δὲ
book 579-80.3 πράγμασίν εἰσιν οὗτοι ἄριστοι, ὁ μὲν πλούτῳ καὶ εὐγενείᾳ,
book 579-80.4 ὁ δὲ τῇ κατὰ πόλεμον ἀρετῇ. A.
book 582.1 Μέσσην: ὅτι Μέσσην τὴν ἐπὶ τῆς Λακωνικῆς Μεσ-
book 582.2 σήνην λέγει, συγκόψας τοὔνομα (v. 502). A. Ar. 241.
book 592.1 Θρύον: ἡ διπλῆ, ὅτι Θρύον εἶπε τὴν ἐν ἄλλοις
book 592.2 Θρυόεσσαν ἔστι δέ τις Θρυόεσσα πόλις (Λ 710). A. Ar. 241.
book 596.1 Οἰχαλίηθεν: ὅτι Θεσσαλίας ἡ Οἰχαλία καθ’ Ὅμη-
book 596.2 ρον· οἱ δὲ νεώτεροι ἐπ’ Εὐβοίας πεποιήκασιν (v. 730). A.
book 596.3 Ar. 185.
book 597.1 στεῦτο γὰρ εὐχόμενος νικησέμεν: ὅτι τὸ στεῦτο
book 597.2 κατὰ διάνοιαν ὡρίζετο, οὐκ ἐπὶ τῆς τῶν ποδῶν στάσεως, ὡς
book 597.3 ἐν τοῖς κατὰ τὴν νεκυίαν ἠθετημένοις στεῦτο δὲ διψάων
book 597.4 (λ 583. Ar. 106). καὶ ὅτι εἴπερ ἂν αὐταί ἀντὶ τοῦ εἰ καὶ
book 597.5 αὐταί. (cf. ad Γ 25). A.
book 599.1 αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν: ἡ διπλῆ, ὅτι
book 599.2 πηρόν οὐ τυφλόν, ὡς ἀπεδέξαντο οἱ νεώτεροι, ἀλλὰ τῆς
book 599.3 ᾠδῆς πηρόν· τί γὰρ ἦν αὐτῷ βλαβερὸν κιθαρῳδῷ ὄντι, εἰ
book 599 τῶν ὀφθαλμῶν ἐστερήθη; μᾶλλον γὰρ προσεκτικὸς ἂν ἐγέ-
book 599.5.1 νετο τῇ φωνασκίᾳ. τόν γε δή τοι Δημόδοκον ἡ Μοῦσα
book 599.5.2 ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ’ ἡδεῖαν ἀοιδήν (θ 64).
book 599.5.3 A. ὡς ante ἀπεδέξαντο ins. L. quae emendatio facilior ea,
book 599.5.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

quam dedit in Aristarcho p. 190.

οἱ Φένεόν τ’ ἐνέμοντο καὶ Ὀρχομενὸν πολύμηλον: ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀρχομενοῦ, ὅτι τῷ ἐπιθέτῳ διέσταλκεν. A. Cf. 511.

αὐτὸς γάρ σφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
νῆας ἐυσσέλμους περάαν ἐπὶ οἴνοπα πόντον,
Ἀτρείδης, ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.

ἀπὸ τούτου ἕως τοῦ Ἀτρείδης ἐπεὶ οὔ σφι (614) Ζηνόδοτος ἠθέτηκε τρεῖς στίχους. ἀναγκαῖοι δέ εἰσιν· παριστόρηται γὰρ δι’ αὐτῶν ὅτι παρέσχεν αὐτοῖς ναῦς ὁ Ἀγαμέμνων. A.

ὅσσον ἐφ’ Ὑρμίνη καὶ Μύρσινος ἐσχατόωσα
πέτρη τ’ Ὠλενίη καὶ Ἀλίσιον ἐντὸς ἐέργει.

(Ὑρμίνη): ἡ διπλῆ ὅτι Ζηνόδοτος σὺν τῷ ι γράφει. γίνεται δὲ ἀκατάλληλος ὁ λόγος. A.

τῶν μὲν ἄρ’ Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην,
υἷες ὁ μὲν Κτεάτου ὁ δ’ ἄρ’ Εὐρύτου, Ἀκτορίωνε.

ἡ διπλῆ ὅτι παρὰ τὸ εἰθισμένον πρὸς τὸ πρότερον ἀπήντηκεν· ἔστι γὰρ ὁ προκατειρημένος Ἀμφίμαχος Κτεάτου υἱός, ὁ δὲ Θάλπιος Εὐρύτου. καὶ ὅτι οὕτως εἴρηκεν Ἀκτορίωνε, δέον Ἀκτοριώνων (Cf. p. 19). A.

οἱ δ’ ἐκ Δουλιχίοιο Ἐχινάων θ’ ἱεράων: ἡ διπλῆ ὅτι οὐχ ὡς κεχωρισμένου Δουλιχίου τῶν Ἐχινάδων οὕτως εἴρηκεν, ἀλλ’ ἀντὶ τοῦ ἐκ Δουλιχίου καὶ τῶν ἄλλων Ἐχινάδων. καὶ ὅτι ἀπὸ τοῦ Ἐχῖνα εἴρηκεν Ἐχινάων. (Ar. 236). A. Lobeck proll. path. 221 vult Ἐχῖναι.

νήσων, αἳ ναίουσι: ὅτι Ζηνόδοτος γράφει οἳ ναίουσι, ἐπὶ τῶν ἀνδρῶν. οὐ νοεῖ δὲ ὅτι ἀντὶ τοῦ ναίονται. A. Cf. p. 3.

τῶν αὖθ’ ἡγεμόνευε Μέγης ἀτάλαντος Ἄρηι, Φυλεΐδης, ὃν τίκτε διίφιλος ἱππότα Φυλεύς, ὅς ποτε Δουλίχιον δ’ ἀπενάσσατο: ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ὁ Μέγης ἀπῴκησεν ἢ ὁ Φυλεύς, ὃ καὶ ὁμηρικώτερον· Ὅμηρος γὰρ ἀεὶ πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷ (Ar. 13). A. ἀεί non semper significat, v. modo ad 620, sed plerumque, ut haud raro apud grammaticos. L.

ἠδ’ οἳ Σάμον ἀμφενέμοντο: ὅτι Ζηνόδοτος γράφει ἠδ’ οἵ’ Σάμην (nonne addendum ἐνέμοντο? L.), καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄμετρον ποιῶν, καὶ ἀγνοῶν ὅτι κατὰ τὸ ἀρσενικὸν ἐνίοτε
book 634.4 ἐκφέρεται τὰ εἰς η (cod. ος) λήγοντα· μεσσηγὺς Τενέδοιο
book 634.5.1 Σάμοιό τε· (error pro μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε
book 634.5.2 δ 845, ortus ex confusione cum N 33 μεσσηγὺς Τενέδοιο
book 634.5.3 καὶ Ἴμβρου) οὐ γὰρ εἶπε Σάμης τε. (Ar. 238). A. Cf. Φ 232
book 634.5.4 (δείλη δείελος) et scholl. ad E 397 (πύλη πύλος).
book h641-2.1 οὐ γὰρ ἔτ’ Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
book h641-2.2 οὐδ’ ἄρ’ ἔτ’ αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος.
book 641.1 ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν, ἴσως
book 641.2 ὑποπτεύσας τὸν Μελέαγρον κεχωρίσθαι τῶν Οἰνέως παιδῶν
book 641.3 (quod intellexerunt οἱ νεώτεροι: Herod. π. σχημ. Waltz Rhe-
book 641.4 tores 8, 605). εἴρηται δὲ ἐξ ὀνόματος κατ’ ἐξοχήν, καθάπερ
book 641.5.1 ἐπὶ τοῦ Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα (N 1).
book 641.5.2 καὶ γὰρ ὁ Ἕκτωρ Τρὼς ἦν. A.
book 649.1 ἄλλοι θ’ οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέ-
book 649.2 μοντο: ἡ διπλῆ πρὸς τοὺς χωρίζοντας, ὅτι νῦν μὲν ἑκατόμ-
book 649.3 πολιν τὴν Κρήτην, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν. ἤτοι
book 649.4 οὖν ἑκατόμπολιν ἀντὶ τοῦ πολύπολιν· ἢ ἐπὶ τὸν συνεγγὺς
book 649.5.1 καὶ ἀπαρτίζοντα ἀριθμὸν κατενήνεκται νῦν, ἐν Ὀδυσσείᾳ
book 649.5.2 δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ. A. Quod nunc
book 649.5.3 excidit de Sophocle, puto fuisse δυοδεκάμηνον χρόνον, quem
book 649.5.4 Herculem abesse dicit chorus in Trachiniis v. 648, quum alibi
book 649.5.5 (v. 44, 164) accuratius quindecim menses dicantur. Similiter pror-
book 649.10 sus ex tragico exemplum contulerat Aristarchus supra ad v. 45. L.
book 654.1 Ῥοδίων ἀγερώχων. Sine dubio etiam hic notatum
book 654.2 fuit, hoc adjectivum non Rhodiorum tantum epithetum esse:
book 654.3 K 430. Ejus scholii reliquiae exstare videntur in BL.: ἄγαν
book 654.4 γέρας ἐχόντων, ἐντίμων, cf. Γ 36.
book 658.1 βίῃ Ἡρακληείῃ: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζη-
book 658.2 νόδοτος γράφει Ἡρακλείῃ (i. e. Ἡρακλεΐῃ L.), καὶ ἄμετρον
book 658.3 ποιῶν καὶ οὐχ Ὁμηρικὸν τὸ σχῆμα· ἀπὸ γὰρ τοῦ Ἡρακλῆος
book 658.4 Ἡρακληείῃ ἐκπίπτει. A. (v. ad E 638).
book 659 τὴν ἄγετ’ ἐξ Ἐφύρης, ποταμοῦ ἀπὸ Σελλήεν-
book 659.1 τος: ἡ διπλῆ, ὅτι ἡ Ἐφύρη αὕτη ἑτέρα ἐστὶ τῆς Κορίνθου,
book 659.2 τῆς Θεσπρωτίας οὖσα (Ar. 236): καὶ ὅτι σὺν τῷ ς Σελλήεντα
book 659.3 τὸν ποταμὸν λέγει, ἀφ’ οὗ τὸ παροικοῦν ἔθνος Σελλοὺς κα-
book 659.5 λεῖ. οἱ δὲ νεώτεροι Ἑλλοὺς λέγουσι πλανηθέντες (Ar. 239). A.
book 667.1 αὖταρ ὅ γ’ ἐς Ῥόδον ἷξεν ἀλώμενος, ἄλγεα
book 667.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάσχων: ὅτι Ζηνόδοτος γράφει αἶψα δ’ ὅ γ’ ἐς Ῥόδον.
book 667.3 οὐ δύναται δὲ ταχέως ἐληλυθέναι ἐπὶ τὴν Ῥόδον ὁ πρό-
book 667.4 τερον μὲν ναῦς πεπηχώς, εἶτα ἀλώμενος καὶ οὐκ εὐθυ-
book 667.5 πλοήσας. A.
book h668-9.1 τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδ’ ἐφίληθεν
book h668-9.2 ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει.
book 668.1 σεσημείωται πρὸς τὸν ἑξῆς ἀθετούμενον· οὐ γὰρ
book 668.2 νοήσας τις, ὅτι τὸ σημαινόμενον τοιοῦτόν ἐστι, καίπερ οὐκ
book 668.3 ἐπὶ τῆς αὐτῆς οἰκοῦντες πόλεως ἀλλὰ τριχῇ διασπαρέντες,
book 668.4 ἐφιλήθησαν ὑπὸ ἀλλήλων καὶ οὐ διήχθρευσαν, ἐζήτησεν ὑπὸ
book 668.5.1 τίνος ἐφιλήθησαν· διὸ προσέθηκε τὸν ἐκ Διός, ὅς τε θεοῖσι
book 668.5.2 καὶ ἀνθρώποισιν ἀνάσσει. A. Ar. 350.
book 669 ἀθετεῖται. ἡ δὲ αἰτία προείρηται (668). A.
book 670.1 καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρο-
book 670.2 νίων: ἡ διπλῆ, ὅτι Πίνδαρος (Ol. 7, 50) κυρίως δέδεκται
book 670.3 χρυσὸν ὗσαι τὸν Δία, Ὁμήρου μεταφορᾷ κεχρημένου διὰ
book 670.4 τοῦ κατέχευε πρὸς ἔμφασιν τοῦ πλούτου. A. Ar. 188.
book h673-5.1 Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν
book h673-5.2 τῶν ἄλλων Δαναῶν μετ’ ἀμύμονα Πηλείωνα.
book h673-5.3 ἀλλ’ ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο λαός.
book 673-5.1 τρισὶ στίχοις παράκεινται διπλαῖ περιε-
book 673-5.2 στιγμέναι, ὅτι ἐκ τῶν τριῶν τοὺς δύο ἠθέτηκε Ζηνόδοτος,
book 673-5.3 τὸν δὲ μέσον οὐδὲ ἔγραφεν, τοῦ Ὁμήρου φιλοτιμουμένου
book 673-5.4 ἐν πᾶσι τὸν Ἀχιλλέα προτεροῦντα παραστῆσαι (Pluyg. p. 11.
book 673-5.5 Bekk. ed. Vill. στῆσαι). A.
book 681.1 νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος
book 681.2 ἔναιον: ἡ διπλῆ ὅτι Ζηνόδοτος μετέγραφεν οὕτως οἳ δ’
book 681.3 Ἄργος τ’ εἶχον τὸ Πελασγικόν, οὖθαρ ἀρούρης, τοῦ
book 681.4 Ὁμήρου φιλοτέχνως ὥσπερ προοιμιαζομένου διὰ τὸ μετα-
book 681.5.1 βαίνειν ἀπὸ τῶν νήσων καὶ τῆς Πελοποννήσου ἐπὶ τὰ κατὰ
book 681.5.2 Θεσσαλίαν, οὐκ ὄντα συναφῆ τοῖς προειρημένοις. A.
book 684.1 Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ
book 684.2 Ἀχαιοί: ἡ διπλῆ, ὅτι μόνους τοὺς ὑπ’ Ἀχιλλεῖ τεταγμέ-
book 684 νους Ἕλληνας καλεῖ. A. Cf. ad 529, Ar. 233.
book h686-7.1 ἀλλ’ οἵ γ’ οὐ πολέμοιο δυσηχέος ἐμνώοντο·
book h686-7.2 οὐ γὰρ ἔην κτλ.
book 686.1 ὅτι Ζηνόδοτος ἀθετεῖ ἀπὸ τούτου ἕως τοῦ τῆς ὅ
book 686.2 γε κεῖτ’ ἀχέων (694) στίχους ἐννέα. ἀναγκαῖοι δέ εἰσιν·
book 686.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δι’ αὐτῶν γὰρ δηλοῦται ὅτι ἐφ’ ἑαυτῶν ἔμενον οἱ Μυρ-
book 686.4 μιδόνες. A.
book 689.1 κούρης χωόμενος Βρισηίδος ἠυκόμοιο: ἡ
book 689.2 διπλῆ ὅτι ἐλλείπει ἡ περί πρόθεσις. A. Cf. p. 26.
book 690.1 τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας:
book 690.2 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει τὴν ἐν Λυρ-
book 690.3 νησσῷ. οὐκ ἔλαβε δὲ αὐτὴν ἐν Λυρνησσῷ ἀλλὰ πρότερον
book 690.4 κατάξας τῷ Ἀγαμέμνονι ἐξαίρετον ἔλαβεν αὐτὴν γέρας. A.
book 692 Annotatum fuit tres Epistrophos esse: 856.
book 694.1 τῆς ὅ γε κεῖτ’ ἀχέων, τάχα δ’ ἀνστήσεσθαι
book 694.2 ἔμελλεν: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει
book 694.3 ἀνατάσασθαι (Vill. ἀναστ.) ἔμελλεν, διὰ τοῦ καταπροηγουμέ-
book 694.4 νως λόγον αἰολίζοντος, ἀλλ’ οὐχὶ σπανίως δι’ εὐφωνίαν.
book 694.5.1 οὐδὲ οἱ Αἰολεῖς δὲ οὕτω λέγουσιν. A. In ἀνατάσασθαι prae-
book 694.5.2 ter ἀστήσεσθαι a Bekkero propositum etiam ἄνευ τοῦ ν de-
book 694.5.3 litescere videtur. Reliqua manent in insolubilibus, nisi quod
book 694.5.4 in fine fuisse videtur: ἀλλ’ οὐχὶ Ὅμηρος, εἰ μὴ σπανίως κτλ. L.
book 694.5.5 Πύρασον ἀνθεμόεντα
book 696.1 Δήμητρος τέμενος, Ἴτωνά τε μητέρα μήλων:
book 696.2 ἡ διπλῆ, ὅτι οὐ τὸν Πύρασον λέγει Δήμητρος τέμενος, ἀλλὰ
book 696.3 πόλις ἐστὶ Δημήτριον καλουμένη. A. Ar. 235 et cf. schol.
book 696.4 Nicanoris.
book 697.1 ἀγχίαλόν τ’ Ἀντρῶνα: ἡ διπλῆ περιεστιγμένη,
book 697.2 ὅτι Ζηνόδοτος γράφει ἀγχιάλην τ’ Ἀντρῶνα. καὶ εἰ
book 697.3 θηλυκῶς δὲ λέγεται ἡ Ἀντρών, κοινόν ἐστι τὸ ὄνομα, ὁ
book 697.4 ἀγχίαλος καὶ ἡ ἀγχίαλος. A.
book 701.1 τὸν δ’ ἔκτανε Δάρδανος ἀνήρ (Protesilaum).
book 701.2 Notatum erat ab Aristarcho: omnium minime Hectorem intelligi
book 701.3 posse, ut reperitur in fabulis recentiorum, quia apud Homerum
book 701.4 Dardani a Trojanis diversi: 819 Υ 215. Ar. 235. L.
book 718.1 τῶν δὲ Φιλοκτήτης ἦρχεν, τόξων εὖ εἰδώς:
book 718.2 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει τῶν αὖ
book 718.3 ἡγεμόνευε Φιλοκτήτης ἀγὸς ἀνδρῶν, ὁ δὲ ποιητὴς
book 718 προδιασυνίστησιν ἐν τῷ καταλόγῳ τὴν [περὶ] ἑκάστου ἀρετήν. A.
book h721-2.1 ἀλλ’ ὁ μὲν ἐν νήσῳ κεῖτο κρατέρ’ ἄλγεα πάσχων,
book h721-2.2 Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν.
book 721.1 Ad hunc fuit asteriscus. Harl. (Cram.) ad ε 13: οἰ-
book 721.2 κειότερον ἐν Ἰλιάδι κεῖται περὶ Φιλοκτήτου.
book 722.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι ἐν Λήμνῳ ἔμενε καταλελειμμένος ὁ Φιλοκτήτης·
book 722.2 οἱ δὲ νεώτεροι ἐν νησιδίῳ ἐρήμῳ. A. Ar. 188.
book h724-5.1 ἔνθ’ ὅ γε κεῖτ’ ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον
book h724-5.2 Ἀργεῖοι παρὰ νηυσὶ Φιλοκτήταο ἄνακτος.
book 724.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν
book 724.2 ἑξῆς ἠθέτηκεν. ἀναγκαῖον δέ ἐστι γνῶναι ὅτι ὕστερον ἀνε-
book 724.3 κομίσθη ἐκ Λήμνου ὁ Φιλοκτήτης. A.
book 726.1 οὐδὲ μὲν οὐδ’ οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν
book 726.2 ἀρχόν·
book 726.3 ἀλλὰ Μέδων κόσμησεν: ἡ διπλῆ περιεστιγμένη, ὅτι
book 726.4 Ζηνόδοτος γράφει τοὺς δὲ Μέδων κόσμησεν, ἵνα συν-
book 726.5.1 δήσῃ τὴν φράσιν, ἠθετηκὼς τοὺς προειρημένους στίχους. A.
book 726.5.2 Videtur igitur Zenodotus etiam v. 726 ejecisse.
book 730.1 οἵ τ’ ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχα-
book 730.2 λιῆος: ἡ διπλῆ, ὅτι οὐ τῆς Εὐβοίας ἡ Οἰχαλία καθ’ Ὅμη-
book 730.3 ρον, ὡς παρὰ τοῖς νεωτέροις, ἀλλὰ τῆς Θεσσαλίας (v. 596,
book 730.4 Ar. 185). A.
book h740-5.1 τῶν αὖθ’ ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης,
book h740-5.2 υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς—
book h740-5.3 τόν ῥ’ ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
book h740-5.4 ἤματι τῷ ὅτε Φῆρας ἐτίσατο λαχνήεντας,
book h740-5.5.1 τοὺς δ’ ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσεν—
book h740-5.5.2 οὐκ οἶος, ἅμα τῷ γε Λεοντεὺς ὄζος Ἄρηος.
book 741.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει τὸν ἀθάνατον
book 741.2 τέκετο Ζεύς· ὅπερ ψεῦδος (v. ad Φ 2). A.
book 742.1 κλυτὸς Ἱπποδάμεια: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ κλυτή
book 742.2 κλυτός εἶπεν. A. Cf. p. 31.
book 745.1 ἡ διπλῆ, ὅτι διὰ μέσου τὰ περὶ τοὺς Κενταύρους
book 745.2 παριστόρηται, τὸ δὲ ἑξῆς ἐστὶ τοῦ λόγου, τῶν αὖθ’ ἡγεμό-
book 745.3 νευε μενεπτόλεμος Πολυποίτης, οὐκ οἶος, ἅμα τῷ γε Λεον-
book 745.4 τεύς, ὄζος Ἄρηος. A.
book 745.5 αὐτῶν ἠδ’ ἵππων, οἳ ἅμ’ Ἀτρείδῃσιν ἕποντο.
book 763 ἵπποι μὲν μέγ’ ἄριστοι ἔσαν Φηρητιάδαο: ὅτι
book 763 πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A. Pluygers p. 8.
book 767.1 ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας:
book 767.2 ἡ διπλῆ ὅτι τὴν ἐν πολέμῳ φυγὴν φόβον Ἄρεως εἴρηκεν·
book 767.3 ἀρετὴ γὰρ ἵππων οὐ μόνον διώκειν, ἀλλὰ καὶ ὅτε δέοι ἀτα-
book 767.4 ράχως φεύγειν, διωκέμεν ἠδὲ φέβεσθαι (E 223 ubi v.
book 767.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

et Θ 107). A. Ar. 89.

εἴσατο δὲ (Iris) φθογγὴν υἷι Πριάμοιο Πολίτῃ,
ὃς Τρώων σκοπὸς ἷζε, ποδωκείῃσι πεποιθώς,
τύμβῳ ἐπ’ ἀκροτάτῳ Αἰσυήταο γέροντος,
δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί.
τῷ μιν ἐεισαμένη προσέφη πόδας ὠκέα Ἶρις.

ἀπὸ τούτου ἕως τοῦ τῷ μιν ἐεισαμένη (795) ἀθετοῦνται στίχοι πέντε. εἰ γὰρ ἕνεκα τοῦ προαπαγγεῖλαι, ὅτι παραγίνονται οἱ Ἕλληνες, ἤρκει ὁ Πολίτης, εἴπερ ὅλως ἐπετήρει· εἰ δὲ ἕνεκα τοῦ προτρέψασθαι μὴ τολμῶντας προελθεῖν, ἔδει αὐτοπρόσωπον παρεῖναι. ἔθος τέ ἐστι τοῖς μεταμορφουμένοις θεοῖς κατὰ τὴν ἄφοδον ἀπολιπεῖν τεκμήριον εἰς ἐπίγνωσιν. οἵ τε λόγοι οὐχ οὕτως εἰσὶν ἐσχηματισμένοι τοῦ Πολίτου ὡς πρὸς πατέρα, ἀλλ’ εἰσὶν ἐπιτεταμένοι καὶ ἐπιπληκτικοί. καὶ τὸ Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι Πολίτῃ ἀνοίκειον· μᾶλλον δὲ Ἴριδι ἁρμόζει ἐπιτάσσειν. A. v. 807.

Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι: ὅτι περισσεύει ὁ δέ σύνδεσμος. A. Cf. p. 33.

ὣς ἔφαθ’, Ἕκτωρ δ’ οὔ τι θεᾶς ἔπος ἠγνοίησεν: ἡ διπλῆ ὅτι τοῦτό ἐστι τὸ πλανῆσαν τὸν τὰ ἐπάνω (791) διασκευάσαντα (Ar. 350). οὐ κεῖται δὲ συνήθως ἡμῖν τὸ ἠγνοίησεν, ἀλλ’ ἀντὶ τοῦ οὐκ ἀπίθησεν. A.

πᾶσαι δ’ ὠίγνυντο πύλαι: ἡ διπλῆ ὅτι ἔμφασιν ἔχει (Ar. 74) πολλῶν πυλῶν, μία δέ ἐστι· καὶ ἔστι τὸ πᾶσαι ἀντὶ τοῦ ὅλαι. A. Cf. M 175, Ψ 135, Ar. 131.

Δαρδανίων αὖτ’ ἦρχεν ἐὺς παῖς Ἀγχίσαο: ἡ διπλῆ ὅτι τῶν Δαρδάνων ἦρχεν Αἰνείας, καὶ αὐτὸς ὢν Δάρδανος. πρὸς τὸ τὸν δ’ ἔκτανε Δάρδανος ἀνήρ (701). A.

τὸν ὑπ’ Ἀγχίσῃ τέκε δι’ Ἀφροδίτη: ὅτι περιττεύει ἡ ὑπό. A. Pluyg. p. 8. —? —Cf. p. 23. not. 2 et p. 27.

Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν: ἡ διπλῆ, ὅτι οὐ τὸ τόξον λέγει ἀλλὰ τὴν τοξικὴν ἐμπειρίαν· τὸ γοῦν τόξον αὐτῷ ὁ κεραοξόος κατασκευάζει (Δ 110). A. Cf. O 441.

καὶ Ἄμφιος λινοθώρηξ: ὅτι καὶ ἕτερος Ἄμφιος Περκώσιος Ἐλάτου υἱός (E 612). A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν αὖθ' Ὑρτακίδης ἦρχ' Ἄσιος, ὄρχαμος ἀνδρῶν,
book 837.2 Ἄσιος Ὑρτακίδης: ἡ διπλῆ, ὅτι ὁ Ἄσιος οὗτος ὁμώ-
book 837.3 νυμός ἐστι τῷ Ἑκάβης ἀδελφῷ (Π 719). ἐσημειοῦτο δὲ ὁ
book 837.4 Ἀρίσταρχος τὰς ὁμωνυμίας πρὸς τὰ Πυλαιμένους (Ar. 8). καὶ
book 837.5 πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν Ἰλιάδι (Ar. 363). A.
book 839.1 ποταμοῦ ἀπὸ Σελλήεντος: ὅτι Σελλήεις πο-
book 839.2 ταμός ἐστιν Ἀσίας, ὁμώνυμος τῷ Θεσπρωτικῷ (ita L. pro
book 839.3 τῇ Θεσπρωτίᾳ). A. Cf. O 531.
book 844.1 αὐτὰρ Θρήικας ἦγ' Ἀκάμας καὶ Πείρως ἥρως.
book 844.2 Aristarchum Πείρως scripsisse apparet ex adn. ad Υ 484.
book 846.1 Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων.
book 846.2 Sed praeter hunc etiam Mentes Ciconum dux est: P 73.
book h851-2.1 Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
book h851-2.2 ἐξ Ἐνετῶν.
book 851.1 ἡ διπλῆ, ὅτι οὗτός ἐστι Πυλαιμένης περὶ οὗ πολ-
book 851.2 λοὶ τῶν ἀρχαίων ἐζητήκασιν (E 576 N 643). A.
book 852.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐξ
book 852.2 Ἐνετῆς. A.
book 856.1 αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος
book 856.2 ἦρχον: ἡ διπλῆ ὅτι καὶ ἕτερός ἐστιν Ὀδίος ὁμώνυμος (I 170),
book 856.3 καὶ παρὰ τοῖς Ἕλλησιν Ἐπίστροφος. A. Immo: καὶ παρὰ
book 856.4 τοῖς Ἕλλησιν ἕτερος Ἐπίστροφος (517) καὶ τρίτος παρὰ τοῖς
book 856.5 βαρβάροις, Εὐήνου υἱός (692).
book 858.1 Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνι-
book 858.2 στής: ὅτι νῦν μὲν Χρόμιν, ἐν ἄλλοις δὲ λέγει Χρόμιον
book 858.3 τὸν αὐτόν (P 218). A. Et Ennomus ex homonymis Λ 422. L.
book 860.1 ἀλλ' ἐδάμη (Ennomus) ὑπὸ χερσὶ ποδωκέος Αἰακίδαο
book 860.2 ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράιζε καὶ ἄλλους:
book 860.3 ἀθετοῦνται ἀμφότεροι, ὅτι κατὰ τὴν παραποταμίαν μάχην
book 860.4 (Φ) οὐχ εὑρίσκεται ἐπ' ὀνόματι πίπτων. εἴωθε δὲ ὁ ποιη-
book 860.5.1 τὴς τοὺς ἡγεμόνων θανάτους διαδήλως λέγειν. ἐὰν δὲ μὴ
book 860.5.2 ὁρισθῇ ὁ τόπος καὶ ὁ καιρός, δύναται ὁ ἕτερος μένειν. A.
book 862 Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοει-
book 862.1 δής: ἡ διπλῆ, ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν
book 862.2 τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως· Αἰσχύλος δὲ
book 862.3 συνέχεεν (cf. Γ 184). A. Ar. 238.
book 867.1 Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων:
book 867.2 ἡ διπλῆ ὅτι Θουκυδίδης (α′, γ′) λέγει τὴν ὀνομασίαν τῶν
book 867.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρβάρων νεωτερικὴν εἶναι. ἐλέγχεται δὲ ἐντεῦθεν. (?) A.
book 867.4 Ar. 233.
book 871.1 Νάστης τ’ Ἀμφίμαχός τε Νομίονος ἀγλαὰ τέκνα,
book 871.2 ὃς καὶ χρυσὸν ἔχων πόλεμον δ’ ἴεν ἠύτε κούρη:
book 871.3 ἡ διπλῆ ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τὸ ὃς καὶ χρυσὸν
book 871.4 ἔχων, ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει. καὶ ὅτι οὐ
book 871.5.1 λέγει ὅπλα αὐτὸν ἔχειν χρυσᾶ, ὡς καὶ πάλιν ὁ Σιμωνίδης
book 871.5.2 ἐξέλαβεν, ἀλλὰ κόσμον χρυσοῦν· λέγει γὰρ ἠύτε κούρη.
book 871.5.3 ἐνεπλέκοντο γὰρ χρυσὸν οἱ βάρβαροι· πλοχμοί θ’ οἳ χρυσῷ
book 871.5.4 καὶ ἀργύρῳ ἐσφήκωντο (P 52). A.
book h3.1 ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
book h3.2 αἵ τ’ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον
book h3.3 ὄμβρον.
book 3.1 οὐρανόθι πρό: ὅτι ἀντὶ τοῦ ἐν τῷ ὑπὸ τὰ νέφη
book 3.2 τόπῳ. διὸ καὶ τὰς τοῦ Ὀλύμπου κορυφὰς ἐπουρανίους νοη-
book 3.3 τέον. A. Cf. Ar. 167.
book 4.1 ἡ διπλῆ, ὅτι χειμῶνα οὐ τὴν χειμερινὴν κατάστασιν
book 4.2 λέγει, ἀλλὰ τὸν χειμερινὸν τόπον τῆς Θράκης· οὐ γὰρ ἐν-
book 4.3 στάντος χειμῶνος, τότε (i. e. tum demum) ἀπαίρουσιν, ἀλλὰ
book 4.4 προσδοκίας οὔσης. A.
book h10-1.1 εὖτ’ ὄρεος κορυφῇσι Νότος κατέχευεν ὀμίχλην,
book h10-1.2 ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς
book h10-1.3 ἀμείνω.
book 10.1 ὅτι τὸ εὖτε οὐκ ἔστι χρονικὸν ἀλλ’ ὁμοιωματικόν,
book 10.2 ἀναλογοῦν τῷ ἠύτε. A.
book 11.1 ἡ διπλῆ, ὅτι τινὲς γράφουσι σὺν τῷ ν ἀμείνων.
book 11.2 εἰ δὲ κατ’ αἰτιατικήν ἐστι, χωρὶς τοῦ ν γράφεται· ἀνάλογον
book 11.3 γάρ ἐστι τὸ (τῷ? O 718) ἀμείνονα. ἄλλοι δὲ γράφουσιν ἀντὶ
book 11 τοῦ νυκτὸς ἀμείνω—A. —an πολλὸν ἀμείνω? L.
book 13.1 κονίσαλος ὤρνυτ’ ἀελλής: ἡ διπλῆ ὅτι οὐ λέγει
book 13.2 ὑπὸ ποδῶν ἀέλλης, ἀλλὰ κονίσαλος ἀελλής, ἀελλώδης. A.
book h18-20.1 καὶ ξίφος· αὐτὰρ δοῦρε δύω κεκορυθμένα χαλκῷ
book h18-20.2 πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους
book h18-20.3 ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι.
book 18.1 Excidisse videtur adnotatio de duobus jaculis quibus
book 18.2 Paris armatus est: Λ 43.
book 19-20.1 ἀθετοῦνται ἀμφότεροι· ὁ γὰρ παρδαλέην ἀνει-
book 19-20.2 λῃφὼς καὶ τοξικὴν στολὴν ἔχων οὐκ ἂν προκαλοῖτο εἰς μο-
book 19-20.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νομαχίαν, ἀλλ’ ὕστερον ἐπὶ τοῦτο ἔρχεται ὀνειδισθεὶς ὑφ’
book 19-20.4 Ἕκτορος. ἄτοπον δὲ καὶ τὸ ἅμα πάντας προκαλεῖσθαι. A.
book h25-6.1 πεινάων· (leo) μάλα γάρ τε κατεσθίει, εἴπερ ἂν
book h25-6.2 αὐτόν
book h25-6.3 σεύωνται ταχέες τε κύνες, θαλεροί τ’ αἰζηοί.
book 25.1 ὅτι τὸ εἴπερ ἂν αὐτόν ἀντὶ τοῦ εἰ καὶ αὐτόν,
book 25.2 ὡς ὅταν λέγῃ εἴπερ ἂν αὐταὶ Μοῦσαι ἀείδοιεν (B 598)
book 25.3 ἀντὶ τοῦ εἰ καὶ αὐταί. Cf. p. 12, 1. Καὶ ὅτι ὁ τέ σύν-
book 25.4 δεσμος περισσεύει (p. 34). A. Cod. θέλοιεν pro ἀείδοιεν.
book 27.1 ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοειδέα
book 27.2 ὀφθαλμοῖσιν ἰδών· φάτο γὰρ τίσεσθαι ἀλείτην:
book 27.3 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀλείτας, τὰς
book 27.4 ἁμαρτίας ἐκλαμβάνων. κρεῖττον δὲ αὐτὸν τὸν Ἀλέξανδρον
book 27.5 λέγεσθαι ἀλείτην. A.
book 31.1 κατεπλήγη φίλον ἦτορ: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ
book 31.2 κατεπλάγη. A.
book 36.1 Τρώων ἀγερώχων: ἡ διπλῆ ὅτι ἀγερώχους τοὺς
book 36.2 Τρῶας, οὐ μόνον τοὺς Ῥοδίους (B 654), ὥς τινες ᾠήθησαν,
book 36.3 διὰ τὸ ἀγείρειν τὴν ὀχήν, τουτέστι τὴν τροφήν· ὁ γὰρ Ὅμη-
book 36.4 ρος ἀγερώχους τοὺς ἄγαν γεραόχους καὶ σεμνοὺς λέγει. B.
book 44.1 φάντες ἀριστῆα πρόμον ἔμμεναι: ἡ διπλῆ,
book 44.2 ὅτι κατὰ συγκοπὴν τὸν πρόμαχον εἴρηκεν, οὐχ ὡς οἱ γλωσ-
book 44.3 σογράφοι (Ar. 45) τὸν βασιλέα. A. Ar. 109.
book 48.1 γυναῖκ’ εὐειδέ’ ἀνῆγες· ἡ διπλῆ ὅτι ἀναγωγὴν
book 48.2 λέγει τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν· ἔστι γὰρ
book 48.3 ὑψηλότερα τὰ πρὸς ἄρκτους. A. ἄρκτους pro αὐτούς L. (cl.
book 48.4 I 337) Herod. p. 460.
book 49.1 ἐξ ἀπίης γαίης: ἡ διπλῆ ὅτι ἀπίαν τὴν πολὺ ἀφεστῶ-
book 49.2 σαν, οὐχ ὡς οἱ νεώτεροι τὴν Πελοπόννησον. φησὶ γοῦν ἐξ
book 49.3 ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ (π 18). AV. Ar. 233.
book 52.1 ἀρηίφιλον Μενέλαον. Notaverat epithetum ἀρηί-
book 52.2 φιλος Menelao a poeta constanter dari. Si igitur Apollon in Phae-
book 52.3 nopis persona (P 588) eum μαλθακὸν αἰχμητήν appellet, ab hoc
book 52.4 nequaquam exprimi poetae sententiam de Menelai moribus et indole.
book 54.1 οὐκ ἄν τοι χραίσμῃ κίθαρις τά τε δῶρ’ Ἀφρο-
book 54.2 δίτης: ἡ διπλῆ, ὅτι τινὲς μὴ εὑρίσκοντες κατὰ τὴν ποίη-
book 54.3 σιν τὸν Ἀλέξανδρον κιθαρίζοντα, μετέγραψαν κίδαρις·
book 54.4 τοῦτο δὲ πίλου γένος εἶναι λέγουσιν. πολλὰ δέ ἐστιν ἅπαξ
book 54.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγόμενα παρὰ τῷ ποιητῇ. A.
book 56.1 ἀλλὰ μάλα Τρῶες δειδήμονες: ἡ διπλῆ πε-
book 56.2 ριεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐλεήμονες. οὐκ ἐλεοῦσι
book 56.3 δὲ αὐτόν, ἀλλὰ μισοῦσιν· οὐ μὲν γὰρ φιλότητί γ᾽ ἐκεύ-
book 56.4 θανον· ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο (453). διὰ
book 56.5.1 δὲ τὸν Πρίαμον καὶ τὸν Ἕκτορα εὐλαβοῦνται αὐτῷ ἀντι-
book 56.5.2 πράσσειν (Cf. ad H 390). A.
book 65.1 οὔ τοι ἀπόβλητ᾽ ἐστὶ θεῶν ἐρικύδεα δῶρα,
book 65.2 ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο:
book 65.3 ἡ διπλῆ πρὸς τὸ ζητούμενον, πῶς, εἰ οὐκ ἔστιν ἀπόβλητα,
book 65.4 ἑκὼν οὐκ ἄν τις ἕλοιτο. A. „Sine dubio de significatione vo-
book 65.5 cabuli ἑκών exposuerat.“ Ar. 212.
book 71.1 ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένη-
book 71.2 ται: διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν
book 71.3 κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς ἔχει τὸ ν. A.
book 73.1 οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
book 73.2 ναίοιτε Τροίην ἐριβώλακα: ἡ διπλῆ περιεστιγμένη,
book 73.3 ὅτι Ζηνόδοτος γράφει ναίοιμεν. γελοῖος δέ ἐστιν ἑαυτὸν
book 73.4 καταριθμῶν τοῖς ὕστερον οἰκήσουσι τὴν Τροίαν, ἀδηλότητος
book 73.5 οὔσης εἰ νικήσει (Cf. 257). A.
book 80.1 ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ᾽ ἔβαλλον: ἡ
book 80.2 διπλῆ ὅτι Ὅμηρος τὸ βάλλειν ἐπὶ τοῦ τιτρώσκειν τίθησι·
book 80.3 νῦν δὲ ἔμφασιν ἔχει. A. De hoc loco fusius dictum Ar. p. 74 sq.
book 82.1 ἴσχεσθ᾽ Ἀργεῖοι, μὴ βάλλετε: ἡ διπλῆ ὅτι τὸ
book 82.2 βάλλετε ἀντὶ τοῦ τιτρώσκετε. A.
book 83.1 στεῦται γάρ τι ἔπος ἐρέειν κορυθαίολος Ἕ-
book 83.2 κτωρ: ἡ διπλῆ ὅτι τὸ στεῦται ἀντὶ τοῦ κατὰ διάνοιαν ὁρί-
book 83 ζεται. A. Ar. 106.
book 92.1 ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται:
book 92.2 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν
book 92.3 κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς τὸ ν
book 92.4 προσλαμβάνει. A.
book 98.1 φρονέω δὲ διακρινθήμεναι ἤδη
book 98.2 Ἀργείους καὶ Τρῶας: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζη-
book 98.3 νόδοτος γράφει Ἀργεῖοι καὶ Τρῶες, ὡς ἀποστροφῆς τοῦ
book 98.4 λόγου γεγονυίας πρὸς αὐτούς. ἔστι δὲ διακρινθῆναι διχῶς
book 98.5.1 χωρισθῆναι, ὁ δὲ Ζηνόδοτος συνήθως ἡμῖν τέταχεν („puto
book 98.5.2 pro judicium subire“ Ar. 151). A.
book 100.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἵνεκ’ ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ’ ἀρ-
book 100.2 χῆς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἕνεκ’
book 100.3 ἄτης. ἔσται δὲ ἀπολογούμενος Μενέλαος, ὅτι ἄτῃ περιέ-
book 100.4 πεσεν ὁ Ἀλέξανδρος. διὰ μέντοι τοῦ ἕνεκ’ ἀρχῆς ἐνδείκνυ-
book 100.5 ται ὅτι προκατῆρξεν. A.
book 103.1 οἴσετε δ’ ἄρνα: ἡ διπλῆ πρὸς τὸ οἴσετε, ὅτι οὐ
book 103.2 μέλλοντός ἐστι χρόνου ἀλλ’ ἀντὶ τοῦ φέρετε, ἀπὸ τοῦ οἶσε,
book 103.3 ὅ ἐστι φέρε. A. Cf. O 718 X 481 et p. 6.
book 105.1 ἄξετε δὲ Πριάμοιο βίην: ἡ διπλῆ ὅτι τὸ ἄξετε
book 105.2 οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ’ ἴσον τῷ ἄγετε. A. Cf. p. 6.
book h108-10.1 αἰεὶ δ’ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
book h108-10.2 οἷς δ’ ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
book h108-10.3 λεύσσει, ὅπως ὄχ’ ἄριστα μετ’ ἀμφοτέροισι
book h108-10.4 γένηται.
book 108.1 ἀπὸ τούτου ἕως τοῦ λεύσσει ὅπως (110) ἀθε-
book 108.2 τοῦνται στίχοι τρεῖς, ὅτι ἀπολογία ἐστὶν αὕτη ὑπὲρ τῶν
book 108.3 παραβάντων Πριαμιδῶν. εἰ γὰρ κατὰ κοινοῦ αἱ φρένες τῶν
book 108.4 νέων κρέμανται, οὐδὲν ξένον ἁμάρτημα πεποιήκασιν. A.
book 108.5.1 Et accessit significatio vocis ὁπλότερος non Homerica de qua v.
book 108.5.2 Δ 324 Ξ 267, Ar. 183. L.
book 122.1 εἰδομένη γαλόῳ: ἡ διπλῆ διὰ τὸ γαλόῳ A. For-
book 122.2 tasse propter diaeresin (cf. Γ 273). Idem cod. haec habet:
book 122.3 γάλως, ὅ ἐστιν ἀνδραδέλφη, ὡς Ἄθως· καὶ διαίρεσις γαλόω
book 122.4 ὡς Ἀθόω δ’ ἐπὶ πόντῳ (Ξ 229). A.
book 124.1 Λαοδίκην Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην:
book 124.2 ἀντὶ τοῦ ἁπλοῦ· φησὶ γοῦν Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
book 124.3 Κασάνδραν (N 365). V. Fluxisse videtur ex Aristonico. Cf. p. 31.
book 126.1 δίπλακα πορφυρέην: ἡ διπλῆ, ὅτι παραλέλει-
book 126.2 πται τὸ κύριον, ἡ χλαῖνα. λέγει δὲ δίπλακα χλαῖναν, ἥν
book 126.3 ἐστι διπλῆν ἀμφιέσασθαι. A. Verba, si quis forte aliquid
book 126.4 dubitet, confirmantur ab Eustathio hinc referente. Ψ 293 ser-
book 126.5.1 vatum ad δίπλακι δημῷ in V: ὅτι ἀρσενικῶς. Certe vix
book 126.5.2 dubito Aristonico fere sic annotatum fuisse: ὅτι νῦν ἀρσενι-
book 126.5.3 κῶς, πρὸς τὸ δίπλακα, πορφυρέην: quo confirmatum est,
book 126.5.4 δίπλαξ adjectivum esse, et ubi de palla dictum, παραλελεῖφθαι
book 126.5.5 τὸ κύριον, τὴν χλαῖναν. Nec χλαῖναν Διπλῆν ἐκταδίην
book 126.10 K 134 praetermissum fuerit. L.
book 138.1 τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις: ἡ
book 138.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διπλῆ, ὅτι περισσὸς ὁ κέ (cf. p. 33), καὶ ὅτι πτῶσις ἐνήλλακται, ἀντὶ τοῦ τοῦ δὲ νικήσαντος (cf. p. 22). A.

143 οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ’ ἕποντο,
Αἴθρη Πιτθῆος θυγάτηρ Κλυμένη τε βοῶπις.

Αἴθρη: εἰ μὲν τὴν Θησέως λέγει μητέρα, ἀθετητέον· ἀπίθανον γάρ ἐστιν Ἑλένης ἀμφίπολον εἶναι τὴν οὕτως ὑπεραρχαίαν, ἣν οὐκ ἐκποιεῖ ζῆν διὰ τὸ μῆκος τοῦ χρόνου. εἰ δὲ ὁμωνυμία ἐστί, καθάπερ καὶ ἐπὶ πλειόνων, δύναται μένειν· καὶ γὰρ ἄλλοι εἰσὶν ὁμώνυμοί τινες κατὰ τὰ Ἰλιακά, Ἄδραστος, Τεύθρας, Οἰνόμαος. A. H. e. homonymi cum claris quibusdam regibus: v. ad E 148. Ceterum non dubito, quin pars Aristonici notae interciderit, in qua dictum fuerit, probabiliorem tamen esse athetesin. Primum enim tanto magis mirandam esse hanc homonymiam, quae duplex sit in patre et filia: et hoc quidem ex conjectura dico: dein accedere ad haec adjectivum βοῶπις, quod de herdina praeter hunc versum semel tantum inveniatur H 9. Ad eum enim versum Aristonicus: ὅτι ἐνθάδε μόνον ἐφ’ ἡρωίνης τὸ ἐπίθετον, καὶ ἐν τῷ ἀθετουμένῳ (Γ 144). Unde primum apparet, hic etiam de βοῶπις monitum fuisse, et inventum esse in eo momentum suspicionis, deinde brevitatis causa recte potuisse Aristonicum τὸν ἀθετούμενον dicere, si hic additum fuerit, verisimilius ἀθετεῖσθαι: ut nunc est, non potuisse. L. Cf. Ar. 362.

δενδρέῳ: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει δένδρει. ὁ μὲν οὖν λέγων δένδρος ὡς κάλλος ἐρεῖ δένδρει ὡς κάλλει, ὁ δὲ δένδρον ὡς βάθρον ἐρεῖ δένδρῳ ὡς βάθρῳ. Ὅμηρος δὲ λέγων δένδρεον ὑψιπέτηλον (N 437) ὡς χάλκεον, ἐρεῖ καὶ δενδρέῳ ὡς χαλκέῳ. A.

οἱ δ’ ὡς οὖν εἴδονθ’ Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,
ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ’ ἀγόρευον:

Ζηνόδοτος γράφει ὦκα. εἴτε δὲ ἐπὶ τῆς Ἑλένης ἐστίν, ὅτι ὦκα ἐπορεύετο, ἀπρεπὲς ἔσται· εἴτε ἐπὶ τῶν δημογερόντων, ὅτι ὦκα διελέγοντο, ἀνάρμοστον· βραδυλόγοι γάρ εἰσιν οἱ γέροντες. A.

ὄφρα ἴδῃ πρότερόν τε πόσιν—ἴδῃ: ἡ διπλῆ ὅτι χωρὶς τοῦ ς γράφειν ὁμηρικώτερον. A. Cf. p. 2.

ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν: ἡ διπλῆ, ὅτι διαφέρει ἡ Φρυγία τῆς Τροίας καθ’ Ὅμηρον, οἱ δὲ νεώτεροι συγχέουσιν (Ar. p. 238). καὶ ὅτι τὸ ἤδη παρεί-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ληπται ἀντὶ χρονικοῦ τοῦ ποτέ· διὸ καὶ παραλλήλως λέγεται
book 184.5 τὸ ἤδη τῷ ποτέ· ἤδη γὰρ καὶ δεῦρό ποτ’ ἤλυθεν (205). A.
book 205.1 ἤδη γὰρ καὶ δεῦρό ποτ’ ἤλυθε δῖος Ὀδυσσεύς:
book 205.2 ἡ διπλῆ, ὅτι παραλλήλως τὸ ἤδη (cod. δή) τῷ ποτέ (Cf. 184). A.
book 205.3 V. ad N 276.
book 206.1 σεῦ ἕνεκ’ ἀγγελίης: ἡ διπλῆ ὅτι Ζηνόδοτος γρά-
book 206.2 φει σῆς ἕνεκ’ ἀγγελίης. οὐ λέγει δὲ συνήθως ἡμῖν, τῆς
book 206.3 σῆς ἀγγελίας χάριν, ἀλλ’ ἀγγελίης ἀντὶ τοῦ ἄγγελος. A. Cf.
book 206.4 Δ 384, Apoll. lex. 7, 12. Voss. h. Cereris 440.
book 207.1 τοὺς δ’ ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φί-
book 207.2 λησα: ἡ διπλῆ ὅτι παραλλήλως ἐξείνισα καὶ ἐφίλησα· τὸ γὰρ
book 207.3 φιλεῖν ἐνίοτε ἀντὶ τοῦ ξενίζειν τίθησιν. A. Ar. 150 et cf. ad N 276.
book 211.1 ἄμφω δ’ ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσ-
book 211.2 σεύς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος σὺν τῷ ν γρά-
book 211.3 φει ἑζομένων. τὸ δὲ ἄμφω δύο πτώσεις ἐπιδέχεται (cod.
book 211.4 ἔχει, v. ad A 8), ἀμφότεροι ἢ ἀμφοτέρους. καὶ νῦν λέγει
book 211.5.1 ἀμφότεροι δὲ καθήμενοι, κατ’ ἐναλλαγὴν πτώσεως, ἀντὶ
book 211.5.2 τοῦ καθημένων δὲ ἀμφοτέρων, καὶ ἔστι σύνηθες, ὡς ἐπ’
book 211.5.3 ἐκείνου σὺν δὲ δύ’ ἐρχομένω (K 224): οἱ δὲ δύο σκόπε-
book 211.5.4 λοι, ὁ μέν (μ 73), ἀντὶ τοῦ τῶν δύο σκοπέλων. AV. Cf. p. 19.
book 219.1 ἀλλ’ ἀστεμφὲς ἔχεσκεν: ἡ διπλῆ πρὸς τὸ ἀστεμ-
book 219.2 φές, ὅτι τὸ ἀμετακίνητον. ὁ γὰρ Ἀνακρέων σὺ γὰρ ἦς
book 219.3 ἔμοιγ’ ἀστεμφής. A.
book 220.1 φαίης κε ζάκοτόν τέ τιν’ ἔμμεναι: ὅτι τὸ φαίης
book 220.2 τὴν φαντασίαν ἔχει (Λ 699 O 544) ὡς πρὸς τὴν Ἑλένην
book 220.3 λεγόμενον· κατὰ μέντοι γε Ὁμηρικὴν συνήθειαν ἐκληπτέον
book 220.4 ἐν ἴσῳ τῷ ἔφη τις ἄν, ὡς ἔχει τὸ ἔνθ’ οὐκ ἂν βρίζοντα
book 220.5 ἴδοις (Δ 223) ἀντὶ τοῦ ἴδοι τις. ἄν. A. Cf. p. 8.
book 224.1 οὐ τότε γ’ ὧδ’ Ὀδυσῆος ἀγάσσαμεθ’ εἶδος
book 224.2 ἰδόντες: ἡ διπλῆ πρὸς τὸ σιωπώμενον, ὅτι συνυπακοῦσαι
book 224.3 δεῖ τὸ οὐ τότε οὕτως ἐθαυμάσαμεν τὸ εἶδος ἰδόντες, ὡς τὴν
book 224.4 κατὰ λόγον δύναμιν. A.
book 224.5 οὗτος δ’ Αἴας ἐστὶ πελώριος ἕρκος Ἀχαιῶν.
book 230.1 Ἰδομενεὺς δ’ ἑτέρωθεν: ἡ διπλῆ, ὅτι πλησίον
book 230.2 ὁ Ἰδομενεὺς Αἴαντος τοῦ Τελαμωνίου ἐτάσσετο καὶ (ins. L.)
book 230.3 κατὰ τὴν ἐπιπώλησιν (Δ 251, 273) συμφώνως. παραιτητέον
book 230.4 ἄρα ἐκεῖνον τὸν στίχον τὸν ἐν τῷ καταλόγῳ (B 558) ὑπὸ
book 230.5.1 τινῶν γραφόμενον στῆσε δ’ ἄγων ἵν’ Ἀθηναίων ἵσταντο
book 230.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φάλαγγες· οὐ γὰρ ἦσαν πλησίον Αἴαντος Ἀθηναῖοι (Δ 326).
book 230.5.2 A. Ar. 230.
book 243.1 ὣς φάτο, τοὺς δ’ ἤδη κάτεχεν φυσίζοος αἶα
book 243.2 ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ: ὅτι
book 243.3 Ζηνόδοτος γράφει ἑῇ ἐν πατρίδι (Apollon. constr. 157, 18;
book 243.4 pron. 60). εἴτε δὲ ἐπὶ τῶν Διοσκούρων ἔσται τὸ ἑῇ, ἑνικὸν
book 243.5.1 οὐχ ἁρμόσει· εἴτε δὲ ἐπὶ τῆς Ἑλένης, ἔκθεσμόν ἐστι τὸ οὕτω
book 243.5.2 λέγειν, τοὺς δ’ ἤδη κάτεχεν φυσίζοος αἶα ἐν τῇ ἑαυτῆς
book 243.5.3 πατρίδι. A.
book 256.1 οἱ δ’ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
book 256.2 ναίοιμεν Τροίην ἐριβώλακα: ἀστερίσκος, ὅτι νῦν
book 256.3 ὀρθῶς ἐν τῷ τοῦ κήρυκος λόγῳ γράφεται ναίοιμεν, ἐν δὲ
book 256.4 τοῖς ἐπάνω, ὅτε Ἀλέξανδρος λέγει (74) οὐκέτι. A.
book 261.1 ἂν δ’ ἄρ’ ἔβη Πρίαμος, κατὰ δ’ ἡνία τεῖνεν ὀπίσσω·
book 261.2 πὰρ δέ οἱ Ἀντήνωρ: ἡ διπλῆ, ὅτι δύο ἐπεδέχοντο οἱ
book 261.3 δίφροι· διὸ νῦν Πρίαμος ἡνιοχεῖ παραιβατοῦντος τοῦ Ἀν-
book 261.4 τήνορος. καὶ ὅτι οἱ ἥρωες πάντες ἔμπειροι καὶ αὐτουργοί·
book 261.5 διὸ καὶ ὁ Ὀδυσσεὺς ναυπηγεῖ καὶ κυβερνᾷ. A.
book 263.1 τὼ δὲ διὰ Σκαιῶν πεδίον δ’ ἔχον: ἡ διπλῆ, ὅτι
book 263.2 παραλέλοιπε τὸ πυλῶν, καὶ ὅτι ἀδιαιρέτως ἐξενήνοχεν· εἴ-
book 263.3 θισται γὰρ λέγειν Σκαιάων (X 6). A.
book 269.1 ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
book 269.2 μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευον:
book 269.3 ἡ διπλῆ, ὅτι οὐχ ὕδατι ἔμισγον τὸν οἶνον, ἀλλὰ τὸν τῶν
book 269.4 Τρώων καὶ Ἀχαιῶν· διὸ καὶ ἐν ἄλλοις σπονδαί τ’ ἄκρη-
book 269.5 τοι (B 341). A. Ar. 199.
book 271 μάχαιραν: ἡ διπλῆ, ὅτι τὴν παραξιφίδα μάχαιραν
book 271.1 καλεῖ· διὸ καὶ λέγει αὐτὴν παρηρτῆσθαι τῷ κουλεῷ τοῦ ξί-
book 271.2 φους. τὸ δὲ πολεμιστήριον ἄορ, ξίφος, φάσγανον· [καλοῦ-
book 271.3 σιν] συνώνυμα γάρ. A. Ita nunc L., non ut Ar. 98.
book 273.1 ἀρνῶν ἐκ κεφαλέων: ἡ διπλῆ περιεστιγμένη, ὅτι
book 273.2 Ζηνόδοτος γράφει ἀρνέων ἐκ κεφαλέων. ἀπὸ δὲ τῶν
book 273.3 κατὰ τὴν ὀρθὴν ληγόντων εἰς ες οὐ γίνονται τοιαῦται διαι-
book 273.4 ρέσεις, ἀλλ’ ἀπὸ τῶν εἰς αι· εἰ δὲ ἄρνες, ἀρνῶν. ἀπὸ δὲ
book 273.5.1 τοῦ κεφαλαί κατὰ λόγον κεφαλέων. A. Alii Zenodotum ἀρ-
book 273.5.2 νέων pro ἀρνείων accepisse putabant: Epimerism. p. 239. L.
book 276.1 Ἴδηθεν μεδέων: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ Ἴδης
book 276.2 μεδέων. A. Cf. p. 27.
book 277.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠέλιός θ’ ὃς πάντ’ ἐφορᾷς: ἡ διπλῆ περιεστι-
book 277.2 γμένη, ὅτι ἥλιος ἀντὶ τοῦ ἥλιε, ὡς κἀκεῖ δὸς φίλος (ρ 415),
book 277.3 καὶ ἀλλὰ φίλος θάνε καὶ σύ (Φ 106) (et φίλος ὦ Με-
book 277.4 νέλαε Δ 189 L. cf. p. 18). καὶ πρὸς τὴν ἀθέτησιν τῶν ἐν
book 277.5.1 Ὀδυσσείᾳ ὠκέα δ’ ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθεν
book 277.5.2 (μ 374) περὶ τῆς ἀπωλείας τῶν βοῶν τῷ πάντας ἐφορῶντι. A.
book 277.5.3 καὶ οἳ ὑπένερθε καμόντας
book 279.1 ἀνθρώπους τίνυσθον: ἡ διπλῆ περιεστιγμένη
book 279.2 πρὸς Ζηνόδοτον, ὅτι ἐκ τοῦ δυικῶς γράφεσθαι τὸ τίνυσθον
book 279.3 ἐλέγχεται, ὅτι ἐπὶ Περσεφόνης καὶ Πλούτωνός ἐστιν ὁ λό-
book 279.4 γος, οὐκ ἐπὶ τῶν νεκρῶν. A. Cf. p. 15.
book 280.1 μάρτυροί ἐστε: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζη-
book 280.2 νόδοτος γράφει μάρτυρες. Ὅμηρος δὲ μάρτυρος κατὰ τὸ
book 280.3 ἑνικὸν λέγει· Ζεὺς δ’ ἄμμ’ (cod. ἅμ’) ἐπιμάρτυρος
book 280.4 ἔστω (Η 76), οὗ πληθυντικὸν ἔσται τὸ μάρτυροι. A.
book 286.1 τιμὴν δ’ Ἀργείοις ἀποτινέμεν: ἡ διπλῆ, ὅτι
book 286.2 τιμὴν τὸ ἐπιτίμιον λέγει, ὃ πολλάκις λέγει ποινήν. A. Ar. 152 sq.
book 297.1 ὧδε δέ τις εἴπεσκεν: ἡ διπλῆ, ὅτι τὸ ὧδε οὐ-
book 297.2 δέποτε τοπικῶς, καθάπερ ἡμεῖς, λέγει, ἀλλ’ ἀντὶ τοῦ οὕτως
book 297.3 τοῦτο παραλαμβάνει. A. Ar. 84.
book 305.1 Ἴλιον ἠνεμόεσσαν: ὅτι θηλυκῶς ἀεὶ τὴν Ἴλιον
book 305.2 λέγει. A.
book 306.1 οὔ πω τλήσομ’ ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι:
book 306.2 παθητικὸν ἀντὶ ἐνεργητικοῦ. A. Cf. p. 2.
book 306.3 δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
book 306.4 οἷο κασιγνήτοιο Λυκάονος· ἥρμοσε δ’ αὐτῷ.
book 306.5 ἀμφὶ δ’ ἄρ’ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
book 335 χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε.
book 334-5.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος ἀμ-
book 334-5.2 φοτέρους ἠθέτηκε, καὶ μετὰ τὸν οἷο κασιγνήτοιο ὑπο-
book 334-5.3 τάσσει κρατὶ δ’ ἐπ’ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθη-
book 334-5.4 κεν Ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν
book 334-5.5.1 ἔνευεν· Εἵλετο δ’ ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν
book 334-5.5.2 ἀρήρει· Ἀμφὶ δ’ ἄρ’ ὤμοισιν βάλετ’ ἀσπίδα θυσ-
book 334-5.5.3 σανόεσσαν. ὥστε ἐναντίως τῷ Ὁμηρικῷ ὁπλισμῷ (Λ 30,
book 334-5.5.4 32 Ο 480) ἔχειν· πρὸ τῆς ἀσπίδος γὰρ φανήσεται ἀναλαμ-
book 334-5.5.5 βάνων τὴν περικεφαλαίαν, καὶ ξίφος μὴ ἔχων. A. Verba ὅ
book 334-5.10 οἱ—θυσσαν., quae sunt apud Villois., exciderunt apud Bekk.
book 339.1

ὣς δ’ αὔτως Μενέλαος ἀρήιος ἔντε’ ἔδυνεν: ὅτι οὗτος ξίφος ἔχει (v. 361): εἰ δὲ ὡσαύτως τῷ Ἀλεξάνδρῳ καθώπλισται, πάντως κἀκεῖνος εἶχε ξίφος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον (334). A. Ar. 194.

Ζεῦ ἄνα, δὸς τίσασθαι ὅ με πρότερος κάκ’ ἔοργεν δῖον Ἀλέξανδρον, καὶ ἐμῇς ὑπὸ χερσὶ δαμῆναι. ἀθετεῖται, ὅτι οὐκ ἀναγκαίως ἐπιλέγεται· καὶ γὰρ ὁ καιρὸς τὸ σύντομον ἔχειν θέλει. καὶ δῖον ἀκαίρως ὁ Μενέλαος τὸν ἐχθρὸν λέγει. A. Etiam Ψ 581 ἀθετεῖται, ὅτι ἀκαίρως λέγει διοτρεφές, ὀργιζόμενος αὐτῷ. Sed quod epithetum non apte positum esse videbatur, id solum nec hic nec illic satis fuisset ad suspicionem firmandam. Nequaquam enim fugerat Aristarchum, esse quaedam epitheta apud Homerum nominibus quasi propria et ita firmiter adhaerentia, ut ne tum quidem divelli possint, si significatio eorum ab aliquo loco vel tempore aliena sit. Veluti aquae Scamandri amoenae dicuntur quamvis sanguine suffusae, vestes fulgentes quamvis ita sordidae ut lavari debeant: v. ad Φ 218. Cf. ad Z 160 (δι’ Ἄντεια) H 75 (ubi Hector se ipse divinum appellat) Ψ 304 (ubi pigri Nestoris equi ὠκύποδες audiunt). Ne vs. Λ 432 quidem obelo notatus, quamquam alterum ejus dimidium inconcinne adsutum est.

ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ: ὅτι σαφῶς νῦν φιλότητα τὴν ξενίαν εἴρηκεν. BDL.

Ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος: ἡ διπλῆ, ὅτι ξίφος ἔχει, πρὸς Ζηνόδοτον (334). A. Ar. 195.

οὐρανὸν εὐρύν: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει αἰπύν. αἰπὺ δὲ ὄρος ἂν λέγοιτο, ὁ δὲ οὐρανὸς εὐρύς· παρήκει γὰρ τῇ γῇ. A. Ar. 168 not.

ἐκ δέ μοι ἔγχος ἠίχθη παλάμηφιν ἐτώσιον, οὐδ’ ἔβαλόν μιν: ὅτι σαφῶς τὸ οὐδ’ ἔβαλόν μιν σημαίνει ἀντὶ τοῦ οὐδὲ ἐπάταξα αὐτόν. A. Ar. 72 et 65 not.

ἄγχε δέ μιν πολύκεστος ἱμάς: ὅτι πολύκεστος ὁ πολυκέντητος· ἐκ δὲ τούτου ὁ ποικίλος δηλοῦται διὰ τὰς ῥαφάς. καὶ ὁ τῆς Ἀφροδίτης κεστὸς ἀπὸ τούτου· τῇ νῦν τοῦτον ἱμάντα—Ποικίλον (Ξ 219). ὁ δὲ Καλλίμαχος ὡς ὄνομα κύριον τοῦ ἱμάντος τὸν κεστὸν ἐκδέχεται. A.

αὐτὰρ ὁ ἂψ ἐπόρουσε, κατακτάμεναι μενεαίνων

ἔγχεϊ χαλκείῳ: ζητεῖται ποίῳ ἔγχει; ὃ γὰρ εἶχεν, ἐξηκόντισεν· διὸ ἡ διπλῆ. λεκτέον οὖν, ὅτι ἐπώρουσεν ἐφ’ ὃ ἐξηκόντισεν ἔγχος ἐνεχόμενον τῇ ἀσπίδι καὶ τῷ θώρακι τοῦ Ἀλεξάνδρου, ἵνα τοῦτο ἐκσπάσας ἀνέλοι αὐτόν. οὕτως οὖν ληπτέον τὸ ἑξῆς, ἐπόρουσε ἔγχεϊ χαλκείῳ, εἶτα χωρὶς κατακτάμεναι μενεαίνων. A. Ar. 212.

δινωτοῖσι λέχεσσιν: ὅτι δεινωτὰ λέχη λέγει ἤτοι διὰ τὸ τετορνεῦσθαι τοὺς πόδας, ἢ διὰ τὴν ἔντασιν τῶν ἱμάντων· πρώτῃ γὰρ ἐχρῶντο τῇ διὰ τῶν ἱμάντων πλοκῇ. A. In πρώτῃ aliquid vitii esse videtur. L.

οὐδέ κε φαίης

ἀνδρὶ μαχησάμενον τόν γ’ ἐλθεῖν: ὅτι ὡς πρός τινα λέγει μὴ ὑποκειμένου προσώπου, ἀντὶ τοῦ φαίη τις ἄν. A. Cf. p. 8.

ὣς φάτο, τῇ δ’ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.
καί ῥ’ ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρήν
στήθεά τ’ ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
θάμβησέν τ’ ἄρ’ ἔπειτα κτλ.

ὅτι οὐ δεῖ ἀκούειν ἐκ τοῦ θυμὸν ὄρινεν ἐθύμωσεν, ἀλλὰ τὸ παρώρμησεν· δεξάμενος δέ τις τὸ πρότερον τοὺς ἑξῆς ἐνδιασκευάζει (Ar. 350; de signif. cf. ad Δ 208): διὸ ἀθετοῦνται ἀπὸ τοῦ καί ῥ’ ὡς οὖν ἐνόησε ἕως τοῦ ὣς ἔφατ’· ἔδδεισεν δ’ Ἑλένη (418) στίχοι κγ′. πῶς γὰρ ἡ γραίᾳ παλαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ ὄμματα μαρμαίροντα καὶ στήθεα ἱμερόεντα; καὶ βλάσφημα καὶ παρὰ τὸ πρόσωπόν ἐστι τὰ λεγόμενα ἧσο παρ’ αὐτὸν ἰοῦσα, θεῶν δ’ ἀπόεικε κελεύθου (ita Aristarch., cod. ἀπόειπε κελεύθους), μηδ’ ἔτι σοῖσι πόδεσσιν. καὶ εὐτελὴς κατὰ τὴν διάνοιαν μή μ’ ἔρεθε σχετλίη. αἰρομένων δὲ αὐτῶν, καὶ τῆς συνεπείας γινομένης οὕτως· ὣς φάτο, τῇ δ’ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε· Βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ Σιγῇ, πάσας δὲ Τρῳὰς λάθεν, ἦρχε δὲ δαίμων—A. —Add. καλῶς ἔχει, vel tale quid. L. Et si fides sch. Q. δ 12 et Eustath. (1479, 63), vox δούλη (409) suspicionem auxit. Καί ante παρὰ τὸ πρόσωπεν inserui.

ἡ δ’ εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ δ’ ἄρα δίφρον ἑλοῦσα φιλομμειδὴς Ἀφροδίτη
book h423-6.3 ἀντί’ Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα·
book h423-6.4 ἔνθα καθῖζ’ Ἑλένη κούρη Διὸς αἰγιόχοιο.
book 423.1 ἀπὸ τούτου ἕως τοῦ ἔνθα καθῖζ’ Ἑλένη (426)
book 423.2 στίχοις τέσσαρσι παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι
book 423.3 Ζηνόδοτος μετετίθει τὴν συνέπειαν οὕτως ἀμφίπολοι μὲν
book 423.4 ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο, Αὐτὴ δ’ ἀντίον
book 423.5.1 ἷζεν Ἀλεξάνδροιο ἄνακτος, Ὄσσε πάλιν κλίνασα,
book 423.5.2 πόσιν δ’ ἠνίπαπε μύθῳ· ἀπρεπὲς γὰρ αὐτῷ ἐφαίνετο τὸ
book 423.5.3 τῇ Ἑλένῃ τὴν Ἀφροδίτην δίφρον βαστάζειν. ἐπιλέλησται
book 423.5.4 δὲ ὅτι γραῒ εἴκασται καὶ ταύτῃ τῇ μορφῇ τὰ προσήκοντα
book 423.5.5 πράσσει. A. Ar. 353. De hac ordinatione verborum τῇ μορφῇ
book 423.10.1 τὰ προσήκοντα si quis dubitet, conferat: τὰ ἐμπεπηγότα δό-
book 423.10.2 ρατα τῇ ἀσπίδι vel ταῖς ἀσπίσιν (ad Λ 571 N 148), τὸν
book 423.10.3 παρακολουθοῦντα ψόφον ἐκ τῶν ὅπλων (Π 822), τὸ πα-
book 423.10.4 ρηγμένον πρόσωπον κατὰ τὴν ποίησιν (Λ 747).
book h432-6.1 ἀλλ’ ἴθι νῦν προκάλεσσαι ἀρηίφιλον Μενέλαον
book h432-6.2 ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά ς’ ἔγωγε
book h432-6.3 παύεσθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
book h432-6.4 ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
book h432-6.5 ἀφραδέως, μήπως τάχ’ ὑπ’ αὐτοῦ δουρὶ δαμείῃς.
book 432.1 ἀπὸ τούτου ἕως τοῦ ἀφραδέως (436) ἀθετοῦνται
book 432.2 στίχοι πέντε, ὅτι πεζότεροί εἰσι καὶ τοῖς νοήμασι ψυχροὶ
book 432.3 καὶ ἀκατάλληλοι. ἅμα μὲν γὰρ λέγει ἀλλ’ ἴθι προκάλεσ-
book 432.4 σαι καὶ κατὰ τὸ συνεχὲς ἐπιφέρει ἀλλά ς’ ἔγωγε παύεσθαι
book 432.5 (ita Aristarch. cod. παύσασθαι) κέλομαι, ὡς φροντιζούσης. A.
book 445.1 νήσῳ δ’ ἐν κραναῄ ἐμίγην φιλότητι καὶ εὐνῇ·
book 445.2 ἡ διπλῆ ὅτι οὐκ ἐν Σπάρτῃ ἐμίγη τῇ Ἑλένῃ, ἵνα μὴ περι-
book 445.3 φανὴς γένηται· καὶ ὅτι ἄδηλον πότερον ὄνομα κύριόν ἐστιν,
book 445.4 ἀπὸ τοῦ κρανθῆναι ἐπ’ αὐτῆς πρῶτον τὸν γάμον καὶ τε-
book 445.5.1 λειωθῆναι τοῦ Ἀλεξάνδρου καὶ τῆς Ἑλένης, ἢ ἐπιθετικῶς
book 445.5.2 τὴν τραχεῖαν· τινὲς γὰρ τὴν λεγομένην Ἑλένην πρὸς τῇ
book 445.5.3 Ἀττικῇ εἶναι ἀπὸ τῆς Ἑλένης, ὅτι ταύτῃ πρώτῃ ἐπέβη.
book 445.5.4 A. Ar. 237.
book 453.1 οὐ μὲν γὰρ φιλότητί γ’ ἐκεύθανον, εἴ τις
book 453.2 ἴδοιτο: ὅτι ἀπηλλοτρίωντο τῷ Ἀλεξάνδρῳ οἱ Τρῶες. οὐκ
book 453.3 ἂν οὖν λέγοι ἐν τοῖς ἐπάνω (56) ὁ Ἕκτωρ ἀλλὰ μάλα Τρῶες
book 453.4 ἐλεήμονες, ὡς Ζηνόδοτος γράφει, ἀλλὰ δειδήμονες. A.
book 458.1

ὑμεῖς δ’ Ἀργείην Ἑλένην καὶ κτήμαθ’ ἅμ’ αὐτῇ ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τιν’ ἔοικεν: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος ἀποτίνετον. συγχεῖται δὲ τὸ δυικὸν σχῆμα ἐπὶ πλειόνων τιθέμενον· (cf. p. 15) καὶ ἠγνόησεν ὅτι συνήθως τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ χρῆται Ὅμηρος, ἀποτινέμεν ἀντὶ τοῦ ἀποτίνετε (cf. p. 14). A.

ἥτε καὶ ἐσσομένοισι μετ’ ἀνθρώποισι πέληται: ὅτι ἡ μετά ἀντὶ τῆς ἔν. A. Pluyg. p. 8. Cf. p. 28.

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη νέκταρ ἐῳνοχόει: ἡ διπλῆ, ὅτι παρθένος ἡ Ἥβη· οἰνοχοεῖ γάρ· (Ar. 198) οὐκ ἄρα γεγάμηται ὑφ’ Ἡρακλέους, ὡς ἐν τοῖς κατὰ (Ar. 22) τὴν νεκυίαν ἠθετημένοις (λ 602). A. (Ar. 186).

ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπεν: ἡ διπλῆ πρὸς τὸ ἀκέων, ὅτι ἀντὶ τοῦ ἀκέουσα ἐξενήνεκται· οὐ γάρ ἐστιν ἀντὶ τοῦ ἡσύχως. [ὡς ὁ Ἀριστόνικος ἐν τοῖς σημείοις φησίν cf. Ar. p. 2]. A. Cf. p. 31 et de loco ex Apollonio negligentissime adscripto Ar. 36.

δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες τόσσα κακὰ ῥέζουσιν: ἀντὶ τοῦ ἔρεξαν (cf. p. 4). ἀγνοεῖ δὲ τὴν κρίσιν (Ar. 187). V.

αἳ γὰρ ὑπ’ ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι ναιετάουσι πόληες: ἡ διπλῆ ὅτι τῷ ἐνεργητικῷ ἀντὶ τοῦ παθητικοῦ κέχρηται, ἀντὶ τοῦ ναιετάονται. A. Cf. p. 3.

Ἴλιος ἱρή: ὅτι θηλυκῶς τὴν Ἴλιον. A. Pluyg. 8.

ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη: ἡ διπλῆ ὅτι τούτων τῶν πόλεων ἕνεκα συνεμάχουν τοῖς Ἕλλησιν, οὐ διὰ τὸ ἀποκεκρίσθαι ὑπὸ Ἀλεξάνδρου τὸ κάλλος αὐτῶν, ὅπερ οὐκ οἶδεν Ὅμηρος. A. Pertinet ad Ω 29, cf. Ar. 187.

εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρσαι,
οὐκ ἀνύω φθονέους’, ἐπειὴ πολὺ φέρτερός ἐσσι.

ἀθετοῦνται ἀμφότεροι, ὅτι τὴν χάριν ἀναλύουσιν, εἰ καὶ μὴ προδεηθεὶς δύναται τοῦτ’ ἔχειν. A. i. e. quia nulla gratia Junoni a Jove deberetur, si Jupiter etiam nullis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

precibus adhibitis optatum impetrare posset.
book 59.1 καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομή-
book 59.2 της: ὅτι οὐ καθ’ ἡλικίαν λέγει, ἀλλ’ ἐν τιμῇ. A.
book 60.1 ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις
book 60.2 κέκλημαι: ἡ διπλῆ ὅτι γενεῇ ἀντὶ τοῦ γένει· ἐκ Κρό-
book 60.3 νου γάρ. A.
book 64.1 σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι· ἡ διπλῆ, ὅτι
book 64.2 τὸ ἐπιτεῖλαι ἀντὶ προστακτικοῦ κεῖται. A. Cf. p. 14. Idem
book 64.3 praecipit Apollon. 102 A, Et. M. 365, 40.
book 70.1 αἶψα μάλ’ ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ
book 70.2 Ἀχαιούς,
book 70.3 πειρᾶν δ’ ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιούς
book 70.4 ἄρξωσι—δηλήσασθαι: ὅτι τὸ μὲν ἐλθέ προστα-
book 70.5.1 κτικόν, τὸ δὲ πειρᾶν ἀπαρέμφατον ἀντὶ τοῦ πείρα προστα-
book 70.5.2 κτικοῦ. A. Cf. p. 14.
book 74.1 βῆ δὲ κατ’ Οὐλύμποιο καρήνων ἀΐξασα: ἡ
book 74.2 διπλῆ ὅτι ὡς περὶ ὄρους τοῦ Ὀλύμπου λέγει. A. Ar. 169.
book h86-9.1 ἡ δ’ ἀνδρὶ ἰκέλη Τρώων κατεδύσεθ’ ὅμιλον,
book h86-9.2 Λαοδόκῳ Ἀντηνορίδῃ κρατερῷ αἰχμητῇ,
book h86-9.3 Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
book h86-9.4 εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε.
book 88 τούτῳ καὶ τῷ ἑξῆς παράκεινται διπλαῖ περιεστι-
book 88.1 γμέναι, ὅτι Ζηνόδοτος τούτου μὲν τὸ ἀκροτελεύτιον οὕτως
book 88.2 γράφει εὗρε δὲ τόνδε, τὸν δὲ δεύτερον οὐδὲ γράφει, δο-
book 88.3 κῶν ἀνθρώπινον τὸ ζητεῖν εἶναι· καταλέλοιπε δὲ τὸ διζη-
book 88.5.1 μένη. ἀγνοεῖ δὲ ὅτι ὁμοιωθεῖσα Λαοδόκῳ ἀνάγκην εἶχεν
book 88.5.2 (malim ἔχει v. ad Γ 423) ἀνθρώπινα ἐπιτηδεύειν. A. Ar. 353.
book 90.1 ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
book 90.2 λαῶν, οἵ οἱ ἕποντο: πρὸς τὸ λαῶν ἀπέδωκεν, ὡς τὸ
book 90.3 γενεαὶ ἀνθρώπων οἵ οἱ πρόσθεν ἅμα τράφεν (A 251). AL.
book 100.1 ὀίστευσον Μενελάου: ἡ διπλῆ πρὸς τὸ σχῆμα,
book 100.2 ὅτι ἀντὶ τοῦ ἐπὶ τὸν Μενέλαον. A. Cf. p. 24.
book 101.1 εὔχεο δ’ Ἀπόλλωνι λυκηγενέι: ὅτι ἀπὸ τῆς
book 101.2 Τρωικῆς Λυκίας, ἐξ ἧς ἐστὶν ὁ Πάνδαρος. A. Ar. 237.
book 110.1 καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέ-
book 110.2 κτων. Non igitur ab Apolline Pandarus arcum accepit: ad B 827.
book 116.1 ἐκ δ’ ἕλετ’ ἰόν
book 116.2 ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ’ ὀδυνάων: ἀθετεῖ-
book 116.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ται (Ar. 10), ὅτι νῦν ἁπλῶς ἄβλητον καὶ μηδέποτε βεβλη-
book 116.4 μένον καὶ ἀφειμένον, οὐχ Ὁμηρικῶς· τὸ γὰρ βάλλειν Ὅμη-
book 116.5.1 ρος οὐκ ἐπὶ τοῦ ψιλῶς προέσθαι τίθησιν (Ar. 72). καὶ διὰ
book 116.5.2 τοῦ μελαινέων ἕρμ' ὀδυνάων οὐχ ὃ θέλει λέγει· ἕρμα
book 116.5.3 γὰρ καθ' Ὅμηρον ἔρεισμα καὶ κώλυμα, οὐ γίνεται δὲ ὀδυνῶν
book 116.5.4 κώλυμα τὸ βέλος. A. Lehrs (Ar. 75 sq.) Aristonicum illud
book 116.5.5 argumentum de ἀβλής de suo addidisse censet.
book 122.1 ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
book 122.2 νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον.
book 122.3 αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινεν,
book 122.4 λίγξε βιός.
book 123.1 ὅτι Ζηνόδοτος πρὸ τούτου τὸν ἑξῆς τέταχεν, οὕ-
book 123.2 τως ποιήσας ἕλκε δ' ὁμοῦ γλυφίδας καὶ νεῦρα βόεια·
book 123.3 εἶτα αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε,
book 123.4 Νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον, εἶτα
book 123.5.1 λίγξε βιός, οὐ νοήσας ὅτι διὰ τῶν παρεπομένων τοῦ ἕλκε
book 123.5.2 δ' ὁμοῦ καὶ νευρὴν μὲν μαζῷ πέλασεν συνίστησι τὴν
book 123.5.3 ἔντασιν γεγενημένην, εἶθ' ἑξῆς λέγει, ἐπειδὴ ἐνετάθη καὶ
book 123.5.4 κυκλοτερὲς ἐγένετο, ἀπέστειλε τὸ βέλος. A. Et propter σί-
book 123.5.5 δηρον, ad refutandam Zenodoti lectionem v. 139.
book 132.1 αὐτὴ δ' αὖθ' ἴθυνεν, ὅθι ζωστῆρος ὀχῆες
book 132.2 χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ: ἡ
book 132.1 διπλῆ, ὅτι καθ' ὃν τόπον ἐζώννυντο, διπλοῦς ἦν ὁ θώραξ,
book 132.2 καθὸ ὑποβέβλητο τῷ στατῷ θώρακι τὸ λεγόμενον ζῶμα,
book 132.5 καθῆκον μέχρι τῶν γονάτων ἀπὸ τῶν λαγόνων. A. Ar. 126.
book h135-40.1 διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
book h135-40.2 καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο
book h135-40.3 μίτρης θ', ἣν ἐφόρει ἔρυμα χροός, ἕρκος ἀκόντων,
book h135-40.4 ἥ οἱ πλεῖστον ἔρυτο· διαπρὸ δὲ εἴσατο καὶ τῆς.
book h135-40.5.1 ἀκρότατον δ' ἄρ' οἰστὸς ἐπέγραψε χρόα φωτός·
book h135-40.5.2 αὐτίκα δ' ἔῤῥεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.
book 135.1 πρὸς τὸν ὁπλισμόν· πρῶτος γάρ ἐστι πρὸς τὴν
book 135.2 ἐπιφάνειαν ὁ ζωστήρ, καὶ κατὰ τοῦ στατοῦ καὶ κατὰ τοῦ
book 135.3 ζώματος· ἀμφότερα δὲ ταῦτα θώρακα καλεῖ, διόπερ ὅταν
book 135.4 τοῦ ἑτέρου μνησθῇ, τὸ ἕτερον παραλείπει· ἔνδοθεν δὲ τού-
book 135.5.1 των πρὸς τῷ χρωτὶ κατὰ τὰ κοῖλα καὶ τὰς λαγόνας ἡ μίτρα.
book 135.5.2 A. Cf. ibid.
book 138.1 ἡ διπλῆ πρὸς τὸ ζητούμενον ἐπὶ τῆς Ἀχιλλέως
book 138.2

ἀσπίδος, τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ’ ἔσχετο (Υ 272),
book 138.3 καθὸ ἠμαύρωσε τὴν φορὰν τοῦ δόρατος, ὅμως μέντοι διε-
book 138.4 κόπη, καθάπερ νῦν ἐπὶ τῆς μίτρας λέγει. A.
book 139.1 ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χαλκός· ἐπιλέ-
book 139.2 ληστai δὲ ὅτι ἐν τοῖς ἐπάνω (123) σιδηρᾶν τὴν ἀκίδα τοῦ
book 139.3 βέλους εἶπεν εἶναι· καὶ ὅτι τὸ ἀκρότατον οὐχ ὑπερθετικόν
book 139.4 ἐστιν ἀλλ’ ἀντὶ τοῦ ἄκρον τὸν χρῶτα. A. Cf. p. 31.
book 140.1 ἀθετεῖται, ὅτι οὐκ ἂν λέγοι Ὅμηρος ὠτειλὴν τὸ
book 140.2 ἐκ βολῆς τραῦμα· διαστέλλει γὰρ τὸ οὐτάσαι πρὸς τὸ βα-
book 140.3 λεῖν. A. Ar. 70.
book 141.1 ὡς δ’ ὅτε τίς τ’ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ:
book 141.2 ἡ διπλῆ, ὅτι τινὲς ἐλεφαντά ὡς βλαβερά προενεγκάμενοι
book 141.3 τῷ τόνῳ ἀπέδωκαν ἔρια λευκά· δεῖ δὲ κυρίως ἀκούειν τὸν
book 141.4 ἐλέφαντα. A. προενεγκάμενοι pro διεν. et δεῖ δὲ pro νῦν δέ
book 141.5 Lehrs. Herod. 460.
book 149.1 ὡς εἶδεν μέλαν αἷμα καταῤῥέον ἐξ ὠτειλῆς:
book 149.2 ἀθετεῖται πάλιν (140) διὰ τὴν ὠτειλήν. A. Ar. 70.
book 154.1 τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων Ἀγα-
book 154.2 μέμνων
book 154.3 χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ’ ἑταῖροι:
book 154.4 ὅτι δεῖ βαρυτονεῖν τὸ στενάχων ὡς ὀρέγων· καὶ γὰρ στενά-
book 154.5 χοντο ὡς ὀρέγοντο. A.
book 157.1 ὥς ς’ ἔβαλον Τρῶες: ὅτι ἐκ βολῆς ἔτρωσαν,
book 157.2 πρὸς τὸ αὐτίκα δ’ ἔῤῥεεν αἷμα (140). A. Cf. 196.
book 159.1 σπονδαί τ’ ἄκρητοι: ὅτι εὐκρινὲς γίνεται ἐντεῦ-
book 159.2 θεν τὸ κρητῆρι δὲ οἶνον μίσγον (Γ 269). οὐ γὰρ κεκρα-
book 159.3 μένον ἔσπενδον. A. Ar. 199.
book 160.1 εἴ περ γάρ τε καὶ αὐτίκ’ Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
book 160.2 ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν:
book 160.3 ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει τελέσει καὶ σύν τε με-
book 160.4 γάλῳ τίσουσιν, ἐπὶ τῶν Τρώων δεχόμενος τὸν λόγον. οὐκ
book 160.5 ἔχει δὲ οὕτως, ἀλλὰ καθολικῶς ἐπὶ τῶν παραβαινόντων τὰ
book 160.5 ὅρκια. A.
book 164.1 ἔσσεται ἦμαρ ὅτ’ ἄν ποτ’ ὀλώλῃ Ἴλιος ἱρή:
book 164.2 ἀντὶ τοῦ ἀπολεῖται, πρὸς ὃ ἡ διπλῆ (cf. Θ 373). A. Cf. p. 11.
book 166.1 Ζεὺς δέ σφι Κρονίδης—
book 166.2 αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν: ὅτι τοῦ
book 166.3 Διὸς ὅπλον ἡ αἰγίς, πρὸς τοὺς νεωτέρους ποιητάς· καὶ ὅτι
book 166.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταιγίδων καὶ ζοφώδους καταστάσεως παρασκευαστική ἐστιν.
book 166.5.1 (cf. P 595, Ar. 192). ἐπισσείῃσιν δὲ ἀντὶ τοῦ ἐπισσείῃ·
book 166.5.2 πρὸς ὃ ἡ διπλῆ. A.
book 171.1 καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοί-
book 171.2 μην: ἡ διπλῆ, ὅτι Ἄργος τὴν Πελοπόννησον, οὐ τὴν πό-
book 171.3 λιν λέγει. A. Ar. 232.
book 174.1 σέο δ’ ὀστέα πύσει ἄρουρα
book 174.2 κειμένου ἐν Τροίῃ: ἡ διπλῆ, ὅτι τῶν ἐπὶ ξένης τε-
book 174.3 λευτώντων οὐκ ἀπεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας. οὐκ
book 174.4 ἄρα Ὁμήρου ἐστὶ ταῦτα ὥς κ’ ὀστέα παισὶν ἕκαστος
book 174.5 Οἴκαδ’ ἄγῃ, ὅτ’ ἂν αὖτε νεώμεθα (H 334). A. Ar. 197.
book 176.1 καί κέ τις ὧδ’ ἐρέει: ἤτοι ὅτι ὁ κέ περισσὸς ἢ
book 176.2 τὸ ῥῆμα ἐνήλλακται, ἐρέει ἀντὶ τοῦ εἴποι ἄν. A. De ordi-
book 176.3 natione verborum cf. ad B 488, de re p. 9.
book 182.1 τότε μοι χάνοι εὐρεῖα χθών: ἡ διπλῆ, ὅτι
book 182.2 οὐκ ἔστι καθολικὸν ἐπίθετον τὸ εὐρεῖα, ἀλλ’ ἐν ἴσῳ τῷ εὐ-
book 182.3 ρεῖα γενομένη, οἷον εὐρύ μοι χάσμα γῆς γένοιτο. A. Cf.
book 182.4 Λ 186 et p. 29.
book 186.1 εἰρύσατο ζωστήρ τε παναίολος ἠδ’ ὑπένερθεν
book 186.2 ζῶμά τε καὶ μίτρη: ἡ διπλῆ, ὅτι τοῦ ζώματος μνη-
book 186.1 σθεὶς παραλέλοιπε τὸν θώρακα, ὥστε ἀπὸ μέρους τὸ ὅλον
book 186.2 δεδηλῶσθαι. A. Cf. ad 135. „Reliqua pars scholii et corrupta
book 186.5 et suppositicia est.“ Ar. 126.
book 189.1 φίλος ὦ Μενέλαε: ἡ ὀρθὴ ἀντὶ τῆς κλητικῆς,
book 189.2 φίλος ἀντὶ τοῦ φίλε. A. Cf. p. 18.
book 190.1 ἠδ’ ἐπιθήσει
book 190.2 φάρμαχ’, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων: τὸ
book 190.3 παύσῃσιν ἀντὶ τοῦ παύσειεν ἄν, ὡς τὸ ἰχθὺς ὅς κε φά-
book 190.4 γῃσιν (Φ 127), ὅτι καὶ τοῦτο οὕτως λέγει ἀντὶ τοῦ ὃς φά-
book 190.5 γοι ἄν. ABL. Cf. p. 10.
book h193 Μαχάονα δεῦρο κάλεσσον
book h195-7.1 ὄφρα ἴδῃ Μενέλαον ἀρήιον ἀρχὸν Ἀχαιῶν,
book h195-7.2 ὅν τις ὀιστεύσας ἔβαλεν, τόξων εὖ εἰδώς,
book h195-7.3 Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
book 195.1 ὁ ἀστερίσκος καὶ ὁ ὀβελός, ὅτι νῦν παρέλκει· ὁρᾷ
book 195.2 γὰρ ὁ κῆρυξ τὴν χρείαν τοῦ Μαχάονος. A. Pertinet simul
book 195.3 ad vss. 196, 197, et habet his tribus versibus textus obelos
book 195.4 cum asteriscis appositos. Recte contra habent 205—7.
book 205.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(195): ὁ ἀστερίσκος, ὅτι νῦν δεόντως λέγεται πρὸς
book 205.2 Μαχάονα ὑπὸ τοῦ κήρυκος. (Item duo sequentes: v. ad 195). A.
book 206.1 (196) ἔβαλεν: ἡ διπλῆ, ὅτι ἐκ βολῆς ἔτρωσεν,
book 206.2 πρὸς τὸ αὐτίκα δ’ ἔῤῥεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς
book 206.3 (140). A. Bekker. hoc ad vs. 196 retulit, v. Pluygers p. 7, 11.
book 208.1 ὣς φάτο· τῷ δ’ ἄρα θυμὸν ἐνὶ στήθεσσιν
book 208.2 ὄρινεν: ἡ διπλῆ πρὸς τὸ ὄρινεν, ἀντὶ τοῦ κατὰ ψυχὴν
book 208.3 ἐκίνησεν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ὣς φάτο, τῇ δ’ ἄρα θυ-
book 208.4 μὸν ἐνὶ στήθεσσιν ὄρινεν· (Γ 395, cf. Ar. 107 not.) ὅτι
book 208.5.1 οὐκ ἔστιν ἐθύμωσεν, ὡς ὁ διασκευάσας (Ar. 350) ἐκλαβὼν
book 208.5.2 ἔταξε τοὺς ἑξῆς εἴκοσι τρεῖς στίχους, ἀλλ’ ἀντὶ τοῦ ἐκίνησε
book 208.5.3 καὶ παρώρμησε κατὰ τὸ ἐρωτικόν. A. Deerat τρεῖς post εἴκοσι.
book 216.1 ζῶμά τε καὶ μίτρην: ἡ διπλῆ, ὅτι πάλιν (187)
book 216.2 τοῦ ζώματος μνησθεὶς τὸν θώρακα παραλέλοιπεν. A. Ar. 126.
book 223.1 ἔνθ’ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα
book 223.2 δῖον: ἡ διπλῆ, ὅτι οὐ πρὸς ὑφεστὸς πρόσωπον, ἀλλ’ ἀντὶ
book 223.3 τοῦ ἴδοι τις ἄν. A. Cf. p. 8.
book 226.1 ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα: ἡ διπλῆ,
book 226.2 ὅτι τὰ ὀχήματα νῦν χωρὶς τῶν ἵππων ἅρματα εἴρηκε. A.
book 228.1 Εὐρυμέδων: ἡ διπλῆ, ὅτι καὶ Ἀγαμέμνονος
book 228.2 καὶ Νέστορος ὁμώνυμος ἦν ἡνίοχος Εὐρυμέδων. A. Cf. ad
book 228.3 Θ 114 Λ 620.
book 232.1 καί ῥ’ οὓς μὲν σπεύδοντας ἴδοι: ἡ διπλῆ, ὅτι
book 232.2 σπεύδοντας οὐχ οἷον ταχύνοντας, ἀλλ’ ἐνεργοῦντας καὶ κα-
book 232.3 κοπαθοῦντας. σπουδῇ δ’ ἕζετο λαός (Β 99) μετὰ πάσης
book 232.4 κακοπαθείας. A. Ar. 122.
book 243.1 τίφθ’ οὕτως ἔστητε: ὅτι μετείληπται τὸ α εἰς
book 243.2 τὸ η ἀντὶ τοῦ ἕστατε. A. Pluyg. 8.
book 244.1 πολέος πεδίοιο θέουσαι: ἡ διπλῆ διὰ τὸ ἐλ-
book 244.2 λείπειν τὴν διά πρόθεσιν, ἵν’ ᾖ διὰ πεδίου. A. Cf. p. 26.
book 246.1 ὣς ὑμεῖς ἔστητε: ὅτι πάλιν ἀντὶ τοῦ ἕστατε. A.
book 246.2 Pluyg. 8.
book h251 ἦλθε δ’ ἐπὶ Κρήτεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
book 251.1 ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκεν ἀντὶ τοῦ ὡς ἐπὶ Κρῆ-
book 251.2 τας. A. Hoc ὡς ἐπί amat Aristonicus: 335, Ε 249, 700.
book 251.3 Cf. p. 24.
book h261-3.1 εἴ περ γάρ τ’ ἄλλοι γε καρηκομόωντες Ἀχαιοί
book h261-3.2 δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεί
book h261-3.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστηχ’ ὥσπερ ἐμοί, πιέειν ὅτε θυμὸς ἀνώγοι.
book 262.1 ἡ διπλῆ, ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο,
book 262.2 καὶ πλήρη τὰ ποτήρια τοῖς ἐν τιμῇ ἔκειτο, τοῖς δὲ ἄλλοις
book 262.3 πρὸς μέρος ἐνεχεῖτο. A. Ar. 198.
book 273.1 ἦλθε δ’ ἐπ’ Αἰάντεσσι: ἡ διπλῆ, ὅτι ἡ τάξις
book 273.2 Ἰδομενέως πλησίον Αἴαντος, πρὸς τοὺς ὑποτάσσοντας τοῖς
book 273.3 Ἀθηναίοις τὸν Τελαμώνιον (B 557). A. Ar. 230. Huic ver-
book 273.4 sui Pluygers. p. 6. hoc scholium ascriptum esse dioit, quod
book 273.5.1 Bekkerus ad v. 251 retulit. Ad rem nihil interest, utro
book 273.5.2 loco ponatur.
book 277.1 μελάντερον ἠύτε πίσσα: ἡ διπλῆ, ὅτι ἰδίως εἴ-
book 277.2 ρηκεν οὔτε μελάντερον πίσσης οὔτε μέλαν ὡς πίσσα, κέ-
book 277.3 χρηται δὲ τῷ συγκριτικῷ ἀντὶ ἁπλοῦ. A. Cf. p. 30.
book 282.1 κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι:
book 282.2 ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἡρώων σάκεσιν. γέγονε
book 282.3 δὲ ἀντιπαράθεσις τοῦ μέλανος νέφους (277) πρὸς τὸ κυάνεαι. A.
book 295.1 Χρομίον τε: ἡ διπλῆ, ὅτι τρίτος οὗτος Χρομίος
book 295.2 Πύλιος, πρὸς τὰ Πυλαιμένους. A.
book h301-3 τοὺς γὰρ ἀνώγει
book h301-3.1 σφοὺς ἵππους ἐχέμεν μηδὲ κλονέεσθαι ὁμίλῳ.
book h301-3.2 „μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθώσ“ κτλ.
book 303.1 ὅτι ἀπέστροφε (cod. εφε) τὸν λόγον διὰ τῶν ἑξῆς,
book 303.2 σχηματίσας ὡς ἂν αὐτὸς ὁ Νέστωρ εἴποι. A. Cf. p. 17.
book h306-7.1 ὃς δέ κ’ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ’ ἅρμαθ’ ἵκηται,
book h306-7.2 ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτως.
book 307.1 ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι ἐκ τοῦ ἔγχει
book 307.2 ὀρεξάσθω ἐστὶν ἔγχει παταξάτω τις αὐτόν, ὥστε παραλείπει
book 307.3 τὸ τίς καὶ τὸ αὐτόν. καὶ τὸ ἐπιλεγόμενον τοῦτο συνίστη-
book 307.4 σιν, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω, τὸν ἕνα τεθνάναι ἢ τὴν
book 307.5.1 ὅλην τάξιν συγχυθῆναι. A. Pro utroque αὐτόν erat αὐτῶν.
book 307.5.2 „Si quis suum currum relinquens ad alius currum veniat, ferito
book 307.5.3 eum aliquis.“ Eustath. 475, 40: κατὰ δὲ ἑτέρους ἐκεῖνος ὁ ἕτερος
book 307.5.4 ὁμοεθνὴς, ὁ τὸ ἅρμα ἔχων, ἔγχος ἐκτείνας, παταξάτω τὸν
book 307.5.5 τοιοῦτον, ἵνα δηλαδὴ μηδεὶς τὸ ἴδιον ἀφῇ ἅρμα φόβῳ τοῦ
book 307.10.1 ὑπὸ τοῦ συμφυλέτου τρωθῆναι καὶ πεσεῖν. Quod illi supe-
book 307.10.2 riori explicando inservit, nisi quod Eustathius ita, quasi non
book 307.10.3 τίς, sed οὗτος Aristonicus omissum dixerit. τίς omissum v.
book 307.10.4 ad N 287. L. et cf. p. 7.
book 315.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γῆρας—ὁμοίιον: ὅτι οἱ γλωσσογράφοι ὁμοίιον τὸ κακόν. A. Ar. 44.

ἀλλ’ οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν: ὁ ἀστερίσκος καὶ ὁ ὀβελός, ὅτι εἰ ἀμφότερα αἱρετὰ ἔκρινεν ὁ Νέστωρ, καὶ τὸ γῆρας καὶ τὴν νεότητα, εὐλόγως ἂν ἔλεγεν ἅμα πάντα. μετενήνεκται δὲ ἐξ ἄλλου τόπου, ὅπου φησίν ἀλλ’ οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν: (solo errore u. v. pro eo quod nunc est: δυνήσεαι αὐτὸς ἑλέσθαι L.) ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα ἄλλῳ δ’ ἐν στήθεσσιν (N 729). A.

αἰχμὰς δ’ αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν: ἡ διπλῆ, ὅτι παραλλήλως νεώτεροι μὲν ἀντὶ τοῦ νέοι, ὁπλότεροι δὲ συγκριτικῶς ἀντὶ τοῦ ἐμοῦ νεώτεροι. οὐδέποτε γὰρ ἀντὶ τοῦ νέοι εἴρηκε τὸ ὁπλότεροι· τὸ δὲ νεώτεροι κατ’ ἀμφοτέρων τίθεται παρ’ αὐτῷ, καὶ συγκριτικῶς καὶ ἀπολελυμένως. A. Ar. 183. et p. 30.

οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀυτῆς: ἡ διπλῆ, ὅτι τὸ ἀκούετο ἀντὶ τοῦ ἤκουεν (v. p. 2), καὶ ὅτι πτῶσις ἤλλακται· οὐ γάρ πω αὐτοῖς ἤκουεν ἀντὶ τοῦ αὐτῶν (cf. p. 22). A.

ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο: ἡ διπλῆ πρὸς τὸ σχῆμα, διότι ἐλλείπει ἡ ἐπί καὶ πτῶσις ἐνήλλακται· ἔστι γὰρ ἀντὶ τοῦ ὡς ἐπὶ Τρῶας ὁρμήσειεν. A. Cf. p. 24.

καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει φαίδιμ’ Ὀδυσσεῦ. ἀσυμφώνως δὲ τῇ ἐπιπλήξει φαίδιμος ἂν νῦν λέγοιτο. A.

πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο: ἡ διπλῆ, ὅτι συλληπτικῶς τὸ τῷ Ὀδυσσεῖ συμβεβηκὸς καὶ ἐπὶ τοῦ Μενεσθέως κεκοινοποίηκεν· οὐ γὰρ ὁ Μενεσθεύς ἐστι τῶν ἑπτὰ (v. B 55) γερόντων, [ἀλλ’ Ὀδυσσεύς, Διομήδης] οὐδὲ σὺν τῷ Ἀγαμέμνονι εὐωχεῖται. καὶ ὅτι ἀκουάζεσθον εἶπε τροπικῶς ἀντὶ τοῦ ἐπαισθάνεσθαι, ἐπεὶ ἡ ἀκοὴ εἶδός ἐστιν αἰσθήσεως, καὶ τὸ οὐδὲ πληγῆς ἀίοντες (Λ 532). A. Verba ἀλλ’ Ὀδυσσεύς, Διομήδης e margine irrepsisse videntur.

Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μι-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέντα: ἡ διπλῆ, ὅτι προτετυπωμένως τὰ κατὰ τὴν Ὀδύσ-
book 354.3 σειαν μνημονεύει, ὡς νῦν τοῦ Τηλεμάχου. τοῦ αὐτοῦ ἄρα
book 354.4 ποιητοῦ καὶ ἡ Ὀδύσσεια. A. cf. B 260. ὡς νῦν ins. L.
book 357.1 γνῶ χωομένοιο: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι τῇ
book 357.2 γενικῇ ἀντὶ τῆς αἰτιατικῆς. A. Cf. p. 21.
book 376.1 ἤτοι ὁ μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
book 376.2 ξεῖνος, ἅμ’ ἀντιθέῳ Πολυνείκεϊ λαὸν ἀγείρων:
book 376.3 ὅτι ἐπὶ τὰς τοιαύτας λειτουργίας δύο ἐπέμποντο [κατάσκο-
book 376.4 ποι] πρέσβεις. ἡ ἀναφορὰ δὲ, ὅτι οὐδὲ ὁ Φοῖνιξ ἐν ταῖς
book 376.5 λιταῖς πρεσβεύει (I 168 cf. Ar. 154). A. κατάσκοποι alienum est.
book 384.1 ἔνθ’ αὖτ’ ἀγγελίην ἐπί Τυδῆ στεῖλαν Ἀχαιοί:
book 384.2 ὅτι ἀντὶ τοῦ ἄγγελον. A. Pluyg. 8. Cf. ad Γ 206.
book 390.1 ῥηιδίως· τοίη οἱ ἐπίῤῥοθος ἦεν Ἀθήνη: ὁ
book 390.2 ἀστερίσκος, ὅτι ἐνταῦθα ὑγιῶς τέτακται, ἐν δὲ τῷ τῆς Ἀθη-
book 390.3 νᾶς πρὸς τὸν Διομήδη λόγῳ (E 808) οὐκέτι. A.
book 400.1 γείνατο εἷο χέρηα μάχῃ, ἀγορῇ δέ τ’ ἀμεί-
book 400.2 νων: σὺν τῷ ν ἀμείνων Ἀρίσταρχος, ἵνα καθ’ ἑαυτὸ λέγη-
book 400.3 ται ἐπιπληκτικῶς. ἐλλείπει δὲ τὸ ἔστι ῥῆμα. A. Videtur ex
book 400 Didymo et Aristonico compositum. L.
book h406-9.1 ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
book h406-9.2 παυρότερον λαὸν ἀγαγόνθ’ ὑπὸ τεῖχος ἄρειον,
book h406-9.3 πειθόμενοι τεράεσσι θεῶν, καὶ Ζηνὸς ἀρωγῇ·
book h406-9.4 κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
book 407.1 ἀπὸ τούτου ἕως τοῦ κεῖνοι δὲ σφετέρῃσιν (409)
book 407.2 ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἐπιλύει τὸ διὰ τῶν προειρη-
book 407.3 μένων λεγόμενον. καὶ εἰ μὲν ἐφ’ ἑαυτοῦ καὶ τοῦ Διομή-
book 407.4 δους λέγει ἀγαγόντε, ὑγιῶς τὸ δυικὸν παρείληπται, ψεῦδος
book 407.5.1 δὲ περιέχει· οὐ γὰρ μόνοι ἐπεστράτευσαν· εἰ δὲ ἐπὶ πάν-
book 407.5.2 των τῶν στρατευσάντων, συγχεῖται τὸ δυικόν. καὶ ἐκλύεται
book 407.5.3 ἡ ἀλκή· γίνονται γὰρ οἱ πατέρες ἀλκιμώτεροι, οὗτοι δὲ διὰ
book 407.5.4 τὸ τοὺς θεοὺς συνεργεῖν πεπορθηκότες. A.
book 412.1 τέττα, σιωπῇ ἧσο: ἡ διπλῆ, ὅτι προσφώνησίς
book 412.2 ἐστι φιλεταιρικὴ ἀμετάφραστος καὶ ἀμετάληπτος. A. Et
book 412.3 propter ἧσο ἀντὶ τοῦ ἡσύχαζε: B 252. Cf. de ἄττα ad I 607.
book 429.1 οἳ δ’ ἄλλοι ἀκὴν ἴσαν—οὐδέ κε φαίης
book 429.2 τόσσον λαὸν ἕπεσθαι ἔχοντ’ ἐν στήθεσιν αὐδήν:
book 429.3 ἡ διπλῆ, ὅτι ὡς πρὸς ὑποκείμενον πρόσωπον λέγει οὐδέ
book 429.4 κε φαίης ἀντὶ τοῦ οὐδὲ φαίη τις ἄν. A. Cf. p. 8
book 439.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
Δεῖμός τ’ ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα:

αἱ διπλαῖ, ὅτι διὰ μέσου τῶν Τρωικῶν θεῶν τέταχε τὴν Ἀθηνᾶν, καὶ ὅτι Δεῖμος καὶ Φόβος Ἄρεος υἱοί. πλανηθεὶς δ’ Ἀντίμαχος ἵππων Ἄρεος ὀνόματα ἀποδέδωκεν Δεῖμός τ’ ἠδὲ Φόβος πόδας αἰνετώ, υἷε θυέλλης. A. Ar. 182.

σύν ῥ’ ἔβαλον ῥινούς, σὺν δ’ ἔγχεα καὶ μένε’ ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι:

ἡ διπλῆ ὅτι ἐξ ἐπαναλήψεως λέγει ἀτὰρ ἀσπίδες· προείρηκε γάρ σύν ῥ’ ἔβαλον ῥινούς. A. Cf. Θ 62, Ar. 194.

ἔνθα δ’ ἄρ’ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ’ αἵματι γαῖα:

ἡ διπλῆ ὅτι πρὸς τὸ δεύτερον πρῶτον ἀπήντηκεν· ἡ γὰρ εὐχωλὴ τῶν ὀλλύντων. A. Ar. 13.

ὣς τῶν μισγομένων γένετο ἰαχή τε πόνος τε.

φόβος: ἡ διπλῆ, ὅτι τὴν μετὰ δέους φυγὴν φόβον εἴρηκεν. A. Hoc si integrum traditum, in Aristonici exemplum falsa lectio irrepserat. Cf. Did. Ceterum in tot locis, ubi de significatione vocis φόβος et φοβεῖσθαι traditum (Ar. 89 sq.), tribus tantum notio metus fugae adjuncta invenitur, μετὰ δέους φυγή hic et Σ 247, μετὰ φυγῆς δειλίασις Κ 10. Quod Aristonicus, alibi distinctius tradens, fortasse sibi passus excidere, nisi ab aliena manu his locis aliquid labis traxit. Aristarchus certf prudentius simpliciter docuerat, φυγήν et φεύγειν significare. L.

πρῶτος δ’ Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστήν
ἐσθλὸν ἐνὶ προμάχοισι, Θαλυσιάδην Ἐχέπωλον:

ἡ διπλῆ, ὅτι οὐ κατὰ τὸ τυχὸν πρῶτον Ἀντίλοχον ἀναιροῦντα παράγει, ἀλλ’ ὅτι τάχιστον αὐτὸν παρασυνίστησι διὰ τῶν ἄλλων καὶ εὐκίνητον. A. τυχόν L. pro ἐσθλόν: v. Herodian. 459.

ὅτι ἄδηλον πότερον κύριον, ὁ Θαλυσιάδης ἢ ὁ Ἐχέπωλος. A.

τὸν δὲ πεσόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ: ἡ διπλῆ ὅτι ἀπὸ τῆς πληγῆς (cf. ad E 68) πέπτωκε· τοὺς γὰρ πόδας τοῖς πολεμίοις δέδωκεν. A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θρέπτρα: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος
book 478.2 γράφει χωρὶς τοῦ ρ. λέγεται δὲ θρεπτά τὰ τεθραμμένα.
book 478.3 θρέπτρα δὲ σὺν τῷ ρ τὰ θρεπτήρια, ὥσπερ λύτρα τὰ λυ-
book 478.4 τήρια. A.
book 487.1 ἡ μέν τ’ ἀζομένη (quercus) κεῖται ποταμοῖο
book 487.2 παρ’ ὄχθας: ἡ διπλῆ, ὅτι τὴν αἰτίαν ἐν ἄλλοις παραδί-
book 487.3 δωσι, δι’ ἣν παρὰ ταῖς τῶν ποταμῶν ἀναβολαῖς τίθεται τὰ
book 487.4 δρυτομούμενα ξύλα· ὡς δ’ ὁπότε πλήθων ποταμὸς πε-
book 487.5.1 δίον δὲ κάτεισι Χειμάῤῥους κατ’ ὄρεσφιν, ὀπαζόμε-
book 487.5.2 νος (cod. ὀπάζων) Διὸς ὄμβρῳ, Πολλὰς δὲ δρῦς ἀζα-
book 487.5.3 λέας πολλὰς δέ τε πεύκας (Λ 493). τούτου χάριν ἵνα
book 487.5.4 κατάγηται ὑπὸ τοῦ ῥεύματος. A.
book 490.1 Αἴας διογενής. τοῦ δ’ Ἄντιφος αἰολοθώρηξ
book 490.2 Πριαμίδης καθ’ ὅμιλον ἀκόντισεν ὀξέι δουρί.
book 490.3 τοῦ μὲν ἅμαρθ’, ὁ δὲ Λεῦκον Ὀδυσσέος ἐσθλὸν
book 490.4 ἑταῖρον
book 490.5.1 βεβλήκει: ἡ διπλῆ ὅτι συγχεῖται τὰ τῆς τάξεως διὰ
book 490.5.2 τὴν τοῦ πολέμου ταραχήν. A.
book 500.1 ἀλλ’ υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα,
book 500.2 ὅς οἱ Ἀβυδόθεν ἦλθε, παρ’ ἵππων ὠκειάων·
book 500.3 ἡ διπλῆ, ὅτι οὐ λέγει ὡς ἐν Ἀβύδῳ ἱπποτροφίων ὄντων τοῦ
book 500.4 Πριάμου. A. Post οὐ λέγει lacunam esse censeo, ita pere
book 500.5.1 explendam, assumto cod. B: ὅτι οὐ λέγει [ἐφ’ ἵππων, ἀλλὰ
book 500.5.2 τὸ παρ’ ἵππων ἀντὶ τοῦ ἐκ τοῦ τόπου τῶν ἵππων], ὡς ἐν
book 500.5.3 Ἀβύδῳ κτλ. Ad Z 25 ἐπ’ ὄεσσι: ὅτι ἀντὶ τοῦ παρ’ ὄεσσι
book 500.5.4 καὶ ὅτι ἐν τῷ τόπῳ τῶν ὀίων λέγει. Ad Θ 213: ἐκ νηῶν
book 500.5.5 δὲ λέγει ἀπὸ τοῦ κατὰ τὰς ναῦς τόπου.
book 501.1 τόν ῥ’ Ὀδυσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρί
book 501.2 κόρσην. ἡ δ’ ἑτέροιο διὰ κροτάφοιο πέρησεν: ἡ
book 501.3 διπλῆ, διότι προειπὼν τὴν κόρσην (cod. κεφαλήν) διέσταλκε
book 501.4 κατὰ μέρος τὸν κρόταφον, A. Corr. L. Apollon. lex. 103, 2:
book 501.5 κόρσην κεφαλήν.
book 513.1 (Ἀχιλλεὺς) ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει:
book 513.2 ἡ διπλῆ ὅτι ἀντιφράζει τὸν χόλον τῇ μήνιδι ἐπὶ τοῦ αὐτοῦ
book 513.3 προσώπου. A. Ar. 137.
book 521.1 λᾶας ἀναιδής: ἡ διπλῆ, ὅτι μεταφορικῶς τὸ ἀνέν-
book 521.2 δοτον καὶ σκληρὸν ἀναιδὲς λέγει. A.
book 527.1 τὸν δὲ Θόας Αἰτωλὸς ἐπεσσύμενον βάλε
book 527.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δουρί: ὅτι τὸ βάλε ἐκ βολῆς ἔτρωσε. A. Pluygers. p. 8.
book 535.1 ὁ δὲ χασσάμενος πελεμίχθη: ἡ διπλῆ πρὸς τὸ
book 535.2 σημαινόμενον, ὅτι τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀνα-
book 535.3 χωροῦντες διετίνασσον, ἵνα ἐκπέσῃ. A. Cf. ad Λ 572.
book 539.1 ἔνθα κεν οὔ κέ τι ἔργον ἀνὴρ ὀνόσαιτο με-
book 539.2 τελθών: ἡ διπλῆ, ὅτι περισσὸς ὁ κέν, καὶ ὅτι ῥῆμα καὶ
book 539.3 χρόνος ἐνήλλακται. A. Cf. p. 7.
book 540.1 ὅστις ἔτ’ ἄβλητος καὶ ἀνούτατος ὀξέι χαλκῷ:
book 540.2 ἡ διπλῆ, ὅτι διέσταλκε τὸ οὐτάσαι καὶ τὸ βαλεῖν. A. Ar. 62.
book 5.1 ἀστέρ’ ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
book 5.2 λαμπρὸν παμφαίνησι λελουμένος Ὠκεανοῖο: ἡ
book 5.3 διπλῆ, ὅτι τὸν κύνα λέγει ἀστέρα. ὁ δὲ τέ περισσός. (Cf.
book 5.4 p. 34). A.
book 5.5 παμφαίνῃσι: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ παμφαίνῃ. πλεο-
book 5 νάζει δὲ Ἴβυκος τῷ τοιούτῳ. A. Cf. p. 10. not.
book 14.1 οἱ δ’ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ’ ἀλλήλοισιν ἰόντες:
book 14.2 ἀντὶ τοῦ ἐπ’ ἀλλήλους (cod. ων). A. Cf. p. 23.
book 17 οὐδ’ ἔβαλ’ αὐτόν: ἀντὶ τοῦ ἐπέτυχεν. A. Ar. 72.
book 21.1 οὐδ’ ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο:
book 21.2 πρὸς τὴν περίβασιν, ὅτι κατὰ μεταφορὰν τὸ ὑπερμαχῆσαι,
book 21.3 καὶ τὸ ὃς Χρύσην ἀμφιβέβηκας (A 37, ubi v.) τοιοῦ-
book 21.4 τόν ἐστιν. A.
book 28.1 ἐπεὶ ἴδον υἷε Δάρητος
book 28.2 τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ’
book 28.3 ὄχεσφιν: ἡ διπλῆ πρὸς τὸ σχῆμα· ἔδει γὰρ τῶν υἱῶν Δά-
book 28.4 ρητος τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον. A. Cf. p. 20.
book 31.1 Ἄρες—τειχεσιπλῆτα: ὅτι Ζηνόδοτος γράφει
book 31.2 τειχεσιβλῆτα, ὁ τείχη καταβάλλων. Ποσειδῶνος δὲ ἔρ-
book 31.3 γον τὸ ἐκ θεμελίων καταβάλλειν καὶ τὰ ἐπίγεια σείειν,
book 31.4 Ἄρεως δὲ τοῖς τείχεσι προσπελάζειν· καὶ ἔστιν ἐπίθετον
book 31.5 ἀνάλογον τῷ παρὰ Στησιχόρῳ πυλεμάχῳ. A.
book 37.1 Τρῶας δ’ ἔκλιναν Δαναοί: ἡ διπλῆ ὅτι εἰς κλί-
book 37.2 σιν ἤγαγον καὶ κλιθῆναι ἐποίησαν. A. Si certum esset hoc
book 37.3 Aristarchi esse ad γ 464 λοῦσεν καλὴ Πολυκάστη: λουθῆ-
book 37.4 ναι αὐτὸν ἐποίησεν, οὐ γὰρ αὐτὴ ἔλουσεν (Harl.) —jam pa-
book 37.5.1 teret quare hoc notaverit et similia, ut νάρκησε Θ 328 οἰδά-
book 37.5.2 νει I 554 λελάχωσι X 343. Cf. ad Θ 328.
book 39.1 ἀρχὸν Ἁλιζώνων Ὀδίον μέγαν: ἡ διπλῆ πρὸς
book 39.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ὁμωνυμίαν τοῦ Ὀδίου. A.
book h51-3.1 δίδαξε γὰρ Ἄρτεμις αὐτή,
book h51-3.2 βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.
book h51-3.3 ἀλλ’ οὔ οἱ τότε γε χραῖσμ’ Ἄρτεμις ἰοχέαιρα.
book 52.1 ἡ διπλῆ, ὅτι σαφῶς τὸ βάλλειν ἀντὶ τοῦ τυγχάνειν.
book 52.2 A. Ar. 72.
book 53.1 ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χραῖσμεν θανά-
book 53.2 τοιο πέλωρα. ἀδιανόητον δὲ γίνεται τὸ λεγόμενον. A.
book 56.1 πρόσθεν ἕθεν φεύγοντα μετάφρενον οὔτασε
book 56.2 δουρί: ὅτι ἀπὸ τῆς πληγῆς πέπτωκε φεύγων καὶ τετραμ-
book 56.3 μένος ἐπὶ στόμα. A. v. ad 68.
book h59-60.1 Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, τέκτονος υἱόν
book h59-60.2 Ἁρμονίδεω, —
book h62-4 ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐίσας
book h62-4.1 ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο
book h62-4.2 οἷ τ’ αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη.
book 60.1 ἡ διπλῆ, ὅτι ὀνοματοθετικὸς ὁ ποιητής, καὶ ἐν
book 60.2 Ὀδυσσείᾳ παραπλησίως ποιεῖ· οἰκεῖον γὰρ τέκτονος τὸ ἁρ-
book 60.3 μόζειν, κἀκεῖ Τερπιάδης δέ τ’ ἀοιδός (χ 330). Haec scri-
book 60.4 bens simul cogitavit Chorizontas, qui ejusmodi observationibus
book 60.5.1 eundem auctorem prodentibus refutarentur (cf. ad I 137). L.
book 60.5.2 καὶ ὅτι ἀμφίβολον, πότερον ὁ Φέρεκλος ἔπηξε τὰς ναῦς ἢ
book 60.5.3 ὁ Ἁρμονίδης, ἔφ’ ὃ καὶ Ἀρίσταρχος φέρεται (quod Homeri-
book 60.5.4 cum πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷν (v. ad 62, cf. ad
book 60.5.5 similem locum B 629). L. A.
book 64.1 ἀθετεῖται, ὅτι οὐχ ὑγιῶς ἐξενήνοχεν, αἳ πᾶσι κα-
book 64.2 κὸν Τρώεσσι γένοντο ἑαυτῷ τε· ἔδει γὰρ αὐτῷ τε. A. „Cae-
book 64.3 terum atheteseos non puto hanc unam causam fuisse: sed ora-
book 64.4 cula etiam illa, quae non novisset Alexander, offensioni fuisse:
book 64.5.1 quod ipsum prae illa grammatica quaestione deinde fere ne-
book 64.5.2 glectum est.“ L. qu. ep. 116 not.
book h65-6.1 τὸν μὲν Μηριόνης ὅτε δὴ κατέμαρπτε διώκων,
book h65-6.2 βεβλήκει γλουτὸν κατὰ δεξιόν·
book h68.1 γνὺξ δ’ ἔριπ’ οἰμώξας, θάνατος δέ μιν ἀμφε-
book h68.2 κάλυψεν.
book 68.1 ἡ διπλῆ ὅτι καὶ οὗτος (v. ad 56) οὐκ ἐπὶ τὴν πλη-
book 68.2 γὴν πέπτωκεν. A. Οὐκ inseruimus ante ἐπὶ τὴν πληγήν.
book 68.3 Nam ἐπὶ τὴν πληγήν est in eam partem cadere, unde plaga
book 68.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

venit, sive quis a fronte transfossus pronus cadit (χ 296: v.
book 68.5.1 sch. Vulg.), sive a tergo supinus ut N 548; ἀπὸ τῆς πληγῆς
book 68.5.2 in contrariam partem, sive a fronte transfossus supinus cadit
book 68.5.3 (Δ 463 Λ 144), sive a tergo pronus, ut E 56 et h. l.
book 68.5.4 Ἀντήνορος υἱόν,
book 70.1 ὅς ῥα νόθος μὲν ἔην, πύκα δ’ ἔτρεφε δῖα Θεανώ:
book 70.2 ἡ διπλῆ, ὅτι βαρβαρικὸν ἔθος τὸ ἐκ πλειόνων γυναικῶν
book 70.3 παιδοποιεῖσθαι· Λαέρτης γοῦν χόλον ἀλέεινε γυναικός
book 70.4 (α 433). BL? Ar. 199.
book h76 Εὐρύπυλος δ’ Εὐαιμονίδης Ὑψήνορα δῖον—
book 79.1 τὸν μὲν ἄρ’ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός:
book 79.2 πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος. A. Pluygers p. 8.
book 76.1 Ὑψήνορα: δύο Ὑψήνορες· καὶ ἀλλαχοῦ γάρ φησιν
book 76.2 Ἱππασίδην Ὑψήνορα (N 411) V. Fluxit ex Aristarcho:
book 76 πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὑψήνορος, vel tale quid L.
book 83.1 ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κρα-
book 83.2 ταιή: ἡ διπλῆ ὅτι—Cetera non sunt Aristonici.
book 85.1 Τυδείδην δ’ οὐκ ἂν γνοίης, ποτέροισι μετείη:
book 85.2 ἡ διπλῆ ὅτι ὡς πρός τινα διαλέγεται μὴ ὑποκειμένου προ-
book 85.3 σώπου, καὶ ὅτι ἀντὶ τοῦ οὐκ ἄν τις ἔγνω, καὶ χρόνος ἐνήλ-
book 85.4 λακται. A. Cf. p. 8.
book 99.1 θώρηκος γύαλον: ἡ διπλῆ, ὅτι τὸ ὅλον κύτος
book 99.2 τοῦ θώρακος γύαλον διὰ τὴν κοιλότητα λέγει, οὐ μέρος
book 99.3 ὡρισμένον τοῦ θώρακος. A. Ar. 114.
book 104.1 (Pandarus loquitor) εἰ ἐτεόν με
book 104.2 ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν:
book 104.3 ὅτι τῆς Τρωικῆς Λυκίας. A. Ar. 237.
book 113.1 αἷμα δ’ ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος: An-
book 113.2 notatum fuerit στρεπτὸν χιτῶνα significare τὸν νηστόν: Φ 31.
book 121.1 ὣς ἔφατ’ εὐχόμενος· τοῦ δ’ ἔκλυε Παλλὰς
book 121.2 Ἀθήνη: ἡ διπλῆ, ὅτι κατὰ τὴν ἡμετέραν χρῆσιν νῦν τὸ
book 121.3 εὐχόμενος. (precans, non glorians L.). A.
book 122.1 γυῖα δ’ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας
book 122.2 ὕπερθεν: ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται εἰς τὸν
book 122.3 ἐπὶ Πατρόκλῳ ἀγῶνα ἐπ’ Ὀδυσσέως τρέχοντος (Ψ 772). A.
book 122.4 Cf. ad N 61.
book 128.1 ὄφρ’ εὖ γιγνώσκοις ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα:
book 128.2 ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἠδ’ ἄνθρωπον. ἰδίως δὲ
book 128.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴρηκεν ἄνδρα διὰ τὸ καὶ ἄνδρας πολεμεῖν. A. ἰδίως: apposite ad hunc statum, quia qui in bello sunt, sunt ipsi viri, eben die Männer. L.

ὅν ῥά τε (leonem) ποιμὴν ἀγρῷ ἐπ’ εἰροπόκοις ὀίεσσιν
χραύσῃ μέν τ’ αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ·
τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ’ οὐ προσαμύνει,
ἀλλὰ κατὰ σταθμοὺς δύεται· τὰ δ’ ἐρῆμα φοβεῖται·
αἱ μέν τ’ ἀγχιστῖναι ἐπ’ ἀλλήλῃσι κέχυνται—

ἐπ’ εἰροπόκοις ὀίεσσιν: ἀντὶ τοῦ ταῖς ἐπαύλεσιν, ὡς τὸ ποιμαίνων δ’ ἐπ’ ὄεσσι μίγη (Z 25). BL. Verba fortasse mutata, observatio Aristarchea est: v. ad l. c. et ad Δ 500.

τὰ δ’ ἐρῆμα φοβεῖται: ἡ διπλῆ, ὅτι πρὸς τὸ σημαινόμενον καὶ οὐ πρὸς τὸ ῥητὸν τοῦτο ἐπήγαγεν (cf. p. 32). καὶ ὅτι σταθμοὺς τὰς κατ’ ἀγρὸν ἐπαύλεις. A. Inserui καί ante ὅτι σταθμούς.

τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
τὸν δ’ ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ’ ὦμον
πλῆξ’, ἀπὸ δ’ αὐχένος ὦμον ἐέργαθεν ἠδ’ ἀπὸ νώτου.

βαλών: ἡ διπλῆ, ὅτι τὴν πόῤῥωθεν τρῶσιν βολὴν λέγει. A. Ar. 68.

ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει τοῦ δ’ ἑτέρου, ὁ δὲ ποιητὴς οὕτως λέγει ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα (A 197). A. Cf. p. 20.

ἡ διπλῆ πρὸς τὴν διαφορὰν τοῦ πλῆξε καὶ ἔβαλεν, ὅτι ἐκ χειρὸς ἐπάταξεν (sc. τὸ ἔπληξεν). A. Ar. 62.

τοὺς μὲν ἔας’, ὁ δ’ Ἄβαντα μετῴχετο καὶ Πολύιδον
υἱέας Εὐρυδάμαντος ὀνειροπόλοιο γέροντος,
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ’ ὀνείρους.

πρὸς τὴν ὁμωνυμίαν· καὶ γὰρ Ἀργείων ἐβασίλευε Πολύϊδος ὁ τὸν Μίνωος ἀνευρὼν παῖδα μάντις. ἡ δὲ ἀναφορὰ πρὸς τὸ Αἴθρη Πιτθῆος θυγάτηρ (Γ 144). A.

ὀνειροπόλοιο: ὅτι ὀνειροπόλος ὁ διὰ τῶν ἰδίων

ὀνείρων μαντευόμενος, οὐχ ὁ ὀνειροκριτής. A. Ad A 63.
book 150.1 ἡ διπλῆ πρὸς τὴν ἑρμηνείαν. τὸ δὲ ὅλον οἷς τισὶ μὴ
book 150.2 ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους. A. Cf. p. 6.
book 153.1 ἄμφω τηλυγέτω: καὶ ὅτι (Pluyg. ὅτι καί) ἐπὶ δύο
book 153.2 τὸ τηλύγετος. A. Pluygers p. 8.
book 156.1 φίλον δ’ ἐξαίνυτο θυμόν
book 156.2 ἀμφοτέρω: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει σὺν
book 156.3 τῷ ν ἀμφοτέρων. οὕτως δὲ λέγει, ἀμφοτέρους ἀφείλετο τὸν
book 156.4 θυμόν· τὸ γὰρ ἀμφοτέρω νῦν ἀμφοτέρους σημαίνει. ὁμοίως
book 156.5.1 δὲ λέγεται καὶ κατὰ τὸ ἑνικόν ἐπεί μ’ ἀφελέσθε γε δόν-
book 156.5.2 τες (A 299). A. Cf. p. 21.
book 161.1 ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξῃ
book 161.2 πόρτιος ἠὲ βοός: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει
book 161.3 βουκόλου ἠὲ βοός. παραλλήλως δὲ (cf. ad N 276) τὸ εἶ-
book 161 δος τῷ γένει τέταχεν. A.
book 161.5.1 βῆ δ’ ἴμεν—
book 161.5.2 Πάνδαρον ἀντίθεον διζήμενος, εἴ που ἐφεύροι.
book 169.1 εὗρε Λυκάονος υἱόν: πρὸς τὸ ἀσύνδετον. A. Pluy-
book 169.2 gers. p. 8. Cf. proll. ad Nicanorem p. 49.
book 173.1 οὐδέ τις ἐν Λυκίῃ σέο γ’ εὔχεται εἶναι ἀμεί-
book 173.2 νων: ἡ διπλῆ, ὅτι τὴν Τρωικὴν Λυκίαν λέγει. A. Ar. 237.
book 177.1 εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν:
book 177.2 πρὸς τὸ ἀμφίβολον, εἰ μὴ οὗτος αὐτὸς θεός ἐστιν ὁ ἐναν-
book 177.3 τιούμενος, ἢ εἰ μή τις θεὸς ἐγκοτῶν τοῖς Τρωσὶ τῷ πολεμίῳ
book 177.4 ἀρήγει. AB. Excidit ὃ καὶ ὑγιές, vel tale quid: v. ad 191.
book 177.5 ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ,
book 183.1 ἵππους τ’ εἰσορόων· σάφα δ’ οὐκ οἶδ’ εἰ θεός
book 183.2 ἐστιν: ἀθετεῖται, ὅτι δεξάμενός τις (in versu 177), εἰ μή
book 183.3 τις θεός ἐστιν ὁ ἐναντιούμενος (quum intelligi debeat: nisi
book 183.4 quis iratus Trojanis deus ei auxiliatur, v. ad 191. L.), ἐνέ-
book 183.5.1 γραψεν αὐτόν (Ar. 350). οὐ διστάζει δέ, ἀλλ’ ἐπίσταται
book 183.5.2 σαφῶς, ὅτι Διομήδης ἐστί· διὸ λέγει Τυδεΐδῃ μιν ἔγωγε
book 183.5.3 δαΐφρονι πάντα ἐΐσκω, Ἀσπίδι γιγνώσκων αὐλώ-
book 183.5.4 πιδί τε τρυφαλείῃ. A.
book 187.1 ἀλλά τις ἄγχι
book 187.2 ἕστηκ’ ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
book 187.3 ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν
book 187.4 ἄλλῃ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν· οὐ γὰρ
book 187.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐτράπετο ἄλλῃ τὸ βέλος, ἀλλ’ ἔτυχεν αὐτοῦ. οὐ λέγει δὲ
book 187.5.2 ὅτι καθόλου ἀπέτυχεν, ἀλλ’ ὅτι ἐπὶ καίριον τόπον φερό-
book 187.5.3 μενον παρέτρεψεν. A.
book 189.1 θώρηκος γυάλοιο: ἡ διπλῆ, ὅτι περιφραστικῶς
book 189.2 πάλιν τοῦ κύτους. A. Ar. 114.
book 191.1 ἔμπης δ’ οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι
book 191.2 κοτήεις: ἡ διπλῆ, ὅτι εὐκρινὲς γίνεται τὸ ἐν τοῖς ἐπάνω
book 191.3 (177) ἀμφίβολον, ὅτι συνεργὸν λέγει τῷ πολεμίῳ θεόν. A.
book 191.4 ἕνδεκα δίφροι
book 194.1 καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ
book 194.2 πέπλοι: ἡ διπλῆ, ὅτι Ζηνόδοτος μετέθηκεν (ἠθέτηκεν?)
book 194.3 ὡς ταυτολογοῦντος πρωτοπαγεῖς νεοτευχέες, ἀγνοῶν
book 194.4 ὅτι ἐνίοτε παραλλήλως τάσσει τὰς ἰσοδυναμούσας λέξεις. A.
book 194.5 Cf. ad N 276.
book 195.1 δίζυγες ἵπποι: ὅτι δυσὶν ἵπποις ἐχρῶντο. A.
book 195.2 Ar. 196.
book 197.1 γέρων αἰχμητὰ Λυκάων: ἡ διπλῆ, ὅτι ἀντὶ
book 197.2 τοῦ αἰχμητής, ὡς αὐτὰρ ὁ αὖτε Θυέστα (B 107). A.
book 197.3 Cf. p. 18.
book 200.1 ἀρχεύειν Τρώεσσι (Pandarum): ἡ διπλῆ, ὅτι οἱ
book 200.2 τὴν Ζέλειαν οἰκοῦντες ὑπὸ τὴν Ἴδην καὶ ὑπὸ Πάνδαρον
book 200.3 Τρῶες ἐλέγοντο. A. Ar. 240.
book 208.1 ἀτρεκὲς αἷμ’ ἔσσευα βαλών: ἡ διπλῆ, ὅτι
book 208.2 τρώσας, καὶ οὐ ῥίψας ἁπλῶν τὸ βέλος. A.
book h210-1.1 ὅτε Ἴλιον εἰς ἐρατεινήν
book h210-1.2 ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
book 210 ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν (cod. τὸ) Ἴλιον. A.
book 211.1 ὅτι ἀντὶ τοῦ Τρώων τῶν ὑπὸ τὴν Ἴδην (cf. p. 23),
book 211.2 χαριζόμενος δὲ τῷ Ἕκτορι. τινὲς δὲ ἀγνοοῦντες ὅτι λέγον-
book 211.3 ται καὶ οἱ ὑπὸ Πάνδαρον Τρῶες (v. ad 200) μεταγράφουσι
book 211.4 Τρώεσσι φέρων χάριν ἱπποδάμοισιν. A. Ar. 240.
book 212.1 εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσιν
book 212.2 πατρίδ’ ἐμήν: ἀντὶ τοῦ νοστήσαιμι, ὡς πληθὺν
book 212.3 δ’ οὐκ ἂν ἐγὼν ὀνομήνω (B 488). περιττεύει δὲ ὁ κέν
book 212.4 σύνδεσμος. A. Cf. p. 12.
book h222-3.1 οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
book h222-3.2 κραιπνὰ μάλ’ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέ-
book h222-3.3 βεσθαι.
book 222.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι ἐλλείπει ἡ διά· διὰ πεδίου γάρ. A. Pluyg. p. 8.
book 222.2 Cf. p. 26.
book 223.1 ἡ διπλῆ, ὅτι τοῦτό ἐστι τὸ φόβον Ἄρηος φο-
book 223.2 ρεούσας (B 767), τὴν ἐν πολέμῳ φυγήν· καὶ ὅτι τὸ φο-
book 223.3 βεῖσθαι καὶ φέβεσθαι ἐπὶ τοῦ φεύγειν Ὅμηρος τίθησιν,
book 223.4 οὐκ ἐπὶ τοῦ κατὰ ψυχὴν δέους. A. Ar. 89.
book 224.1 τὼ καὶ νῶι πόλιν δὲ σαώσετον: ὅτι δύο ἵπποι.
book 224.2 A. Pluyg. 8. Ar. 196.
book 228.1 δέδεξο: ἡ διπλῆ, ὅτι εἴωθε περιττεύειν τῇ συλ-
book 228.2 λαβῇ, ὡς ἐπὶ τοῦ πεπίθωνται λελάχωσιν. A. Cf. p. 11.
book 230.1 Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ’ ἡνία καὶ τεὼ ἵππω:
book 230.2 ὅτι δυοῖν ἵπποις ἐχρῶντο· διὸ καὶ δυικῶς λέγει. A. Pluy-
book 230.3 gers. 8. Ar. 196.
book 233.1 μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ’ ἐθέλητον
book 233.2 ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε:
book 233.3 ὅτι πεπλεόνακε κατὰ τὸν τόπον τοῦτον τοῖς δυικοῖς σχήμα-
book 233.4 σιν. A. δυικοῖς ins. L. (Herod. 460), in cod. esse affirmat
book 233.5 Pluygers p. 11.
book 238.1 δεδέξομαι: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ δέξομαι [ἐπι-
book 238.2 τηρήσω], ὡς λελάχωσιν ἀντὶ τοῦ λάχωσιν. A. Cf. p. 11.
book 245.1 ἄνδρ’ ὁρόω κρατερὼ—
book 245.2 ἶν’ ἀπέλεθρον ἔχοντας. ὁ μὲν τόξων εὖ εἰ-
book 245.3 δώς—: ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως· ἀκόλου-
book 245.4 θον γὰρ ἦν εἰπεῖν τὸν μὲν τόξων εὖ εἰδότα. A. Cf. p. 19.
book 249.1 ἀλλ’ ἄγε δὴ χαζώμεθ’ ἐφ’ ἵππων: ὅτι Ἀττικῶς
book 249.2 (cf. p. 1) ἐξενήνοχεν ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς ἵππους (cf. p. 21).
book 249.3 δοκεῖ δὲ Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθετηκέναι. A.
book 252.1 μή τι φόβον δ’ ἀγόρευε: ὅτι πάλιν (223) φόβον
book 252.2 τὴν φυγὴν εἶπεν. A. Ar. 89.
book 253.1 οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι:
book 253.2 σημειοῦνταί τινες, ὅτι οὕτως εἴρηται ἐγγενές, πάτριον. A.
book 255.1 ὀκνείω δ’ ἵππων ἐπιβαινέμεν: σημειοῦνται
book 255.2 δὲ καὶ τὸ ὀκνείω δ’ ἵππων ἀντὶ τοῦ ὀκνηρῶς ἔχω. A.
book 257.1 τούτω δ’ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες
book 257.2 ἵπποι: ὅτι οὐ τὸ αὐτὸ λέγει διὰ τοῦ πάλιν καὶ αὖτις,
book 257.3 ἀλλὰ τὸ μὲν αὖτις ἀντὶ τοῦ πάλιν, τὸ δὲ πάλιν τοπικόν,
book 257.4 ἀντὶ τοῦ εἰς τοὐπίσω. A. Ar. 100.
book 260.1 αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
book 260.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
book 260.3 αὐτοῦ ἐρυκακέεν.
book 261 ἡ διπλῆ, ὅτι περισσὸς ὁ δέ σύνδεσμος. A. Cf. p. 33.
book 262.1 ἡ διπλῆ, ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ
book 262.2 ἐρύκακε. A. Cf. p. 14.
book h263-4.1 Αἰνείαο δ’ ἐπαΐξαι μεμνημένος ἵππων
book h263-4.2 ἐκ δ’ ἐλάσαι Τρώων μετ’ ἐυκνήμιδας Ἀχαιούς
book 263.1 ἐπαΐξαι: ἡ διπλῆ, ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ προσ-
book 263.2 τακτικοῦ ἐχρήσατο. (Cf. p. 14.) Ζηνόδοτος δὲ Αἰνείωο (cod.
book 263.3 Αἰνείῳ: v. ad 323) γράφει. A.
book 264 μετ’ ἐυκνήμιδας: ἀντὶ τοῦ πρός. A. qu. ep. 88.
book h265-6.1 τῆς γάρ τοι γενεῆς, ἧς Τρωί περ εὐρύοπα Ζεύς
book h265-6.2 δῶχ’ υἷος ποινὴν Γανυμήδεος, οὕνεκ’ ἄριστοι—
book 266.1 ὅτι ἰδίως τῷ ποινή κέχρηται· κυρίως γὰρ ἐπὶ φό-
book 266.2 νου ποινὴν δεξαμένῳ (I 636, Ar. 152). καὶ ὅτι τὸ οὕ-
book 266.3 νεκα ἀντὶ τοῦ τούνεκα. A.
book h268-9.1 τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης
book h268-9.2 λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.
book 268.1 τῆς: ἀντὶ τοῦ ταύτης. καὶ λείπει τὸ ἄρθρον, ἵν’
book 268.2 ᾖ ταύτης τῆς γενεῆς. LV. Fluxit certe ex Aristonico. Cf. p. 30.
book 269.1 ἡ διπλῆ, ὅτι οἱ περὶ Ἑλλάνικον ἀνεγίνωσκον θη-
book 269.2 λέας ὡς ταχέας, ὡς Δωρικῶς ἐκτιθεμένου τοῦ ποιητοῦ. τὸ
book 269.3 δὲ τοιοῦτο παρ’ Ἡσιόδῳ πλεονάζει, Ὅμηρος δὲ οὐ χρῆται.
book 269.4 A. Cf. ad T 97. προφανείσᾰς dicitur Zenodotus scripsisse Θ 378. L.
book 272.1 τὼ δὲ δύ’ Αἰνείᾳ δῶκεν, μήστωρε φόβοιο:
book 272.2 ὅτι δύο ἵπποις ἐχρῶντο. ἡ δὲ ἀναφορὰ πρὸς τὸ τέτρωρον
book 272.3 Ξάνθε τε καὶ σὺ Πόδαργε (Θ 185—Ar. 196). καὶ ὅτι
book 272.4 φόβον τὴν φυγὴν λέγει (Pluygers p. 11). A.
book 278.1 ἦ μάλα ς’ οὐ βέλος ὠκὺ δαμάσσατο, πι-
book 278.2 κρὸς ὀιστός: πρὸς τὴν ἑρμηνείαν· ἦ μάλα σε οὐκ ἐδά-
book 278.3 μασσε τὸ βέλος, ὅ ἐστιν ὁ οἰστός. A.
book 289.1 Ἄρηα ταλαύρινον πολεμιστήν: ἡ διπλῆ, ὅτι
book 289.2 παρηγμένως λέγει ταλαύρινον πολεμιστήν (i. e. ut al-
book 289.3 tera pars significationis delitescat: Ar. 321), καὶ ἕν ἐστιν ἐξ ἀμ-
book 289.4 φοτέρων, ὑπομενητικὸν ἐν τῇ μάχῃ. A. Ut haec duo vocabula
book 289.5.1 unam notionem exprimere existimavit, sic etiam πυλάρταο
book 289.5.2 κρατεροῖο N 415 (quod transiit in Apoll. lex. 137, 25) et χορῷ
book 289.5.3 καλή Π 180. Cf. proll. ad Nicanor. p. 100 cum nota.
book h298-300.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δείσας μή πώς οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ’ ἄρ’ αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς,
πρόσθε δέ οἱ δόρυ τ’ ἔσχε καὶ ἀσπίδα παντός’ εἴσην—

οἱ: ὅτι ἀντὶ τοῦ αὐτοῦ. A. καὶ παρεῖται ἡ παρά: hoc enim excidit, cf. p. 25.

ἡ διπλῆ, ὅτι ἀπὸ τῶν τετραπόδων ἡ μεταφορά, πρὸς τὸ ὃς Χρύσην ἀμφιβέβηκας (A 37). A.

οἱ: ὅτι πάλιν (298) ἀντὶ τοῦ αὐτοῦ. A. Cf. p. 23.

πρὸς δ’ ἄμφω ῥῆξε τένοντε: οὕτω τὰ τεταμένα νεῦρα. LV. Ar. 153.

ἔστη γνὺξ ἐριπών: ἡ διπλῆ, ὅτι ἔστη ἀντὶ τοῦ ἔμεινεν, ἐπὶ τὰ γόνατα πεσών A. Quatuor ultima verba, quae sunt apud Vill., desunt apud Bekk.

καὶ ἐρείσατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν.

[ἡ διπλῆ], ὅτι οὐκ ὀρθῶς ἐπὶ Ἕκτορος λέγεται (Λ 356), μετενεχθεὶς ἐντεῦθεν. A.

καί νύ κεν ἔνθ’ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας: καὶ ὁ χρόνος καὶ τὸ ῥῆμα ἐνήλλακται, ἀντὶ τοῦ ἀπώλετο ἄν. A. Cf. p. 7.

πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ’ ἐκάλυψεν: ἔμπροσθεν αὐτοῦ (Bekk. αὑτοῦ, cf. p. 23). οὐχ ὡς ἄτρωτον δὲ περιβάλλει τὸν πέπλον αὐτῷ ἀλλ’ ἵνα κρύψῃ αὐτόν. A.

οὐδ’ υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων: ὅτι ἰδίως συνθεσιάων ἀντὶ τοῦ ἐντολῶν. A. Pluygers. p. 8.

Αἰνείαο: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει Αἰνείωο. οὐκ ἔστι δὲ Αἰνείως ὡς Πετεώς. A. Cf. 263. Sed scripsi Αἰνείωο et Αἰνείως pro accentibus, qui apud Bekkerum sunt Αἰνειῶο et Αἰνειώς. Non video cur ad Αἰνειώς et Αἰνειῶο ferretur. Nam sive statuit nominativum in ως pro Αἰνείας: hunc paroxytonum finxisse verisimilius, ex paroxytonis autem ejusmodi fiunt proparoxytoni genetivi in ωος, ut docuit exemplisque firmavit Choerob. can. p. 413 Cr. Sive, id quod probabilius, ne quaesito quidem nominativo Αἰνείωο originem fallacem habuit ex Αἰνείω (qui genetivus est ut Ἑρμείω, nunc recte pro Αἰνείεω E 534: v. Orus in sch. B 461; uti erat in

Eulogikon public reading copy · View original HTML at eulogikon.org

rejecta lectione Αἰνείω γενεὴ πάντεσσιν ἀνάξει Υ 307): nec hinc accentus trajectio verisimilis. Aristonicus autem si cum Πετεώς potissimum comparavit, non id fecit propter similitudinem accentus, sed ut ad id exemplum genetivi in ωο exigeret, quod esset Homericum. L.

αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵππους: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει κρατερωνύχεσι. βίαιος δ’ ἡ συναλοιφή. τὸ δὲ ἑξῆς ἐστίν, αἶψα δὲ Τυδείδην μέθεπε τοὺς ἵππους, τουτέστι κατόπιν ἤλαυνεν. A.

οὔτε πτολίπορθος Ἐνυώ: ἡ διπλῆ, ὅτι πολεμικὴ ἡ θεός. A. Ar. 181.

A versu 336 ad 635 aliena manu codex descriptus est, membranis sex recenter adsutis. Villoison. Ita omnia genuina Aristonici scholia ad hos trecentos versus perierunt.

ὣς φάτο, Τυδείδης δ’ ἀνεχάζετο τυτθὸν ὀπίσσω. Hic recte scribi τυτθόν, contra Π 710 (ubi vid.) πολλόν. L.

ἀμυνέμεναι ὤρεσσιν. ὤρεσσι significare γυναιξίν: Σ 265.

τύχε γάρ ῥ’ ἀμάθοιο βαθείης. Vestigia scholii Aristarchei quod amissum est, non modo sunt in Eust. (Ar. 128), sed etiam in sch. D.

ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος. i. e. κυδοιμοῦ εἴδωλον: Λ 4.

καὶ βάλεν Ἄμφιον, Σελάγου υἱόν. Hic ex homonymis est: B 830.

ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην. Notatus fuit propter πονέοντο: 667.

ἀλλ’ οἷόν τινά φασι βίην Ἡρακληείην: ἡ διπλῆ ὅτι τὸ οἷον ἐπὶ θαυμασμοῦ. τινὲς δὲ ἀλλοῖον παρὰ τοὺς νῦν. Ζηνόδοτος δὲ καὶ ἀμέτρως γράφει Ἡρακλεΐην (v. ad B 658). A.

Ἴλιον ἱρήν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

δούρατα μακρά ἐκ χειρῶν ἤιξαν: ὅτι τὰ δόρατα ἤιξαν. A. Pluygers p. 8. Cf. p. 15.

αἰχμὴ δὲ διέσσυτο μαιμώωσα ὀστέῳ ἐγχριμφθεῖσα: ἡ διπλῆ, ὅτι ἀκαταλλήλως·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔδει γὰρ εἰπεῖν, μαιμώωσα ὀστέῳ ἐγχριμφθῆναι. A. Cf. p. 14.
book 667.1 τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες: πάλιν
book 667.2 (627) πρὸς τὸν πόνον ἡ διπλῆ. A. Ar. 87.
book 670.1 τλήμονα θυμὸν ἔχων: ὅτι οἱ νεώτεροι τλή-
book 670.2 μονα τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν ὑπομενητικόν, ἀπὸ τοῦ
book 670.3 τλῆναι. A. Ar. 99.
book 684.1 μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς: ὅτι (ita L.
book 684.2 pro οὕτως) οὐ πάντως βρῶμα, πρὸς τὸ ἑλώρια τεῦχε κύ-
book 684.3 νεσσιν (A 4). A. Ar. 110.
book 700.1 οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν:
book 700.2 ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι Ἀττικῶς (p. 1) ἐξενή-
book 700.3 νοχεν, οὐκ ἔφευγον προτροπάδην ἐπὶ τὰς ναῦς. A. Cf. p. 21.
book 705 ἀντίθεον Τεύθραντ’, ἐπὶ δὲ πλήξιππον Ὀρέ-
book 705.1 στην: ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι ὁμώνυμος οὗτος
book 705.2 τῷ Ἀγαμέμνονος υἱῷ [Τεύθραντι]. A. V. Lehrs Herodian.
book 705.3 p. 457. Tertius Orestes, ad M 139. L.
book 708.1 ὅς ῥ’ ἐν Ὕλῃ ναίεσκε: ἡ διπλῆ, ὅτι Ζηνόδοτος
book 708.2 γράφει Ὕδῃ. ἔστι δὲ τῆς Λυδίας ἡ Ὕδη, ὁ, δὲ ἀνὴρ Βοιω-
book 708.3 τός, καὶ κώμη Βοιωτίας ἡ Ὕλη. καὶ ὅτι νῦν (cod. οὐ) συν-
book 708.4 εσταλμένως λέγεται ἡ πόλις, ἐκτέταται δὲ ἐν τῷ καταλόγῳ
book 708.5 (B 500, ubi v.) διὰ μέτρον. A. Emend. L. Ar. 241.
book 729.1 τοῦ δ’ ἐξ ἀργύρεος ῥυμὸς πέλεν: ἡ διπλῆ,
book 729.2 ὅτι ὅταν εἴπῃ ἐν πρώτῳ ῥυμῷ (Z 40) τῷ ἄκρῳ λέγει· εἷς
book 729.3 γάρ ἐστι ῥυμός (Ar. 149). τὸ δὲ πέλεν ἀντὶ τοῦ πέλει (Cf.
book 729.4 p. 6.). A.
book h734-6.1 πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ’ οὔδει,
book h734-6.2 ποικίλον, ὅν ῥ’ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
book h734-6.3 ἡ δὲ χιτῶν’ ἐνδῦσα Διὸς νεφεληγερέταο—
book 734-6.1 οἱ ἀστερίσκοι, ὅτι ἐνταῦθα μὲν καλῶς
book 734-6.2 κεῖνται, ἐν δὲ τῇ κόλῳ μάχῃ (Θ 385) μηδεμιᾶς φαινομένης
book 734-6.3 ἀριστείας οὐ δεόντως. ὁ δὲ Ζηνόδοτος τούτους μὲν ἀθετεῖ,
book 734-6.4 ἐκείνους δὲ καταλείπει. τῷ δὲ τρίτῳ παράκειται ἡ διπλῆ,
book 734-6.5.1 ὅτι δασύνειν δεῖ τὸ ἡ δέ· ἐπανέλαβε γάρ, ὡς ἔθος αὐτῷ,
book 734-6.5.2 τὸν περὶ τῆς Ἀθηνᾶς λόγον. A. Cf. de hac epanalepsi Θ 321
book 734-6.5.3 Ο 127 Π 401, 467 et Didym. ad Γ 18.
book 744.1 ἑκατὸν πολίων πρυλέεσς’ ἀραρυῖαν: ὅτι πε-
book 744.2 ζοὶ οἱ πρυλέες ὅπλα ἔχοντες. A. Ar. 123.
book h745-7.1 λάζετο δ’ ἔγχος
book h745-7.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βριθὺ μέγα στιβαρόν, τῷ δάμνῃσι στίχας ἀνδρῶν
book h745-7.3 ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
book 746-7.1 [ἡ διπλῆ], ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν
book 746-7.2 (α 100) μετάκεινται. A. καὶ εἰς τὴν κόλον μάχην (Θ 390).
book 749.1 αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ: ἡ
book 749.2 διπλῆ, ὅτι πύλαι οὐρανοῦ τὰ νέφη· ὁ γὰρ ὑπὲρ ταῦτα τό-
book 749.3 πος ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸς καλεῖται. A. Ar. 167.
book 754.1 ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο:
book 754.2 ἡ διπλῆ, ὅτι ὄρος ὁ Ὄλυμπος, καὶ ὅτι ὑπερθετικὸν ἀντὶ
book 754.3 ἁπλοῦ, ἀκροτάτῃ ἀντὶ τοῦ ἄκρᾳ. (Cf. p. 31). οὐ ζητητέον
book 754.4 οὖν πῶς τὸν ὑπὸ (cod. ὑπέρ) τὰ νέφη τόπον ἀκροτάτην εἴ-
book 754.5 ρηκε κορυφήν· λέγει γὰρ ἄκραν οἱανδήποτε. A. Pro κορυφήν
book 754 cod. κεφαλὴν τοῦ τήν vel ταύτην. Em. L. Ar. 168.
book 760.1 τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,
book 760.2 ἄφρονα τοῦτον ἀνέντες. Annotatio fuit de syllepsi:
book 760.3 solus enim Apollo Martem excitavit. v. ad Ψ 306.
book 763.1 πεπληγυῖα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ πλήσσουσα τῷ
book 763.2 παθητικῷ. A. Cf. p. 3.
book 764.1 τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγε-
book 764.2 ρέτα Ζεύς: ἡ διπλῆ, ὅτι ἔνιοι γράφουσι τὴν δ᾽ αὖτε προσ-
book 764.3 έειπε πατὴρ ἀνδρῶν τε θεῶν τε. A.
book 774.1 ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμαν-
book 774.2 δρος: ὅτι τὸ κατ᾽ ἀμφοτέρων ῥῆμα μεταξὺ τῶν ὀνομάτων
book 774.3 τέταχεν· ἔδει γὰρ ἧχι ῥοὰς Σιμόεις καὶ Σκάμανδρος
book 774.4 συμβάλλετον. τούτῳ δὲ τῷ ἔθει πεπλεόνακε καὶ Ἀλκμᾶν·
book 774.5 διὸ καὶ καλεῖται Ἀλκμανικόν, οὐχ ὅτι αὐτὸς (οὗτος?) πρῶ-
book 774.5.2 τος ἐχρήσατο, ἀλλ᾽ ὅτι τῷ τοιούτῳ ἔθει πεπλεόνακεν. A. Cf.
book 774.5.3 Υ 138. Τό ante κατ᾽ ἀμφοτέρων addidi.
book 785.1 Στέντορι εἰσαμένη: ἡ διπλῆ, ὅτι ἐνταῦθα μό-
book 785.2 νον μνημονεύει τοῦ Στέντορος. A. πολλὰ δέ ἐστιν ἅπαξ
book 785.3 εἰρημένα παρὰ τῷ ποιητῇ: Γ 54.
book 789.1 οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
book 789.2 οἴχνεσκον: τῶν Σκαιῶν· φησὶ γάρ ἀλλ᾽ ὅσον ἐς
book 789.3 Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανον (Ι 354 ubi v. A.
book 789.4 cf. Ζ 237 Χ 6 L.) BL.
book 795.1 ἕλκος ἀναψύχοντα, τό μιν βάλε Πάνδαρος
book 795.2 ἰῷ: ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκε ἀντὶ τοῦ βαλὼν ἕλκος ἐποίη-
book 795.3 σεν. A. Cf. ad νεκρὸν τὸν ἔκτανε Ω 151. L. et Ar. 72.
book 796.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπὸ πλατέος τελαμῶνος
book 796.2 ἀσπίδος εὐκύκλου: ἡ διπλῆ, ὅτι τελαμῶσιν ἐπὶ τῶν
book 796.3 ἀσπίδων ἐχρῶντο. A. Ar. 194.
book 800.1 ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς:
book 800.2 ἡ διπλῆ, ὅτι οὐ λέγει κατά τι ὅμοιον, ἀλλ' ἀντὶ τοῦ οὐδὲ
book 800.3 ὅλως ὅμοιον. A.
book 807.1 κούρους Καδμείων προκαλίζετο, πάντα δ'
book 807.2 ἐνίκα: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον
book 807.3 ῥηιδίως· τοίη οἱ ἐγὼν ἐπιτάῤῥοθος ἦα. ἐναντιοῦται
book 807.4 δέ· ἡ γὰρ Ἀθηνᾶ οὔ φησι παροτρύνειν ἀλλὰ κωλύειν (802,
book 807.5 805)· μετήχθη δὲ οὐ δεόντως ἐκ τοῦ Ἀγαμέμνονος λόγου
book 807 (Δ 390). A. μετήχθη scripsi pro κατήχθη.
book 814.1 τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διο-
book 814.2 μήδης: ὅτι ἔνιοι τὴν δ' αὖτε προσέειπε. A.
book 824.1 μαχὴν ἀνὰ κοιρανέοντα: τὸ ἀνά ἀντὶ τῆς κατά.
book 824.2 A. „si hoc Aristarchi est“: qu. ep. 87.
book 832.1 ὃς πρώην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων
book 832.2 Τρωσὶ μαχήσεσθαι: ἡ διπλῆ πρὸς τὸ στεῦτο, ὅτι
book 832.3 τὸ κατὰ διάνοιαν διωρίζετο ἡ λέξις σημαίνει. A. Ar. 106.
book 834.1 νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ: ἡ διπλῆ, ὅτι
book 834.2 ἀντὶ τοῦ ἐν τοῖς Τρωσίν ἐστιν, οὐ μετὰ Τρώων. A. Cod.
book 834.3 ἐστι pro ἐστιν, οὐ. Emend. L. qu. ep. 88.
book 836.1 χειρὶ πάλιν ἐρύσασα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ
book 836.2 εἰς τοὐπίσω. A. Ar. 100.
book h837-9.1 ἡ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
book h837-9.2 ἐμμεμαυῖα θεά. μέγα δ' ἔβραχε φήγινος ἄξων
book h837-9.3 βριθοσύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρα τ'
book h837-9.4 ἄριστον.
book 838-9.1 ἀθετοῦνται στίχοι δύο, ὅτι οὐκ ἀναγκαῖοι καὶ
book 838-9.2 γελοῖοι καί τι ἐναντίον ἔχοντες. τί γάρ, εἰ χείριστοι ἦσαν
book 838-9.3 ταῖς ψυχαῖς, εὐειδεῖς δὲ καὶ εὔσαρκοι; A. An tum non ἔβρα-
book 838-9.4 χεν ἄξων; L.
book 842.1 ἤτοι ὁ μὲν (Mars) Περίφαντα πελώριον ἐξενά-
book 842.2 ριζεν: ἡ διπλῆ, ὅτι ἀπὸ τῶν ἀνδρῶν σκυλεύοντα τὸν Ἄρη
book 842.3 ποιεῖ (Ar. 182), καὶ ὅτι τινὲς γράφουσιν ἐξενάριξεν (in qui-
book 842.4 bus fuisse videtur Zenodotus: Λ 368). συντελικὸν δὲ γίνεται,
book 842.5.1 δεῖ δὲ παρατατικῶς· καὶ γὰρ ἐπιφέρει τὸν μὲν Ἄρης ἐνά-
book 842.5.2 ριζε μιαίφονος [ἀντὶ τοῦ ἀνήρει]. A. Cf. p. 5. Verba ἡ
book 842.5.3

διπλῆ Pluygers. p. 12 interpolata esse dicit.
book 857.1 νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρῃ:
book 857.2 ἡ διπλῆ, ὅτι κατὰ τὰ κοῖλα μέρη ἐζωννύοντο τὴν μίτραν·
book 857.3 καὶ ἔστι διδασκαλικὸς ὁ τόπος. A. Ar. 128.
book 865.1 οἵη δ’ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀήρ
book 865.2 καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο: πρὸς
book 865.3 τὴν πλοκὴν τοῦ ἑξῆς λόγου, οἶα (οἶος?) φαίνεται ἀὴρ ἐκ νε-
book 865.4 φέων, δυσαέος ἀνέμου ὀρνυμένου ἐκ καύματος. A
book 875.1 σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα
book 875.2 κούρην: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ διὰ σέ (cf. p. 25), καὶ ὅτι
book 875.1 ἐμφαίνει ὡς ἐκ μόνου τοῦ Διὸς γενομένης τῆς Ἀθηνᾶς. A.
book 875.2 i. e. „hic locus speciem praebet, quasi Homerus ex solo Jove
book 875.5 natam Minervam cognoverit.“ Ar. 182.
book 878.1 σοί τ’ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος:
book 878.2 πρὸς τὸ σχῆμα· ἔδει γὰρ πειθόμεθα καὶ δεδμήμεθα ἕκαστος.
book 878.3 A. Cf. p. 18.
book 891.1 αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοι τε μάχαι
book 891.2 τε: ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται ἐν τῇ πρώτῃ
book 891.3 ῥαψῳδίᾳ (177) ἐπὶ τὸν πρὸς Ἀχιλλέα ὑπὸ Ἀγαμέμνονος λ
book h892-3.1 μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτόν,
book h892-3.2 Ἥρης· τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ’ ἐπέεσσιν.
book 892.1 ἡ διπλῆ, ὅτι σαφῶς Ἥρας ὁ Ἄρης, οὐκ Ἐνυοῦς,
book 892.2 ὥς τινες. A. Ar. 181.
book 893.1 σπουδῇ: ὅτι μετὰ σπουδῆς καὶ κακοπαθείας (cod.
book 893.2 κακότητος). A. Emend. Pluygers. p. 8. Ar. 122.
book 898.1 καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώ-
book 898.2 νων: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐνέρ-
book 898.3 τατος, οὐ δεῖ δέ· ἡ γὰρ σύγκρισίς ἐστι πρὸς Τιτᾶνας ἀνο-
book 898.4 μοιογενεῖς καὶ ἐν ἑνὶ κατηγμένους τόπῳ· τούτων οὖν ἐνέρ-
book 898.5 τερος ὁ μὴ κατὰ γένος ὢν ἐξ αὐτῶν. A. Ar. 191 et Add.
book 899.1 ὣς φάτο, καὶ Παιήον’ ἀνώγειν ἰήσασθαι: ἡ
book 899.2 διπλῆ, ὅτι ἰατρὸν τῶν θεῶν ἕτερον παρὰ τὸν Ἀπόλλωνα
book 899.3 παραδίδωσι τοῦτον. A. Ar. 181.
book 905.1 τὸν δ’ Ἥβη λοῦσεν: ἡ διπλῆ, ὅτι παρθενικὸν τὸ
book 905.2 λούειν. οὐκ οἶδεν ἄρα ὑφ’ Ἡρακλέους αὐτὴν γεγαμημένην,
book 905.3 ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ (λ 600). A. Ar. 186.
book 906.1 πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων:
book 906.2 ἡ διπλῆ σὺν ἀστερίσκῳ [περιεστιγμένῳ], ὅτι οὐ δεόντως ἐκ
book 906.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ περὶ Βριάρεω λόγου (Α 405) ἐνθάδε μετάκειται ὁ στίχος·
book 906.4 οὐ γὰρ καὶ (τι?) κύδους ἄξιον πέπρακται αὐτῷ· καὶ ὅτι ἄτο-
book 906.5 πον ἐπὶ τῷ κύδει γαυριᾶν τὸν ὑπὸ θνητοῦ ἡττημένον. A.
book h2-4.1 πολλὰ δ’ ἄρ’ ἔνθα καὶ ἔνθ’ ἴθυσε μάχη πεδίοιο
book h2-4.2 ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
book h2-4.3 μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.
book 2 ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, ἵν’ ᾖ διὰ πεδίου. A.
book 2 Cf. p. 26.
book 3.1 ἀλλήλων ἰθυνομένων: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἐπ’
book 3.2 ἀλλήλους ἰθυνόντων, (cf. p. 2 sq.) καὶ παρεῖται ἡ ἐπί πρό-
book 3.3 θεσις. A. Cf. p. 24.
book 4.1 ἡ διπλῆ, ὅτι ἐν τοῖς ἀρχαίοις (puto ταῖς Ἀρισταρχεί-
book 4.2 οις L.) ἐγέγραπτο μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ
book 4.3 στομαλίμνης· διὸ καὶ ἐν τοῖς ὑπομνήμασι φέρεται· [καὶ]
book 4.4 ὕστερον δὲ περιπεσὼν ἔγραψε μεσσηγὺς Σιμόεντος ἰδὲ
book 4.5.1 Ξάνθοιο ῥοάων. τοῖς γὰρ τοῦ ναυστάθμου τόποις ἡ γραφὴ
book 4.5.2 συμφέρει, πρὸς οὓς μάχονται („sc. hi versus illa lectione re-
book 4.5.3 tenta.“ Ar. 231. cf. p. 376). A.
book 6.1 φόως δ’ ἑτάροισιν ἔθηκεν: φόως esse salutem: Φ 538.
book 6.2 Ar. 364.
book 9 τόν ῥ’ ἔβαλε πρῶτος: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἔπαισε. A.
book 15.1 πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι οἴκια ναίων: ἡ
book 15.2 διπλῆ, ὅτι ἀντὶ τοῦ ἐξένιζεν (Ar. 150). ἡ δὲ ἐπί ἀντὶ τῆς
book 15.3 παρά, ὡς τὸ ἐπὶ λιμένι οἰκῶν (qu. ep. 87). A.
book h17-9.1 ἀλλ’ ἄμφω θυμὸν ἀπηύρα
book h17-9.2 αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ’
book h17-9.3 ἵππων
book h17-9.4 ἔσκεν ὑφηνίοχος:
book 17.1 ἡ διπλῆ πρὸς τὸ σχῆμα· ἀμφοτέρους τὴν ψυχὴν
book 17.2 ἀφείλετο ἀντὶ τοῦ ἀμφοτέρων· τὸ γὰρ ἄμφω ἢ ἀμφότεροι ἢ
book 17.3 ἀμφοτέρους σημαίνει. A. Cf. p. 21.
book 18.1 ἡ διπλῆ, ὅτι ὀνοματοθετικὸς (cod. ῶς; em. L.) ὁ
book 18.2 ποιητής· ἀπὸ γὰρ τοῦ καλεῖν ἐπὶ τὰ ξένια Καλήσιος. A.
book 19.1 ὑφηνίοχος: ἡ διπλῆ, ὅτι παρέλκει ἡ πρόθεσις ὡς
book 19.2 ἐν τῷ Ποσειδάωνος ὑποδμώς (δ 386). A. Ar. 115.
book h24-5.1 σκότιον δέ ἑ γείνατο μήτηρ·
book h24-5.2 ποιμαίνων δ’ ἐπ’ ὄεσσι μίγη φιλότητι καὶ εὐνῇ.
book 24.1 ἡ διπλῆ, ὅτι τοὺς μὴ ἐκ φανερᾶς συνουσίας λα-
book 24.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θραίας δὲ μίξεως γεγονότας σκοτίους καλεῖ, τοὺς δὲ αὐτοὺς
book 24.3 καὶ παρθενίους (Π 180). A. Ar. 136.
book 25.1 ἐπ’ ὄεσσι: ἀντὶ τοῦ παρ’ ὄεσσι, καὶ ὅτι ἐν τῷ τόπῳ
book 25.2 τῶν ὀίων λέγει. A. Cf. ad Δ 500.
book 34.1 ναῖε δὲ Σατνιόεντος ἐυῤῥείταο παρ’ ὄχθας: ἡ
book 34.2 διπλῆ, ὅτι Ζηνόδοτος γράφει ὃς ναῖε Σατνιόεντος, ὁ
book 34.3 Ἔλατος. κακόφωνον δὲ γίνεται. A. Cf. ad N 172. L.
book 38.1 ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο: ἡ διπλῆ, ὅτι
book 38.2 ἐλλείπει ἡ διά (Cf. p. 26), καὶ ἵππω δϋικῶς ὡς ἐπὶ ξυνωρίδος
book 38.3 ἔφη (Ar. 136). A.
book 40.1 ἐν πρώτῳ ῥυμῷ: ἡ διπλῆ, ὅτι πρώτῳ ἀντὶ τοῦ
book 40.2 ἄκρῳ, καὶ ὅτι εἷς ῥυμός. A. Ar. 149.
book 41.1 φοβέοντο: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἔφευγον· ἐπὶ
book 41.2 τούτου γὰρ ἀεὶ τὴν λέξιν τίθησιν (Ar. 89). A.
book 43.1 πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα: ἡ διπλῆ, ὅτι
book 43.2 ἐξηγήσατο τί ἐστι τὸ πρηνής, ὡς μῆλ’, ὀϊές τε καὶ αἶγες.
book 43.3 (ι 184). A.
book 50.1 πεπύθοντο: ἡ διπλῆ πρὸς τὸν ἀναδιπλασιασμόν, ὡς
book 50.2 λελάχωσιν, ἀντὶ τοῦ πύθοντο. A. Cf. p. 11.
book h63-4.1 τὸν δὲ κρείων Ἀγαμέμνων
book h63-4.2 οὖτα κατὰ λαπάρην· ὁ δ’ ἀνετράπετ’, Ἀτρεί-
book h63-4.3 δης δὲ—
book 64 ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν. A. Cf. ad E 734.
book 77.1 πόνος ὔμμι μάλιστα: ὅτι τὸ κατὰ τὸν πόλεμον
book 77.2 ἔργον πόνον εἴρηκε πάλιν. A. Ar. 87.
book h87 ἡ δὲ ξυνάγουσα γεραίας
book h89 οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο.
book 87.1 ξυνάγουσα: ἡ διπλῆ, ὅτι ὁ χρόνος ἐνήλλακται,
book 87.2 ἀντὶ τοῦ συναγαγοῦσα (cf. p. 4). A.
book 92.1 θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο·
book 92.2 ἐπί: ἡ διπλῆ, ὅτι ἀντὶ τῆς παρά, ἵν’ ᾖ παρὰ γούνασιν·
book 92.3 ὀρθὰ γὰρ τὰ Παλλάδια κατεσκεύασται. καὶ ἔστιν ὅμοιον
book 92.4 τῷ ἡ μὲν ἐπ’ ἐσχάρῃ (ζ 52) ἀντὶ τοῦ παρ’ ἐσχάρῃ. A.
book 92.5 qu. ep. 91.
book 96 Ἰλίου ἱρῆς: ἡ διπλῆ, ὅτι θηλυκῶς τῆς Ἰλίου. A.
book 112.1 ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούρι-
book 112.2 δὸς ἀλκῆς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει
book 112.3 ἀνέρες ἔστε θοοί, καὶ ἀμύνετον ἄστεϊ λώβην. συγ-
book 112.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χεῖται δὲ τὸ δυικὸν πρὸς πολλοὺς λεγόμενον. A. Cf. p. 15.

ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν: ἡ διπλῆ, ὅτι περιφερεῖς καὶ ἀνδρομήκεις αἱ ἀσπίδες ἕως σφυρῶν καὶ αὐχένος καλύπτουσαι. A. Ar. 194.

Γλαῦκος δ’ Ἱππολόχοιο πάις καὶ Τυδέος υἱός—: ἡ διπλῆ ὅτι μετατιθέασί τινες ἀλλαχόσε ταύτην τὴν σύστασιν. A.

(Diomedes ad Glaucum) εἰ δέ τις ἀθανάτων γε κατ’ οὐρανοῦ εἰλήλουθας: ἡ διπλῆ, ὅτι οὐ καθόλου τὴν ἀχλὺν ἀφῃρέθη πρὸς τῆς Ἀθηνᾶς (Bekk. θεοῦ, v. Pluygers. p. 11). A. Cf. E 127. Ad hunc versum rectius adscribetur hoc scholium (quod fecit Vill.), quam ad 123 (Bekk.). V. Pluygers. p. 11.

οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος
δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν,
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ’ ἠγάθεον Νυσήιον.

Λυκόοργος: ὁμώνυμος οὗτος ὁ Λυκοῦργος ἐκείνῳ τὸν Λυκοῦργος ἔπεφνεν (H 142) καὶ ὁ Δρύας δὲ τῷ Λαπίθῃ (A 263). A.

σημειοῦνταί τινες, ὅτι ὡς περὶ θεοῦ τοῦ Διονύσου διαλέγεται. A. „scholium nec integrum fortasse et an Aristonici sit, non caret dubio.“ Ar. 183 sq.

ἡ διπλῆ, ὅτι μαινομένοιο ἤτοι μανιοποιοῦ, βακχείας παρασκευαστικοῦ· ἢ αὐτοῦ μαινομένου, ἐνθουσιαστοῦ ἢ βακχευτοῦ. A. Ar. 183.

Διώνυσος δὲ φοβηθείς δύσεθ’ ἁλὸς κατὰ κῦμα: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χολωθείς, καὶ ὅτι περισσὸς ὁ δέ. A.? An legit αἱ δ’ ὅτε πᾶσαι (v. 133) vel tale quid? Cf. p. 33. Fortasse tamen haec altera pars scholii non ad hunc versum pertinet, sed ad v. 146, ubi v.

οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν τοίη δέ· ἡ διπλῆ, ὅτι—Sequuntur Herodianea. Aristonici fuerat: ὅτι περισσὸς ὁ δέ. Ceterum potest fieri, ut talia ab epitomatore nonnumquam prudenti in unum contracta sint. L.

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο: ἡ διπλῆ, ὅτι Ἐφύρην τὴν Κόρινθον ἐξ ἡρωικοῦ προσώπου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶπεν. ἔστι δὲ καί τις Θεσπρωτίας Ἔφυρα πόλις (Ar. 236 sq.).
book 152.4 Ἄργος δὲ ἱππόβοτον τὴν Πελοπόννησον καλεῖ, τὴν δὲ Θετ-
book 152.5 ταλίαν Ἄργος Πελασγικόν (Ar. 232). A.
book 153.1 ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ᾽ ἀνδρῶν
book 153.2 Σίσυφος Αἰολίδης: ἡ διπλῆ, ὅτι τὸν συνετὸν καὶ
book 153.3 κερδαλέον κέρδιστον λέγει. οἱ δὲ νεώτεροι τὸν φιλοκερδῆ
book 153.4 ἐξεδέξαντο A. Ar. 123, 157.
book 154.1 ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος· καὶ
book 154.2 ὅτι ἐν Ἰλιάδι συνεχῶς ταῖς ἐπαναλήψεσι κέχρηται, ἐν δὲ
book 154.3 Ὀδυσσείᾳ ἅπαξ κατ᾽ ἀρχάς Αἰθίοπες τοὶ διχθά (α 23). A.
book 160.1 τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δι᾽ Ἄντεια:
book 160.2 ἡ διπλῆ, ὅτι Ὅμηρος Ἄντειαν, οἱ δὲ νεώτεροι Σθενέβοιαν
book 160.3 (Ar. 181). καὶ ὅτι ἀκαίρως τὸ δῖα· μάχεται γὰρ ἡ μάχλος.
book 160.4 A. Cf. ad Γ 352.
book h169-70.1 γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
book h169-70.2 δεῖξαι δ᾽ ἠνώγειν ᾧ πενθερῷ, ὄφρ᾽ ἀπόλοιτο.
book 169.1 ἡ διπλῆ, ὅτι ἔμφασίς ἐστι (Ar. 74) τοῦ τῆς λέξεως
book 169.2 γράμμασι χρῆσθαι· οὐ δεῖ δὲ τοῦτο δέξασθαι, ἀλλ᾽ ἔστι
book 169.3 γράψαι τὸ ξέσαι. οἷον οὖν ἐγχαράξας εἴδωλα, δι᾽ ὧν ἔδει
book 169.4 γνῶναι τὸν πενθερὸν τοῦ Προίτου. A. Ar. 103. Scripsi τοῦ
book 169.5 τῆς λέξεως pro τοῖς τ. λ. cf. ad H 187.
book 170.1 ᾧ πενθερῷ: ἡ διπλῆ, ὅτι τοῦτον οἱ νεώτεροι Ἰο-
book 170.2 βάτην φασίν. A. Ar. 181.
book h174-6.1 ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.
book h174-6.2 ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος ἠώς,
book h174-6.3 καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ἰδέσθαι.
book 174 ἡ διπλῆ, ὅτι ἐπίφορός ἐστι πρὸς τὸν ἐννέα ἀριθμόν. A.
book 176.1 ἡ διπλῆ, ὅτι ἔθος ἦν παρὰ τοῖς παλαιοῖς ξενίζειν
book 176.2 πρότερον, εἶτα πυνθάνεσθαι, τίνος ἕνεκεν παραγεγόνασιν
book 176.3 οἱ ξένοι. A.
book 176.4 ἡ διπλῆ, ὅτι σημεῖα λέγει, οὐ γράμματα· εἴδωλα ἄρα
book 176.5 ἐνέγραψεν. A.
book 181.1 (Chimaera) πρόσθε λέων, ὄπιθεν δὲ δράκων,
book 181.2 μέσση δὲ Χίμαιρα: ἡ διπλῆ, ὅτι ἓν σῶμα ἡ Χίμαιρα. A.
book 183.1 καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθή-
book 183.2 σας: ἡ διπλῆ, ὅτι οὐδὲν περὶ τῆς κατὰ τὸν Πήγασον ἱστο-
book 183.3 ρίας ἐμφαίνει. A. Ar. 182.
book 189.1 τοὶ δ᾽ οὔτι πάλιν οἶκον δὲ νέοντο: ἡ διπλῆ
book 189.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὸ πάλιν, ὅτι οὐ χρονικῶς. A. Ar. 100.
book 191.1 ἀλλ’ ὅτε δὴ γίγνωσκε θεοῦ γόνον: ἡ διπλῆ, ὅτι
book 191.2 ἐκ τῶν πραττομένων τοῦτο συνέβαλεν. εἰ δὲ προσέκειτο καὶ
book 191.3 ὁ Πήγασος, πολὺ πλέον αὐτοῦ τὴν δόξαν ἐπιστώσατο (183).
book 191.4 A. Ar. 182.
book 194.1 τέμενος τάμον: ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὸ
book 194.2 τέμενος ἀπὸ τοῦ τεμεῖν καὶ ἀφορίσαι. A. Ar. 153.
book 197.1 Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
book 197.2 Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
book 197.3 ἡ δ’ ἔτεκ’ ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.
book 198.1 Λαοδαμείῃ μέν: ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτε-
book 198.2 ρον πρότερον ἀπήντηκεν. A. Ar. 13.
book 199.1 ἡ διπλῆ, ὅτι καθ’ Ὅμηρον Σαρπηδὼν υἱὸς Εὐ-
book 199.2 ρώπης οὐκ ἔστιν, οὐδ’ ἀδελφὸς Μίνωος, ὡς οἱ νεώτεροι· καὶ
book 199.3 γὰρ οἱ χρόνοι εὔδηλοι. A.
book 201.1 ἤτοι ὁ κὰπ πεδίον Ἀλήιον οἶος ἀλᾶτο: ἡ
book 201.2 διπλῆ, ὅτι παρετυμολογεῖ τὸ Ἀλήιον ἀπὸ τῆς γενομένης
book 201.3 ἐν αὐτῷ τοῦ Βελλεροφόντου πλάνης. A.
book 210.1 ἔν τ’ Ἐφύρῃ ἐγένοντο: ἡ διπλῆ, ὅτι οἱ μὲν
book 210.2 ἥρωες Ἔφυραν παράγονται λέγοντες, αὐτὸς δὲ Κόρινθον
book 210.3 λέγει τὴν πόλιν. A. Ar. 237.
book 216-20.1 Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην—
book 216-20.2 Οἰνεὺς μὲν—Βελλεροφόντης δέ—: σημειοῦν-
book 216-20.3 ταί τινες, ὅτι πρὸς τὸ πρῶτον ἀπήντηκεν. A. Ar. 13.
book 236.1 ἑκατόμβοια: ἑκατὸν βοῶν ἄξια· οὐ γὰρ νομί-
book 236.2 σμασιν ἐχρῶντο (cf. ad H 473): ὅθεν καὶ ἀλφεσίβοιαι. AD.
book 236.3 Haec breviter adjecta (de ἀλφεσίβοιαι) ne falso intelligas, v.
book 236.4 Apoll. lex. s. v. p. 23 et infra ad Λ 244. L.
book 237.1 Ἕκτωρ δ’ ὡς Σκαιάς τε πύλας καὶ φηγὸν
book 237.2 ἵκανεν: ἡ διπλῆ, ὅτι τὰς Σκαιὰς ὀνοματικῶς Δαρδανίας
book 237.3 λέγει. A. E 789.
book 239.1 εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ἔτας
book 239.2 τε: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ἀντὶ τοῦ περὶ παίδων καὶ κα-
book 239.3 σιγνήτων ἐρωτῶσαι. A. Cf. p. 25.
book 240.1 ὁ δ’ ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει
book 240.2 πάσας ἑξείης: ἡ διπλῆ, ὅτι ἕν τισι γράφεται πᾶσι
book 240.3 μάλ’ ἑξείης, κατὰ τὸ ἑξῆς λέγων (sc. Hector vel Homerus)
book 240.4 τοῖς θεοῖς εὔχεσθαι, ἀλλὰ μὴ κατὰ τὸ τυχόν. A.
book 248.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέγεοι θάλαμοι: ἡ διπλῆ, ὅτι ὑπερῷοι ἦσαν,
book 248.2 διὸ τέγεοι, ἵνα μὴ διοδεύωνται. ἐπιμελῶς δὲ Ὅμηρος καὶ
book 248.3 διὰ τῆς Ἰλιάδος καὶ διὰ τῆς Ὀδυσσείας τοὺς γυναικείους
book 248.4 θαλάμους ὑπερῴους συνίστησιν. A. Pro διοδεύωνται L. conj.
book 248.5.1 διοπτεύωνται. Eustath. 640: ἵνα μὴ [ὑπὸ] διοδευομένων
book 248.5.2 κατοπτεύωνται αἱ γυναῖκες. Ariston. ad Π 184: ἵνα μὴ εὐ-
book 248.5.3 δίοπτοι ὦσιν.
book 252.1 Λαοδίκην ἐς ἄγουσα: ὅτι πρὸς Λαοδίκην πο-
book 252.2 ρευομένη. εἰς Ἀγαμέμνονα (Η 312—Cf. qu. ep. 88). A.
book 252.3 Et quia nunc hanc pulcherrimam Priami filiarum dicit, alibi Cas-
book 252.4 sandram: v. ad N 365. Ar. 363.
book 257.1 ἄκρης πόλιος: ὅτι διαλελυμένως ἄκραν πόλιν
book 257.2 εἶπε τὴν ἀκρόπολιν. A. Cf. ad 317.
book 260.1 ἔπειτα δέ κ’ αὐτὸς ὀνήσεαι: ὅτι τὸ πλῆρές
book 260.2 ἐστι κέ αὐτός. Ὁμηρικὸν δὲ τὸν κέ περιττὸν εἶναι. A. Κέ bis
book 260.3 scripsi pro καί: cf. ad Υ 311 et Harl. (Cram.) γ 255. L. Cf. p. 8.
book 262.1 ὡς τύνη κέκμηκας: ἡ διπλῆ, ὅτι ἄκρως Δώριον
book 262.2 τὸ τύνη. A. Cf. Τ 10.
book 264.1 μή μοι οἶνον ἄειρε: [ἡ διπλῆ, ὅτι] ἀντὶ τοῦ
book 264.2 πρόσφερε, δίδου. A. Verba inclusa Pluygers. p. 7 ab editori-
book 264.3 bus addita dicit.
book 265.1 μή μ’ ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθω-
book 265.2 μαι: ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· ἡ γὰρ Ἑκάβη λέ-
book 265.3 γει μένος μέγα οἶνος ἀέξει (v. 261), ὁ δὲ Ἕκτωρ μή
book 265.4 μ’ ἀπογυιώσῃς. ἔστι δὲ διάφορα τὰ λέγοντα πρόσωπα,
book 265.5 καὶ ἑκάτερον πρός τι εἴρηται. A.
book 266.1 χερσὶ δ’ ἀνίπτοισιν: ἡ διπλῆ, ὅτι Ζηνόδοτος
book 266.2 γράφει ἀνίπτῃσιν (sic Pluygers p. 11). οὐκ ἔστι δὲ ἡ εὐ-
book 266.3 θεῖα ἀνίπτη (ibid.). A.
book 273 ἐπὶ γούνασιν esse παρὰ γούνασιν: cf. 303. L.
book 277 Ἰλίου ἱρῆς: ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 278.1 φόβοιο: ἡ διπλῆ, ὅτι πάλιν φόβον τὴν φυγήν. A.
book 278.2 Ar. 89.
book 284-5.1 εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ’ Ἄιδος εἴσω,
book 284-5.2 φαίην κε φρέν’ ἄτερ που οἰζύος ἐκλελαθέσθαι.
book 284-5.3 ἡ διπλῆ, ὅτι τὸ σημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι
book 284-5.4 τετελευτηκότα, δόξαιμι ἂν ἐκλελῆσθαι τῆς κακοπαθείας καὶ
book 284-5.5.1 χωρὶς αὐτῆς γεγονέναι (accuratius: δόξαιμι ἂν χωρὶς τῆς κ.
book 284-5.5.2

γενόμενος, ἐκλελῆσθαι αὐτῆς L.) ἔνιοι δὲ ἀγνοήσαντες γρά-
book 284-5.5.3 φουσιν ἀτέρπου. A.
book 289.1 ἔνθ’ ἔσαν οἱ πέπλοι παμποίκιλοι: ἡ διπλῆ,
book 289.2 ὅτι ἐγκεκλιμένως ἀναγνωστέον οὕτως δύο τόνοις, καίτοι πυῤ-
book 289.3 ῥιχιακῆς οὔσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οι ἀλλ’
book 289.4 ἀντωνυμία. A. qu. ep. 106.
book 291 ἤγαγε Σιδονίηθεν: ἡ διπλῆ, ὅτι ἀπὸ μιᾶς πό-
book 291 λεως τῆς Σιδόνος τὴν Φοινίκην σημαίνει. AB.
book 292.1 τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέ-
book 292.2 ρειαν: ἡ διπλῆ, ὅτι τὸν ἐκ Πελοποννήσου ἐπὶ Ἴλιον πλοῦν
book 292.3 ἀναγωγὴν λέγει. A. Cf. ad Γ 48, I 337.
book 303.1 ἐπὶ γούνασιν: ἡ διπλῆ, ὅτι πάλιν (273) παρὰ
book 303.2 γούνασιν. A.
book 311.1 ὣς ἔφατ’ εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη:
book 311.2 ἀθετεῖται, ὅτι πρὸς οὐδὲν τὸ ἐπιφώνημα καὶ οὐκ εἰθισμένον·
book 311.3 κατὰ μὲν γὰρ τὸ ἐναντίον ὁ Ζεὺς ἐπιβεβαιοῖ κατανεύων.
book 311.4 καὶ ἑξῆς δ’ ἐπιλεγομένου ὣς αἱ μέν ῥ’ εὔχοντο σαφῶς
book 311.5.1 γίνεται περισσὸς ὁ στίχος. γελοία δὲ καὶ ἡ ἀνανεύουσα
book 311.5.2 Ἀθηνᾶ. A.
book 317.1 πόλει ἄκρῃ: ἡ διπλῆ, ὅτι πάλιν (257) διῃρημένως
book 317.2 εἴρηκεν. A.
book 318-20.1 Hi versus non apti hoc loco, sed infra, contra ac
book 318-20.2 Zenodotus judicavit: Θ 493, ubi v. L.
book 325.1 τὸν δ’ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέ-
book 325.2 εσσιν. νείκεσσεν: ἡ διπλῆ ὅτι κυκλικῶς (cf. ad O 610) κα-
book 325.3 τακέχρηται· οὐδὲν γὰρ λέγεται ἐπιπληκτικόν. A. Et minus
book 325.4 etiam αἰσχρὰ ἔπη. Ut ubi eodem versu usus erat poeta Γ 38. L.
book 326.1 δαιμόνι’, οὐ μὲν καλὰ χόλον τόνδ’ ἔνθεο
book 326.2 θυμῷ: ἡ διπλῆ, ὅτι ἄπορον ποῖον χόλον. λύοιτο δ’ ἂν ἐξ
book 326.3 ὑποθέσεως. μήποτ’ οὖν ἀκούων τοὺς Τρῶας καταρᾶσθαι
book 326.4 αὐτῷ ἐχολοῦτο· ἀμείβεται γοῦν οὔτοι ἐγὼ τόσσον χόλῳ
book 326.5 οὐδὲ νεμέσσει (sic—335). A.
book 331.1 πυρὸς δηίοιο θέρηται: ἡ διπλῆ, ὅτι ἐλλείπει
book 331.2 ἡ ὑπό πρόθεσις, ὑπὸ πυρός. A. Cf. p. 27.
book h335-6.1 οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι
book h335-6.2 ἥμην ἐν θαλάμῳ.
book 335.1 ἡ διπλῆ, ὅτι σαφὲς γέγονε τὸ ἐν τοῖς ἐπάνω ἄδη-
book 335.2 λον διὰ τοῦ δαιμόνι’ οὐ μὲν καλὰ χόλον τόνδ’ ἔνθεο
book 335.3

θυμῷ (326). A.

book h337-8.1 νῦν δέ με παρειποῦσ’ ἄλοχος μαλακοῖς ἐπέεσσιν
book h337-8.2 ὥρμησ’ ἐς πόλεμον.
book 337.1 ἡ διπλῆ, ὅτι οὐ κατὰ τὸ ῥητὸν παραγήοχε τὴν
book 337.2 παραμυθίαν, δεῖ δὲ κατὰ τὸ σιωπώμενον νοῆσαι· διὸ καὶ
book 337.3 εὑρίσκεται περὶ τὰ ὅπλα ἀσχολούμενος. A.
book 360.1 μή με κάθιζ’ Ἑλένη, φιλέουσά περ· οὐδέ με
book 360.2 πείσεις: ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· οὐ γάρ με πείσεις. A.
book 360.3 Cf. p. 35.
book 370.1 δόμους εὖ ναιετάοντας: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ
book 370.2 εὖ ναιομένους. A. Cf. p. 3.
book 394.1 ἄλοχος πολύδωρος: πολλὰ ἕδνα παρὰ τοῦ ἀν-
book 394.2 δρὸς λαβοῦσα. A. Ar. 198.
book h395-6.1 Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
book h395-6.2 Ἠετίων, ὃς ἔναιεν—
book 396.1 ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν
book 396.2 Ἰλιάδι, καὶ τὸ τῶν πτώσεων ἀκατάλληλον. A. Cf. p. 19.
book 398.1 τοῦ περ δὴ θυγάτηρ ἔχεθ’ Ἕκτορι χαλκοκο-
book 398.2 ρυστῇ: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εἴχετο ὑφ’ Ἕκτορος. ἡ γὰρ
book 398.3 γυνὴ ἔχεται, ὁ δὲ ἀνὴρ ἔχει. A. Cf. p. 24.
book 400.1 παῖδ’ ἐπὶ κόλπῳ ἔχουσ’ ἀταλάφρονα: ἡ διπλῆ,
book 400.2 ὅτι κόλπον τὰς ἀγκάλας νῦν εἶπεν. εἴωθε δὲ καὶ τὸ ἄνω
book 400.3 τοῦ πέπλου οὕτως καλεῖν· κόλπον ἀνιεμένη (X 80). A.
book 400.4 Cf. Ξ 219, Ar. 152.
book 400.5 οὐδ’ ἐλεαίρεις
book 408.1 παῖδά τε νηπίαχον καὶ ἔμ’ ἄμμορον: ἡ διπλῆ, ὅτι
book 408.2 τινὲς γράφουσι καὶ ἐμὸν μόρον, οὐκ εὖ. A.
book h416-8.1 κατὰ δ’ ἔκτανεν Ἠετίωνα
book h416-8.2 οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυμῷ,
book h416-8.3 ἀλλ’ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν—
book 417.1 ἡ διπλῆ, ὅτι διδάσκει τί τὸ ἐξενάριξεν· ἐπιφέρει
book 417.2 γάρ ἀλλ’ ἄρα μιν κατέκηε σὺν ἔντεσιν. A. Ar. 148.
book h433-9.1 λαὸν δὲ στῆσον παρ’ ἐρινεόν, ἔνθα μάλιστα
book h433-9.2 ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο
book h433-9.3 τεῖχος.
book h433-9.4 τρὶς γὰρ κτλ. —439.
book 433.1 ἀθετοῦνται στίχοι ἑπτὰ ἕως τοῦ (439) ἤ νυ καὶ
book 433.2 αὐτῶν θυμός, ὅτι ἀνοίκειοι οἱ λόγοι τῇ Ἀνδρομάχῃ· ἀν-
book 433.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τιστρατηγεῖ γὰρ τῷ Ἕκτορι. καὶ ψεῦδος περιέχουσιν· οὐ γὰρ παρέδωκεν εὐεπίδρομον τὸ τεῖχος κατὰ τοῦτο τὸ μέρος, οὐδ’ οὕτως ἐστὶ πλησίον ἡ μάχη τοῦ τείχους. καὶ ὁ Ἕκτωρ (441) πρὸς τὰ πρότερα ἀπαντᾷ λέγων ἦ καὶ ἐμοὶ τάδε πάντα. A. περιέχουσιν pro παρέχ. L.

ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι: ὅτι πρὸς τὴν λέγουσαν ἀλλ’ ἄγε νῦν ἐλέαιρε καὶ μὴ παῖδ’ ὀρφανικὸν θήῃς (v. Did. ad 432) οἰκείως ἀπήντηκεν· ὁ δὲ διασκευαστὴς (Ar. 350) ἐπλανήθη. A.

ἔσσεται ἦμαρ, ὅτ’ ἄν ποτ’ ὀλώλῃ Ἴλιος ἱρή: ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A. Et propter ὀλώλῃ pro ὀλεῖται positum: cf. ad Δ 164, Θ 373 et p. 11.

καί κεν ὕδωρ φορέοις Μεσσηίδος ἢ Ὑπερείης: ἡ διπλῆ, ὅτι κατὰ τὸ προστυχὸν οὕτως εἰπόντος Ὁμήρου, οἱ νεώτεροι τῷ ὄντι ὑδροφοροῦσαν εἰσάγουσιν αὐτήν. A. Ar. 180.

καί ποτέ τις εἴπῃσιν ἰδὼν κατὰ δάκρυ χέουσαν: ἡ διπλῆ, ὅτι τὸ εἴπῃσιν ἀντὶ τοῦ εἴποι ἄν. ἡ δὲ ἀναφορὰ πρὸς Φιλητᾶν γράφοντα θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ’ ὑπαλύξει (Φ 126). οὗτος γὰρ μὴ νοήσας, ὅτι τὸ ὑπαΐξει ἐστὶ τὸ ἐφορμῆσαι ὑπὸ τὴν φρῖκα, τουτέστι τὸ τοῦ ὕδατος ἐπανάστημα, ὃς φάγοι ἂν Λυκάονος τοῦ δημοῦ, τὴν φρῖκα ἐδέξατο τὴν ὑπὸ τοῦ ψύχους γινομένην φρίκην, καί φησι τοὺς πιμελώδεις τῶν ἰχθύων ὑπομένειν τὸ ψῦχος, ὥστε ὃς ἂν τὸ τοῦ Λυκάονος λίπος φάγῃ (cod. φάγοι), ἐκκλίνει τὴν φρίκην. A. Cf. p. 9 et 10.

ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι: ἡ διπλῆ, ὅτι οὐ πᾶσα γῆ οὕτως λέγεται παρ’ αὐτῷ, ἀλλ’ ἡ τοῖς νεκροῖς ἐπιχεομένη. A. Ar. 109.

αὐτίκ’ ἀπὸ κρατὸς κόρυθ’ εἵλετο φαίδιμος Ἕκτωρ· σημειοῦνταί τινες τοῦτον διὰ τὸν τραγικὸν Ἀστυδάμαντα παράγειν τὸν Ἕκτορα λέγοντα· δέξαι κοινήν μοι πρὸς πόλεμον δὲ καὶ φοβηθῇ παῖς. A. „An forte δέξαι κυνῆν μοι πρόσπολε· πεφόβηθ’ ὁ παῖς?“ Bekkr. Alii (Wagner. fragm. tragicor. p. 86) etiam infelicius.

καί ποτέ τις εἴπῃσι ‘πατρός γ’ ὅδε πολλὸν ἀμείνων’ ἐκ πολέμου ἀνιόντα· ἤλλακται πτῶσις, ἀντὶ τοῦ ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολέμου ἀνιόντος. A. Hoc non debebam scholio Nicanoris
book 479.5 continuare, quod antecedit. Cf. p. 20.
book h490-3.1 ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ ς’ αὐτῆς ἔργα κόμιζε,
book h490-3.2 ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
book h490-3.3 ἔργον ἐποίχεσθαι. πόλεμος δ’ ἄνδρεσσι μελήσει
book h490-3.4 πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
book 490-3.1 τέσσαρσι στίχοις ἑξῆς ἀστερίσκοι παράκεινται,
book 490-3.2 ὅτι νῦν μὲν ὀρθῶς κεῖνται καὶ πρὸ τῆς μνηστηροφονίας
book 490-3.3 (φ 350), ἐν δὲ τῇ Α ῥαψῳδίᾳ τῆς Ὀδυσσείας (356—359)
book 490-3.4 οὐκέτι. A.
book h506 ὡς δ’ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ
book h507 δεσμὸν ἀποῤῥήξας θείῃ πεδίοιο κροαίνων—
book h510-1.1 —ὁ δ’ ἀγλαΐηφι πεποιθώς,
book h510-1.2 ῥίμφα ἑ γοῦνα φέρει μετά τ’ ἤθεα καὶ νομὸν
book h510-1.3 ἵππων.
book 506-11.1 καὶ τούτοις ὁμοίως ἀστερίσκοι παράκεινται,
book 506-11.2 ὅτι τὴν παραβολὴν ὅλην ἐπὶ Ἕκτορος βληθέντος λίθῳ ὑπ’
book 506-11.3 Αἴαντος μετήνεγκεν ἐντεῦθεν (Ο 263—268). A.
book 506.1 ἡ διπλῆ πρὸς τὸ ἀκοστήσας, ὅτι ἄλλοι ἄλλως
book 506.2 ἀπέδωκαν· ἔστι δὲ ἤτοι ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν,
book 506.3 ἢ ἄκος τι καὶ βοήθημα τῆς στάσεως ζητῶν. A.
book 507.1 πεδίοιο: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά (cf. p. 26)
book 507.2 καὶ τὸ κροαίνων οὐκ ἔστιν ἐπιθυμῶν, ὡς Ἀρχίλοχος ἐξέ-
book 507.3 λαβεν, ἀλλ’ ἐπικροτῶν τοῖς ποσὶ διὰ τοῦ πεδίου. A.
book 510.1 ὁ δ’ ἀγλαΐηφι πεποιθώς: ἡ διπλῆ πρὸς τὸ σχῆμα,
book 510.2 ὅτι ἀντὶ τοῦ τὸν δὲ ἀγλαΐηφι πεποιθότα. A. Cf. p. 19.
book 511.1 ῥίμφα ἑ γοῦνα φέρει: Ζηνόδοτος ῥίμφ’ ἑὰ
book 511.2 γοῦνα φέρει· Ποσειδώνιος δὲ ὁ ἀναγνωστὴς Ἀριστάρχου
book 511.3 ἄνευ διαιρέσεως τὸ ε ψιλῶς προφέρεται, παρέλκειν αὐτὸ λέ-
book 511.4 γων, ὡς ἐν τῷ ἠὲ σὺ τόνδε δέδεξο (Ε 228) καὶ λύεται τὸ
book 511.5.1 σολοικοφανές. ὁ δὲ Ὅμηρος ὑπὸ τῶν γονάτων καὶ ποδῶν
book 511.5.2 φέρεσθαι λέγει· τὸν μὲν ἄρ’ ὦς εἰπόντα πόδες φέρον
book 511.5.3 (Ο 405). A. Cf. ad 514 Ο 405 Ρ 700 Σ 148. —ἄνευ ante
book 511.5.4 διαιρέσεως, quod est apud Villois. excidit apud Bekk.
book 511.5.5 ἐβεβήκει
book 514.1 καγχαλόων, ταχέες δὲ πόδες φέρον: ἡ διπλῆ.
book 514.2 ὅτι ὑπὸ τῶν ποδῶν φέρεται, οὐκ αὐτὸς τοὺς πόδας φέρει,
book 514.3 πρὸς ἔλεγχον Ζηνοδότου (511). A.
book 5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεί κε κάμωσιν: ὅτι ἔν τισι γράφεται ἐπήν. ἐὰν
book 5.2 δὲ οὕτως ἔχῃ, προενεκτέον ὑφ' ἕν, κεκάμωσιν, ὡς λελά-
book 5 χωσιν. A. Cf. p. 11.
book 6.1 γυῖα λέλυνται: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὡς σπάρτα
book 6.2 λέλυνται (B 135). A. Cf. p. 15.
book h8-10.1 ἔνθ' ἑλέτην ὁ μὲν υἱὸν Ἀρηιθόοιο ἄνακτος,
book h8-10.2 Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης
book h8-10.3 γείνατ' Ἀρήϊθοος καὶ Φυλομέδουσα βοῶπις.
book 8.1 ἡ διπλῆ, ὅτι ἑλέτην συλληπτικῶς, ὕστερον δὲ προσδια-
book 8.2 σαφεῖ. καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκε· τὸν
book 8.3 γὰρ Ἀλέξανδρον δεύτερον κατείρηκεν (v. 2). A. δεύτερον
book 8.4 inserui.
book 9.1 Ἄρνῃ: ὅτι Ζηνόδοτος ἐν μὲν τῷ καταλόγῳ (B 507)
book 9.2 πεποίηκεν οἵ τε πολυστάφυλον Ἄσκρην ἔχον, ἐνθάδε
book 9.3 δὲ εἴασε τὴν Ἄρνην. διὸ ἡ διπλῆ. A. Ar. 234. Delenda
book 9.4 quae sequuntur: ἐν τῷ Ἄρνῃ.
book 10.1 ἡ διπλῆ, ὅτι οὗτος τοῦ Ἀρηιθόου ὁμώνυμός ἐστι
book 10.2 τοῦ ὑπὸ Νέστορος λεγομένου τεύχε' ἔχων ὤμοισιν Ἀρηι-
book 10.3 θόοιο ἄνακτος (137)· καὶ ὅτι ἐνθάδε μόνον ἐφ' ἡρωίνης
book 10.4 τὸ ἐπίθετον, καὶ ἐν τῷ ἀθετουμένῳ Αἴθρη Πιτθῆος θυ-
book 10.5 γάτηρ, Κλυμένη δὲ (sic) βοῶπις (Γ 144). A.
book 16.1 (βάλε—Δεξιάδην) ὦμον· ὁ δ' ἐξ ἵππων χαμάδις
book 16.2 πέσε, λύντο δὲ γυῖα.
book 16.3 Bekker. et Villois.: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ κατὰ τὸν ὦμον. A.
book 16.4 Pluygers. p. 10: Verba ἡ διπλῆ ὅτι ἀντὶ τοῦ delenda esse
book 16.5.1 dicit. Aristonici hoc non esse, ex ratione explicandi apparet:
book 16.5.2 nam is explicuisset: ὅτι γενικὴ ἀντὶ αἰτιατικῆς, Δεξιάδην ἀντὶ
book 16.5.3 τοῦ Δεξιάδου: cf. p. 20. Diple pertinere videtur ad λύντο δὲ
book 16.5.4 γυῖα: v. ad v. 6.
book 20 Ἴλιον εἰς ἱερήν: ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 22.1 ἀλλήλοισι δὲ τώ γε συναντέσθην παρὰ φηγῷ:
book 22.2 ἡ διπλῆ, ὅτι πρὸ τῶν πυλῶν τὴν φηγὸν ταύτην ὑποτίθε-
book 22.3 ται. A. Obscura sunt quae sequuntur, et fortasse ad Aristo-
book 22.4 nici scholium non pertinent: πρὸ πολλοῦ δὲ (? v. 21) ὁ Ἀπόλ-
book 22.5 λων ἐστὶν ἐπὶ τῆς Περγάμου. A. Ar. 231.
book 39.1 ἥν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος:
book 39.2 ἡ διπλῆ, ὅτι συνέσταλται διὰ τοῦ ε τὸ η. ἔστι γὰρ προκα-
book 39.3 λέσσηται (cf. p. 13): καὶ πρὸς τὸ σχῆμα μονόθεν μόνος ἀντὶ
book 39.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ μόνος πρὸς μόνον. A.
book 41 οἱ δέ κ’ ἀγασσόμενοι χαλκοκνήμιδες Ἀχαιοί
book 41.1 οἷον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ: ὅτι τὸ
book 41.2 ἀγάσσασθαι ποτὲ μὲν ἐπὶ τοῦ ἀποδέχεσθαι, ποτὲ δὲ ἐπὶ τοῦ
book 41.3 φθονεῖν τίθησι (Ar. 150). περιττεύει δὲ καὶ ὁ κέ (cod. καί)
book 41.5 σύνδεσμος. A. Cf. p. 13.
book 44.1 τῶν δ’ Ἕλενος Πριάμοιο φίλος παῖς σύνθετο
book 44.2 θυμῷ: ἡ διπλῆ, ὅτι μαντικῶς συνῆκεν, οὐκ ἀκούσας αὐ-
book 44.3 τῶν τῆς φωνῆς (v. ad 53). A.
book 53.1 ὣς γὰρ ἐγὼν ὄπ’ ἄκουσα θεῶν αἰειγενετάων:
book 53.2 ἀθετεῖται. διὰ τῆς μαντικῆς αὐτῶν συνῆκεν, ὡς εἴρηται (v.
book 53.3 ad 44). A.
book h63-4.1 οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρίξ
book h63-4.2 ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντον ὑπ’ αὐτῇ.
book 63 Excidit adnotatio de significatu vocabuli φρίξ. φ 126.
book 64.1 ἡ διπλῆ, ὅτι ἐὰν μὲν γράφηται πόντος ὑπ’ αὐτοῦ,
book 64.2 ἔσται μελαίνεται ὁ πόντος ὑπὸ τοῦ Ζεφύρου (cf. p. 3): ἐὰν
book 64.3 δὲ πόντον ὑπ’ αὐτῇ, ἔσται μελαίνει δὲ πόντον ὁ Ζέφυρος
book 64.4 ὑπὸ τῇ φρίκῃ. A.
book 75.1 (Hector loquitur): δεῦρ’ ἴτω ἐκ πάντων πρόμος
book 75.2 ἔμμεναι Ἕκτορι δίῳ: ἡ διπλῆ, ὅτι ἰδίως ὡς περὶ ἑτέρου
book 75.3 (cf. ad Θ 21 Η 447): καὶ ὅτι πρόμον τὸν πρόμαχον κατὰ
book 75.4 συγκοπήν (Ar. 109): καὶ ὅτι ἀκαίρως δῖον ἑαυτὸν ὁ Ἕκτωρ
book 75.5 (cf. ad Γ 352). A.
book 76.1 ἐπιμάρτυρος: ὅτι οὕτως λέγει ὁ μάρτυρος, ἀφ’
book 76.2 οὗ οἱ μάρτυροι· ἀπὸ δὲ τοῦ μάρτυς μάρτυρες. A. Cf. ad
book 76.3 Β 302 Γ 280 Χ 255.
book 79.1 ὄφρα πυρός με
book 79.2 Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα: ἡ
book 79.3 διπλῆ, ὅτι καθ’ ὅλου διὰ πυρὸς οἶδε γιγνομένας τὰς ταφάς.
book 79.4 A. Ar. 198.
book 80.1 λελάχωσι: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ λαχεῖν ποιήσω-
book 80.2 σιν. (Cf. ad Ε 37). ἀναδιπλασιασμὸς λελάχωσι (Cf. p. 11). A.
book 85.1 ὄφρα ἑ ταρχύσωσι καρηκομόωντες Ἀχαιοί
book 85.2 σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ: ἡ
book 85.3 διπλῆ, ὅτι οὐ κατεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας (Ar.
book 85.4 197). πλατεῖ δὲ καθ’ ὃ μέρος ἐστὶ πλατύς, καὶ ἀντὶ τοῦ
book 85.5 παρὰ πλατεῖ (qu. ep. 87). A.
book 102.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νίκης πείρατ’ ἔχονται: ἡ διπλῆ, ὅτι τῷ ἀπηρτισμένῳ (cf. p. 15) κέχρηται, νίκης πείρατ’ ἔχονται, οὐκ ἔχεται. A.

μηδ’ ἔθελε: ἡ διπλῆ, ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ τοῦ ε ἄρχεται. A.

ὅ πέρ σεο πολλὸν ἀμείνων: Ζηνόδοτος χωρὶς τοῦ ν ἀμείνω γράφει. A. V. Duentzer. p. 56.

τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί: ἡ διπλῆ, ὅτι πρόμον τὸν πρόμαχον κοινῶς (cf. ad 136) λέγει. A. sc. κοινῶς ἐπὶ πάντων, non ἐπὶ μόνων βασιλέων. L. Cf. Ar. 109.

ἦ κε μέγ’ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ὅς ποτέ μ’ εἰρόμενος μέγ’ ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει μέγα δ’ ἔστενεν, ἐξ οὗ φανερός ἐστιν ἀνεγνωκὼς μειρόμενος, οἷον στερόμενος. ὁ δὲ Ὅμηρος τὸ μείρεσθαι οὐκ ἐπὶ τοῦ στέρεσθαι τίθησιν, ἀλλ’ ἐπὶ τοῦ μερίζεσθαι· καὶ ἥμισυ μείρεο τιμῆς (I 616): δέον οὖν εἰρόμενος, ἐρωτῶν. προκρίνει δὲ ὁ Ἀρίσταρχος τὴν μέγ’ ἐγήθεεν (ita Vill. cod. μέγ’ γήθησεν Bekk.) γραφήν. (Haec extrema fortasse Didymi sunt). A. In Aristonici nota ad I 616, quae omnino conferenda est, scriptum pro Zenodotea lectione ὁππότε μειρόμενος, errore haud dubio. Zenodotus ad ὅς ποτε μειρόμενος ex οἰμώξειε supplevit ᾤμωξε et hoc voluit: nunc sane quereretur senex Peleus, qui olim expers factus s. exclusus (i. e. quod se expeditionis prae senectute expertem videbat), questus est eoque animum promtum ostentavit, multumque ingemuit, quum me referentem audiret tot tamque nobiles belli socios, a quorum communione scilicet factisque quae augurabatur fortibus se semotum videbat. Cogitavi quondam an scripserit: ὥς ποτε μειρόμενος, quod ad rationem minus durum. Sed etiamsi id plus momenti haberet, quam in Zenodoto habere videtur, tamen ad sententiam ejus minus aptum nec testimoniis commendatum. L.

ἡβῷμ’, ὡς ὅτ’ ἐπ’ ὠκυρόῳ κελάδοντι μάχοντο
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.

ὠκυρόῳ κελάδοντι: ἡ διπλῆ ὅτι ἰδίως τὰ ἐπίθετα προτάξας τὸ κύριον ἐπήγαγεν (135) Ἰαρδάνου ἀμφὶ

ῥέεθρα. A. Ar. 248 not.
book 135.1 Φειᾶς: ἡ διπλῆ, ὅτι ἐν Ὀδυσσείᾳ (Ο 296) πλη-
book 135.2 θυντικῶς ἡ δὲ Φεαῖς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ,
book 135.3 ὡς Μυκήνην καὶ Μυκήνας. A. Ar. 242.
book 136.1 τοῖσι δ’ Ἐρευθαλίων πρόμος ἵστατο: ἡ διπλῆ,
book 136.2 ὅτι τὸ πρόμος ἀντὶ τοῦ πρόμαχος κοινῶς. A. Ar. 109.
book 136.3 τεύχε’ ἔχων ὤμοισιν Ἀρηιθόοιο ἄνακτος,
book 138.1 δίου Ἀρηιθόου: ἡ διπλῆ, ὅτι πυκναὶ ἐν Ἰλιάδι
book 138.2 αἱ ἐπαναλήψεις, ἅπαξ δὲ ἐν Ὀδυσσείᾳ (α 23): καὶ ὅτι οὗτος
book 138.3 ὁ Ἀρηίθοος Ἀρκὰς ὢν ὁμώνυμός ἐστι τῷ Βοιωτῷ (v. ad v. 9). A.
book 144.1 ὑποφθάς: ὅτι ἀντὶ τοῦ ὑποφθάσας Ἰακῶς. A.
book 144.2 Cf. P 197 Φ 197.
book 146.1 τεύχεα τ’ ἐξενάριξε: ἡ διπλῆ, ὅτι κυρίως τὸ ἐξε-
book 146.2 νάριξε νῦν, τὰ ἔναρα περιεῖλεν. A. Ar. 148.
book h148-9 αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
book h148-9 δῶκε δ’ Ἐρευθαλίωνι φίλῳ θεράποντι φορῆναι.
book 148.1 ἐγήρα: ὅτι ἀντὶ τοῦ ἐγήρασε τὸν παρατατικὸν
book 148.2 ἔταξεν. A. Cf. p. 5 sq.
book 149.1 δῶκε δέ: ὅτι οὕτως εἴωθε φράζειν. καὶ ὅτι πε-
book 149.2 ριττὸς ὁ δέ. τινὲς δὲ γράφουσι δῶκεν Ἐρευθαλίωνι. A.
book 149.3 Cf. p. 33.
book 149.4 ἀλλ’ ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
book 153.1 θάρσεϊ ᾧ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος θάρσει ἐμῷ.
book 153.2 ἀδιανόητον δὲ γίνεται, ἡ ψυχή με ἀνέπεισε τῷ θάρσει τῷ
book 153.3 ἐμῷ. A.
book 156.1 πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ
book 156.2 ἔνθα: σημειοῦνταί τινες διὰ τὸ παρήορος, ὅτι παρηρτη-
book 156.3 μένος καὶ κεχυμένος. A. Ar. 149.
book 158.1 τῷ κε τάχ’ ἀντήσειε μάχης κορυθαίολος
book 158.2 Ἕκτωρ: ἤντησεν ἄν. V. Cf. p. 7.
book 161.1 ὣς νείκεσσ’ ὁ γέρων, οἱ δ’ ἐννέα πάντες
book 161.2 ἀνέσταν: ἡ διπλῆ πρὸς τὸ νείκεσσεν, ὅτι ἀντὶ τοῦ ἐπέ-
book 161.3 πληξεν, οὐδέποτε δὲ ἐπὶ τοῦ ἔκρινεν, ὡς ἐν τῷ ὃς νείκεσ-
book 161.4 σέν τε θεάς (sic—Ω 29). καὶ ὅτι παρέλκει συνήθως αὐτῷ
book 161.5 τὸ πάντες. AV. Cf. Σ 373 Ω 232.
book 171.1 κλήρῳ νῦν πεπάλασθε διαμπερές, ὅς κε λά-
book 171.2 χῃσιν: ὅτι τηρεῖ τὴν διαφορὰν τοῦ κληρώσασθαι καὶ λα-
book 171.3 χεῖν. καὶ πρὸς τὸ λάχῃσιν, ὅτι ὃς ἂν λάχοι. ἡ δὲ ἀναφορὰ
book 171.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὸ ἰχθὺς, ὅς κε φάγῃσι (Φ 127) πρὸς Φιλητᾶν. A.
book 171.5 Scripsimus ὃς ἂν λάχοι pro λάχῃ. Cf. p. 10.
book 175.1 ὣς ἔφαθ’, οἱ δὲ κλῆρον ἐσημήναντο ἕκαστος:
book 175.2 ἡ διπλῆ, ὅτι σημείοις χρῶνται, οὐ γράμμασιν. A. Ar. 104.
book 180.1 πολυχρύσοιο Μυκήνης: ἡ διπλῆ, ὅτι ἀλλαχοῦ
book 180.2 πληθυντικῶς Μυκήνας. A. Ar. 241.
book 182.1 ἐκ δ’ ἔθορε κλῆρος κυνέης: ἡ διπλῆ, ὅτι ἀνέ-
book 182.2 σειον τοὺς κλήρους, οὐκ ἐξηροῦντο, ὡς ἡμεῖς νῦν. A.
book 187.1 ὅς μιν (κλῆρον) ἐπιγράψας κυνέῃ βάλε, φαί-
book 187.2 διμος Αἴας: ἡ διπλῆ, ὅτι οὐ γράμμασι τῆς λέξεως, ἀλλ’
book 187.3 ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν
book 187.4 κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους οἷς ἐπεδείκνυτο ὁ κλῆ-
book 187.5 ρος A. Ar. 104.
book h194-9.1 τόφρ’ ὑμεῖς εὔχεσθε Διὶ Κρονίωνι ἄνακτι
book h194-9.2 σιγῇ ἐφ’ ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται,
book h194-9.3 ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης·
book h194-9.4 οὐ γάρ τίς με βίῃ γε ἑλὼν ἀέκοντα δίηται,
book h194-9.5.1 οὐδέ τι ἰδρείῃ, ἐπεὶ οὐδ’ ἐμὲ νήιδά γ’ οὕτως
book h194-9.5.2 ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.
book 195.1 ἕως τοῦ ἔλπομαι ἐν Σαλαμῖνι (199) στίχοι πέντε
book 195.2 ἀθετοῦνται, ὅτι οὐ κατὰ τὸν Αἴαντα οἱ λόγοι καὶ ἑαυτῷ
book 195.3 ἀνθυποφέρει γελοίως. A.
book 202.1 Ζεῦ πάτερ, Ἴδηθεν μεδέων: ἡ διπλῆ, ὅτι τὸ
book 202.2 θεν παρέλκει νῦν· ἔστι γὰρ ἀντὶ τοῦ Ἴδης. A. Cf. p. 27.
book 221.1 σκυτοτόμων ὄχ’ ἄριστος, Ὕλῃ ἔνι οἴκια ναίων:
book 221.2 ἡ διπλῆ, ὅτι ἐνταῦθα συνεσταλμένως, ἐν δὲ τῷ καταλόγῳ
book 221.3 (B 500) ἐκτεταμένως ἠδ’ Ὕλην καὶ Πετεῶνα (Ar. 241). A.
book 238.1 οἶδ’ ἐπὶ δεξιά, οἶδ’ ἐπ’ ἀριστερὰ νωμῆσαι βῶν
book 238.2 ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν: ἡ
book 238.3 διπλῆ, ὅτι τὴν ἀσπίδα ξηρὰν λέγει βῶν διὰ τὸ ἐκ βοείων
book 238.4 εἶναι δερμάτων (Ar. 194): καὶ ὅτι προτάξας θηλυκὸν οὐδέτε-
book 238.5.1 ρον ἐπήνεγκεν, τό μοί ἐστι πρὸς τὸ σημαινόμενον, ὡς νε-
book 238.5.2 φέλη δέ μιν, τὸ μὲν οὔ ποτε (μ 74—cf. p. 32). τὸ δὲ
book 238.5.3 ταλαύρινον παρῆκται, εὔτολμον· οὐ γὰρ ἡ ῥινὸς ἔγκει-
book 238.5.4 ται, ὡς ᾠήθησάν τινες. A. De his extremis v. ad E 289.
book h255-8.1 τὼ δ’ ἐκσπασσαμένω δολίχ’ ἔγχεα χερσὶν ἅμ’ ἄμφω
book h255-8.2 σύν ῥ’ ἔπεσον, λείουσιν ἐοικότες ὠμοφάγοισιν
book h255-8.3 ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
book h255-8.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πριαμίδης μὲν ἔπειτα—

ἡ διπλῆ ὅτι κυρίως ἔγχη τὰ δόρατα, οὐχ ὥς τινες τὰ ξίφη. λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσιν, ἃ προήκαντο (cf. 273). A. Ar. 55.

Didymus: τοὺς στίχους τούτους οὐ προσίενται ἔνιοι, ὥσπερ οὐδὲ Ζηνόδοτος, ἀλλὰ τὸ τῆς συνεπείας οὕτως ἔχει παρ’ αὐτῷ (scilicet: τὼ δ’ ἐκσπασσαμένω—Πριαμίδης μὲν ἔπειτα—L.). ὥσπερ καὶ ὁ Ἀριστόνικος ἐκτίθησιν, ἣν περιττὸν ἐνομίσαμεν γράψαι. A.

καί νύ κε δὴ ξιφέεσσ’ αὐτοσχεδὸν οὐτάζοντο· ἡ διπλῆ, ὅτι ἀρτίως ἐπὶ τὸ τοῖς ξίφεσι χρῆσθαι ἐληλύθασιν. ὅταν δὲ λέγῃ τὼ δ’ ἐκσπασσαμένω δολίχ’ ἔγχεα (255) τὰ δόρατα λέγει ἐκ τῶν ἀσπίδων ἀπεσπάσαντο (Ar. 55). A.

ὁ μὲν Τρώων ὁ δ’ Ἀχαιῶν χαλκοχιτώνων,

Ταλθύβιός τε καὶ Ἰδαῖος: ὅτι πρὸς τὸ δεύτερον πρῶτον· ὁ γὰρ Ταλθύβιός ἐστιν Ἀχαϊκός. A. Ar. 13.

(Idaeus loquitur) νὺξ δ’ ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι: ἡ διπλῆ (immo ὁ ἀστερίσκος, qui est in Ven.), ὅτι ἐντεῦθεν εἰς τὰ ἑξῆς (293) μετενήνεκται· ὁ μὲν γὰρ κῆρυξ αἰτίαν λέγει, δι’ ἣν οὐ πολεμητέον, ὁ δὲ Ἕκτωρ ἑαυτὸν μετὰ προφάσεως μὴ συλλυέτω. A.

(Hector loquitur—versus 282 iteratur): ἡ διπλῆ (immo ἀστερίσκος σὺν ὀβελῷ, qui sunt in Ven.), ὅτι ἀπὸ τοῦ λόγου τοῦ κήρυκος μετενήνεκται. A.

ὡς σύ τ’ ἐυφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,
σούς τε μάλιστα ἔτας καὶ ἑταίρους, οἵ τοι ἔασιν.

ἀθετεῖται ὡς καθαιρῶν τὰ προειρημένα ὡς σύ τ’ ἐυφρήνῃς πάντας. ἔχει δὲ καὶ διλογίαν ἔτας καὶ ἑταίρους. A.

(Troades) αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα: ἡ διπλῆ, ὅτι οὕτως τὴν ἄγυριν καὶ συναγωγὴν τῶν θεῶν, διὰ τὸ πολλῶν θεῶν ἐν ταὐτῷ εἶναι ἀγάλματα. A. Cf. Π 500, Ar. 152.

δῶκε ξίφος: σημειοῦνταί τινες, ὅτι ἀφώπλισεν ἑαυτὸν δοὺς τὸ ξίφος ὁ Ἕκτωρ. A.

Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.
τὼ δὲ διακρινθέντε ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν
ἤϊ’, ὁ δ’ ἐς Τρώων ὅμαδον κίε.

φοίνικι φαεινόν: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ φοι-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νικῷ ἄνθει πεφωτισμένον, ὅ ἐστι κεχρωτισμένον. A.
book 306.1 τὼ δὲ διακρινθέντε ὁ μέν: οὕτως εἴρηκεν ἀντὶ
book 306.2 τοῦ τῶν δὲ διακρινθέντων ὁ μέν, ὁ δέ (Cf. p. 19). καὶ ὅτι
book 306.3 πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν (Ar. 13). A.
book 312.1 εἰς Ἀγαμέμνονα δῖον ἄγον: ἡ διπλῆ, ὅτι ἀντὶ
book 312.2 τοῦ πρὸς Ἀγαμέμνονα. A. qu. ep. 87.
book 312.3 οἱ δ’ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
book 314 τοῖσι δὲ βοῦν ἱέρευσεν: ὅτι ὁ δέ περισσός. A. Cf. p. 33.
book 319.1 αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε
book 319.2 δαῖτα: ὅτι ἀντὶ τοῦ ἔργου. A. Ar. 87.
book 319.3 Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
book 328.1 πολλοὶ γὰρ τεθνᾶσιν: ἡ διπλῆ, ὅτι ἀπὸ τοῦ
book 328.2 γάρ αἰτιώδους εἰσέβαλεν ἀρχαϊκῶς. A.
book 330.1 ψυχαὶ δ’ Ἄιδόσδε κατῆλθον: ἡ διπλῆ, ὅτι
book 330.2 συμφώνως τῷ κατὰ τὴν ἀρχὴν τῆς Ἰλιάδος (Α 3) πολλὰς
book 330.3 δ’ ἰφθίμους ψυχάς. οὐκ ἄρα γραπτέον κεφαλάς. A.
book h333-7.1 ἀτὰρ κατακήομεν αὐτούς
book h333-7.2 τυτθὸν ἀποπρὸ νεῶν, ὥς κ’ ὀστέα παισὶν ἕκαστος
book h333-7.3 οἴκαδ’ ἄγῃ, ὅτ’ ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
book h333-7.4 τύμβον τ’ ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
book h333-7.5 ἄκριτον ἐκ πεδίου.
book 334-5.1 ἀθετοῦνται, ὅτι οὐ διὰ τοῦτο ἐκαίοντο, ὅπως
book 334-5.2 τὰ ὀστᾶ κομίσωνται, ἀλλὰ συνηθείᾳ· καὶ γὰρ οἱ ἐπὶ τῆς
book 334-5.3 ἰδίας τελευτῶντες ἐκαίοντο. καθόλου οὖν οἶδε πυρὶ καιομέ-
book 334-5.4 νους τοὺς πάλαι, καὶ ἐνταῦθα τιθεμένους ὅπου καὶ ἐτελεύ-
book 334-5.5.1 τησαν. ἐναντιοῦνται (potius οὗται) δὲ καὶ τὰ ἑξῆς τύμβον
book 334-5.5.2 τ’ ἀμφὶ πυρὴν—ἄκριτον ἐκ πεδίου ἀδιαχώριστον ἀδιά-
book 334-5.5.3 στατον, τουτέστι πολυάνδριον· πῶς οὖν ὥς κ’ ὀστέα παι-
book 334-5.5.4 σὶν ἕκαστος; A. Cf. Ar. 197.
book 336.1 τὸ ἐξαγαγόντες ὅμοιόν ἐστι τῷ Λαοδίκην ἐς
book 336.2 ἄγουσα (Z 252, ubi v.) ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ τὸ
book 336.3 ἐξαγαγόντες ἀντὶ τοῦ ἐξελθόντες τοῦ πεδίου. A.
book 339.1 ἐν δ’ αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας:
book 339.2 ἡ διπλῆ, ὅτι πληθυντικῶς, καὶ ὅτι μία ὑπόκειται πύλη ἐν
book 339.3 τῷ τείχει. A. Ar. 129.
book 345.1 ἐν πόλει ἄκρῃ: ἡ διπλῆ, ὅτι διαλελυμένως τῇ
book 345.2 ἀκροπόλει. A.
book 345.3 τῷ οὔ νύ τι κέρδιον ἦμιν
book 353

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ (vel ἵν’ ἂν μὴ)
book 353.1 ῥέξομεν ὧδε: ἀθετεῖται, ὅτι ἀγνοήσας τις, ὅτι ὑπακοῦσαι
book 353.2 δεῖ τῷ οὔ νύ τι κέρδιον ἧμιν τὸ ἔσται, ὡς ἐλλείποντος
book 353.3 τοῦ λόγου προσανεπλήρωσεν (Ar. 359) καὶ ὅτι τὸ ἵνα οὐχ
book 353.5.1 ὁμηρικῶς παρείληπται ἀντὶ τοῦ ἐάν. A.
book 353.5.2 κτήματα μὲν ὅς’ Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσίν
book 390.1 ἠγάγετο Τροίην δ’—ὡς πρὶν ὤφελλ’ ἀπολέ-
book 390.2 σθαι—: ἡ διπλῆ, ὅτι σαφῶς ὑπὸ τῶν Τρώων ἐμισεῖτο ὁ
book 390.3 Ἀλέξανδρος, πρὸς Ζηνόδοτον γράφοντα ἀλλὰ μᾶλλον (sic
book 390.4 pro μάλα) Τρῶες ἐλεήμονες (Γ 56). A.
book 392.1 κουριδίην δ’ ἄλοχον Μενελάου κυδαλίμοιο:
book 392.2 ἡ διπλῆ, ὅτι οὐ προγεγάμηται ἑτέρῳ κατ’ Ὅμηρον ἡ Ἑλένη.
book 392.3 A. Ar. 185.
book h403-4.1 οἱ δ’ ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
book h403-4.2 μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
book 404.1 ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετάκειται εἰς τὴν ἀπο-
book 404.2 πρέσβειαν (I 694). A. Bekkerus scripsit μετάκεινται et hoc
book 404.3 falso retulit ad v. 398. 399. —Ceterum quibusdam locis ver-
book 404.4 sus qui μετακεῖσθαι dicuntur, non ad amussim respondent,
book 404.5 sed παραπεποιημένοι inveniuntur, cf. e. g. K 158 Λ 179. L.
book 407.1 ’Ιδαῖ’, ἦτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις
book 407.2 ὥς τοι ὑποκρίνονται: ἡ διπλῆ, ὅτι πρόθεσις
book 407.3 ἐνήλλακται ἀντὶ τοῦ ἀποκρίνονται. A. qu. ep. 89.
book 413 Ἴλιον ἱρήν: ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 422.1 ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας
book 422.2 ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου Ὠκεανοῖο: ἡ διπλῆ
book 422.3 ὅτι αὐτὸς μὲν ἐξ Ὠκεανοῦ ἀνατέλλειν καὶ εἰς Ὠκεανόν φησι
book 422.4 καταδύεσθαι τὸν ἥλιον· ὁπόταν δὲ πρόσωπον ἡρωϊκὸν εἰσ-
book 422.5.1 άγῃ ὑπὲρ γῆς (cod. γῆν) καὶ ὑπὸ γῆν (cod. γῆς). τὸ αὐτὸ
book 422.5.2 δὲ ποιεῖ καὶ ἐν ’Οδυσσείᾳ. A. Ar. 177.
book 429.1 ἐν δὲ πυρὶ πρήσαντες ἔβαν ποτὶ Ἴλιον ἱρήν:
book 429.2 ἡ διπλῆ, ὅτι ἐκαίοντο οἱ νεκροί (Ar. 197), καὶ ὅτι θηλυκῶς
book 429.3 τὴν Ἴλιον. A.
book 433.1 ἀμφιλύκη νύξ: ἡ διπλῆ, ὅτι ἅπαξ μόνον ἐνταῦθα
book 433.2 τῇ λέξει κέχρηται. A.
book 435.1 τύμβον δ’ ἀμφ’ αὐτὴν ἕνα ποίεον ἐξαγαγόν-
book 435.2 τες: ἡ διπλῆ, ὅτι πολυάνδριον. πῶς οὖν ὥς κ’ ὀστέα παι-
book 435.3 σὶν ἕκαστος οἴκαδ’ ἄγῃ (334); A.
book h443-7

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
book h443-7.1 θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.
book h443-7.2 τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων.
book h443-7.3 „Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ’ ἀπείρονα
book h443-7.5.1 γαῖαν,
book h443-7.5.2 ὅς τις ἔτ’ ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει; κτλ. —
book h452-4.1 τοῦ δ’ ἐπιλήσονται (sc. τείχους), τὸ ἐγὼ καὶ Φοῖβος
book h452-4.2 Ἀπόλλων
book h452-4.3 ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντες.“
book h452-4.4 τὸν δὲ μέγ’ ὀχθήσας προσέφη νεφεληγερέτα
book h452-4.5 Ζεύς κτλ.
book h464 ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
book 443.1 ἕως τοῦ ὣς οἱ μὲν τοιαῦτα (464) ἀθετοῦνται
book 443.2 στίχοι κβʹ, ὅτι περὶ τῆς ἀναιρέσεως τοῦ τείχους λέγει πρὸ
book 443.3 τῆς τειχομαχίας (Μ 4), ὡς ἂν μὴ προειρηκὼς ἐνθάδε. A.
book 443.4 Et discrepant haec ab iis, quae dicit Neptunus de muro a se
book 443.5 et Apolline exstructo, Φ 446.
book 447.1 ἀθανάτοισι: ἡ διπλῆ, ὅτι ὡς καὶ αὐτὸς οὐκ ὢν
book 447.2 ἀθάνατος λέγει. καὶ ἐν ἄλλοις δὲ κέχρηται τῷ γένει (cf. ad
book 447.3 Η 75 Θ 22 Π 496). A.
book 453.1 ἥρῳ: ἡ διπλῆ, ὅτι δισυλλάβως καὶ ἐν Ὀδυσσείᾳ
book 453.2 ἥρῳ (θ 483). A.
book 465.1 δύσετο δ’ ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν:
book 465.2 σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ ἐδύετο. A. Cf. p. 6.
book 468.1 (naves e Lemno) τὰς προέηκεν Ἰησονίδης Εὔνηος,
book 468.2 τόν ῥ’ ἔτεχ’ Ὑψιπύλη ὑπ’ Ἰήσονι ποιμένι λαῶν:
book 468.3 ὅτι καὶ τὰ Ἀργοναυτικὰ οἶδεν. οἰκεία δὲ Εὐνήῳ ἡ ἐμπορία
book 468.4 καὶ πρὸς ὁμοφύλους γινομένη. V. —? —Cf. ad Φ 43.
book h472-5.1 ἔνθεν ἄρ’ οἰνίζοντο καρηκομόωντες Ἀχαιοί,
book h472-5.2 ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ’ αἴθωνι σιδήρῳ,
book h472-5.3 ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ’ αὐτῇσι βόεσσιν,
book h472-5.4 ἄλλοι δ’ ἀνδραπόδοισι· τίθεντο δὲ δαῖτα θάλειαν.
book 473.1 ἡ διπλῆ, ὅτι ἀμοιβαῖς ἐχρῶντο οἱ παλαιοί, καὶ οὐ
book 473.2 νομίσμασιν. A.
book 474.1 ἡ διπλῆ, ὅτι ῥινοῖς ταῖς βύρσαις, αὐταῖς δὲ βου-
book 474.2 σὶν ἀντὶ τοῦ ζώσαις. A.
book 475.1 ἀθετεῖται, ὅτι νεωτερικὴ ὀνομασία τοῦ ἀνδράπο-
book 475.2 δον· οὐδὲ γὰρ παρὰ τοῖς ἐπιβεβληκόσιν Ὁμήρῳ νοεῖται (immo
book 475.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεῖται). λυπεῖ δὲ καὶ τὸ ἄλλοι πλεονάζον. A. Eustath. 692, 21: ἡ δὲ τῶν ἀνδραπόδων λέξις νεωτερική ἔστι κατὰ τοὺς παλαιούς· διὸ καὶ Ἀριστοφάνης καὶ Ζηνόδοτος ἠθέτουν τὸ ἔπος, ἐν ᾧ κεῖται ἡ λέξις αὕτη. Certe Zenodotus, si omnino, non ob hanc causam. L.

κοιμήσαντ’ ἄρ’ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο: ὅτι διέστειλε τὸ κοιμηθῆναι καὶ τὸ ὑπνῶσαι. τοῦτο δὲ πρὸς τὸ ἐν Ὀδυσσείᾳ (υ 4) Εὐρυνόμη δ’ ἄρ’ ἐπὶ χλαῖναν βάλε κοιμηθέντι· ἐπιφέρει γὰρ κεῖτ’ ἐγρηγορῶν (Ar. 120). Ζηνόδοτος δὲ καὶ τοῦτον καὶ τὸν πρῶτον τῆς ἑξῆς ῥαψῳδίας ἦρκε στίχον (v. ad Θ 1). AB. Cod. εἴρηκε pro ἦρκε. Corr. Bekk.

ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ’ αἶαν: ὅτι Ζηνόδοτος μετατίθησι τὴν ἀνατολὴν κάτω πρὸς τὸ οἱ δ’ ἄρα δεῖπνον ἕλοντο (53), ὥστε τὴν τῶν θεῶν ἀγορὰν ὀψὲ γίνεσθαι ἀπρεπῶς. A.

ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἄκρᾳ (cf. p. 27), καὶ ὅτι λείπει ἡ ἐπὶ (p. 31), καὶ ὅτι τὰ ἐπίθετα ὡς ἐπὶ ὄρους (Ar. 168). A.

τόσσον ἔνερθ’ Ἀίδεω ὅσον οὐρανός ἐστ’ ἀπὸ γαίης: ἡ διπλῆ πρὸς τὴν καθ’ Ὅμηρον τοῦ κόσμου τάξιν. καὶ ὅτι οὐδὲν τοιοῦτον ἐπὶ τοῦ Ὀλύμπου λέγει (Ar. 176). καὶ ὅτι λείπει τὸ ὕπερθεν, ὅσον ἐστὶν ὕπερθεν. A.

σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες δ’ ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
ἀλλ’ οὐκ ἂν ἐρύσαιτ’ ἐξ οὐρανόθεν πεδίον δὲ
Ζῆν’ ὕπατον μήστωρ’, οὐδ’ εἰ μάλα πολλὰ κάμοιτε.
ἀλλ’ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλωμι ἐρύσσαι
αὐτῇ κεν γαίῃ ἐρύσαιμ’, αὐτῇ δὲ θαλάσσῃ.
σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ’ αὖτε μετήορα πάντα γένοιτο.
τόσσον ἐγὼ περί τ’ εἰμὶ θεῶν περί τ’ εἴμ’ ἀνθρώπων.

ἡ διπλῆ, ὅτι εἰ μὴ ἐκδεξώμεθα Ὄλυμπον τὸ ἐπὶ Μακεδονίας ὄρος, οὐ συμφωνήσει τῇ διαθέσει ταύτῃ· ἐπὶ γὰρ τοῦ οὐρανοῦ στάς φησι τὸν Ὄλυμπον ἀνέλκειν τῆς σειρᾶς ἐκ τοῦ ῥίου ἐκδεθείσης (Ar. 17 sq.). καὶ ὅτι ἡ ἐξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περισσή. (Cf. p. 27). A.
book 21.1 Ζῆν' ὕπατον μήστωρα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ
book 21.2 ἐμέ, ὡς περὶ ἄλλου (cf. ad H 75, 447). A.
book 25.1 ἔπειτα: ὅταν θελήσω ἐρύσαι φησίν. A. „sine dubio
book 25.2 Aristonici est.“ Lehrs. Ar. 172.
book 25.3 περὶ ῥίον Οὐλύμποιο: ἵνα αὐτὸ δεσμεύσας καὶ τὰ
book 25.4 λοιπὰ ἐπάρῃ, συνεῤῥιζωμένης αὐτῷ μὲν τῆς γῆς, τῇ δὲ γῇ
book 25.5.1 τῆς θαλάσσης. BL. „certa vestigia Aristarchearum observa-
book 25.5.2 tionum.“ ibid.
book 25.5.3 δείκνυσιν ὅτι βέβηκεν ὁ Ὄλυμπος καὶ οὐκ ἔστι μετέω-
book 25.5.4 ρος. V. „haec ipsa putaverim Aristonici verba esse.“ ibid.
book 25-6.1 ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν.
book 25-6.2 δι' αὐτῶν δὲ διδασκόμεθα, πῶς σπάσει τὴν γῆν σὺν τῇ θα-
book 25-6.3 λάσσῃ. A. πῶς σπάσει emend. Lehrs. Herod. 460 pro πᾶ-
book 25-6.4 σαν. —Versum puta ab initio simul diplen simplicem et diplen
book 25-6.5 punctis notatam habuisse. L.
book h28-9.1 ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο
book h28-9.2 σιωπῇ κτλ. —
book h37-40.1 ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο.
book h37-40.2 τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς
book h37-40.3 „θάρσει τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶ
book h37-40.4 πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.“
book 28.1 ἐντεῦθεν ἕως τοῦ πρόφρονι μυθέομαι (40) ἀθε-
book 28.2 τοῦνται στίχοι ιγ', ὅτι ἐξ ἄλλων τόπων μετάκεινται (32—
book 28.3 34 = 463—65, ubi v. 39, 40 = X 183, 184). καὶ ἐν τοῖς κατὰ
book 28.4 μέρος διαπίπτει, οὐκ ὀρθῶς χρώμενος ταῖς λέξεσιν, ὀδυσ-
book 28.5.1 σαμένοιο τεοῖο. τοῦτο γάρ ἐστι τοῦ σοῦ, θέλει δὲ ὁ λό-
book 28.5.2 γος ὀργισθέντος σοῦ, ἀσυνάρθρως. A. V. ad 37 (emend. a
book 28.5.3 Lehrsio Herod. 455): τεοῖο, τοῦ σοῦ οὐδετέρως, ὡς εἰ λέγοι,
book 28.5.4 ἐπεὶ τὰ σὰ οὕτως πρὸς αὐτοὺς ἔχει. τεοῦ. ἀθετοῦσιν (cod.
book 28.5.5 τε οὐ σθένουσιν). οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἐφέρετο (cod.
book 28.10 ὁ φέρων). τὸ (cod. τό τε) γὰρ τεοῖο συγχεῖ τὸν λόγον.
book 39-40.1 ἡ διπλῆ, ὅτι ὑπὸ Διὸς πάλιν λέγονται πρὸς
book 39-40.2 Ἀθηνᾶν πρὸ τῆς Ἕκτορος τελευτῆς (X 183): ἐναντιοῦνται
book 39-40.3 δὲ ἐνθάδε τοῖς ὑποκειμένοις. A.
book 43 χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ'
book 43.1 ἱμάσθλην: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ χρυσῆν πανοπλίαν. καὶ
book 43.2 ὅτι ἐνθάδε λεγομένου τοῦ Διὸς ἀνειληφέναι τὴν ἰδίαν πανο-
book 43.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλίαν οὐκέτι ἑξῆς (387) ἐγχωρεῖ τὴν αὐτὴν ταύτην πανο-
book 43.5.1 πλίαν ἀνειληφέναι τὴν Ἀθηνᾶν. καὶ ὅτι τὸ γέντο ἐκ τῶν
book 43.5.2 συμφραζομένων νοεῖται τεταγμένον ἀντὶ τοῦ ἔλαβεν. A.
book 46.1 μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος: ἡ
book 46.2 διπλῆ, ὅτι οὐδέποτε εἶπε μεσσηγὺς γαίης τε καὶ Ὀλύμπου
book 46.3 νιφόεντος, οὐδὲ τὸν Ὄλυμπον ἀστερόεντα· διαφέρει γὰρ
book 46.4 κατ' αὐτὸν ὁ Ὄλυμπος τοῦ οὐρανοῦ. A. Ar. 171.
book 47.1 Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
book 47.2 Γάργαρον: ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως,
book 47.3 ἀντὶ τοῦ τῆς Ἴδης εἰς Γάργαρον ἦλθεν· προτάξας γὰρ τὸ
book 47.4 γενικὸν, τὸ εἰδικὸν ἐπήνεγκεν. μέρη γὰρ τῆς Ἴδης ἄλλα τε
book 47.5 καὶ τὸ Γάργαρον. A. Cf. p. 20.
book 53.1 οἱ δ' ἄρα δεῖπνον ἕλοντο καρηκομόωντες
book 53.2 Ἀχαιοί: ἡ διπλῆ, ὅτι πρὸ τούτου τὴν ἀνατολὴν τίθησι
book 53.3 Ζηνόδοτος (v. ad. 1). τὸ δὲ συνεχὲς τοῦ λόγου οὕτως ἐστίν,
book 53.4 ἡμέρας ἐνστάσης ὁ μὲν Ζεὺς θεῶν ἀγορὰν ἐποιεῖτο, οἱ δὲ
book 53.5 Ἀχαιοὶ δεῖπνον εἵλοντο. A.
book 55.1 Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο,
book 55.2 παυρότεροι: ἡ διπλῆ, ὅτι ἐλάσσους ἀεὶ τοὺς Τρῶας σὺν
book 55.3 τοῖς ἐπικούροις λέγει. ἡ δὲ ἀναφορὰ πρὸς ἐκεῖνα τὰ ἀθε-
book 55.4 τούμενα πολλέων ἐκ πολίων ἐγχεσπάλοι ἄνδρες (B 131):
book 55.5 καὶ πρὸς Ζηνόδοτον γράφοντα (562) μυρία δ' ἐν πεδίῳ. A.
book 58.1 πᾶσαι δ' ὠίγνυντο πύλαι: ἡ διπλῆ, ὅτι μία ἐστὶν
book 58.2 ἱππήλατος πύλη, καὶ πληθυντικῶς εἶπε πύλαι. τὸ δὲ πᾶ-
book 58.3 σαι ἀντὶ τοῦ ὅλαι, ὡς θριξὶ δὲ πάντα νέκυν καταεί-
book 58.4 νυον (Ψ 135). AV. Ar. 139.
book 61.1 σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε'
book 61.2 ἀνδρῶν
book 61.3 χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
book 61.4 ἔπληντ' ἀλλήλῃσι: ἡ διπλῆ, ὅτι ταὐτὸν ἐξ ἐπαναλή-
book 61.5.1 ψεως εἶπεν· προειπὼν γὰρ ῥινούς, ἐπενήνοχεν ἀτὰρ ἀσπί-
book 61.5.2 δες ὀμφαλόεσσαι, ἐξ ἀμφοτέρων ταὐτὰ σημαίνων. A.
book 61.5.3 ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
book 65.1 ὀλλύντων καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα: ἡ
book 65.2 διπλῆ, ὅτι ἀντὶ τοῦ ἐῤῥεῖτο ἡ γῆ (p. 3), καὶ ὅτι πρὸς τὸ
book 65 δεύτερον πρότερον ἀπήντηκεν (Ar. 13). A.
book 66.1 ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ: ἡ
book 66.2 διπλῆ, ὅτι νῦν τὴν πρὸ μεσημβρίας ὥραν ἠῶ λέγει. A.
book 68.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει: ἡ διπλῆ, ὅτι οὐδέποτε ἐν Ὀλύμπῳ τὸν ἥλιον, ἀλλ' ἐν οὐρανῷ· οὐκ ἄρα ὁ αὐτὸς τῷ οὐρανῷ (Ar. 171). A.

καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο: μίαν ὑπὲρ ἑκατέρου στρατεύματος· καὶ ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχὰς ἐποίησε τὴν ψυχοστασίαν, ἐν ᾗ ἐστὶν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. A. Cf. ad 73sq.

αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν. ἀθετοῦνται, ὅτι ὑπὲρ ἑκάστου στρατεύματος κῆρα ζυγοστατεῖ ὁ Ζεύς, οὐ πλείους, ὡς ἐπὶ Ἀχιλλέως καὶ Ἕκτορος (X 210): ὁ δὲ διασκευαστὴς (Ar. 350) ἐξέλαβε πολλάς. εἰ δέ τις δύο ὑπὲρ ἑκατέρου ἵστασθαί φησι, ῥυόμενος τὴν σύγχυσιν τοῦ δυικοῦ σχήματος, ἄλογον· πρὸς τί γὰρ δύο, ἀλλ' οὐ μία; A.

ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ: ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· βέλος γάρ. A. Cf. p. 35.

(Hectoris equi) θρασὺν ἡνίοχον φορέοντες Ἕκτορα: ἡ διπλῆ, ὅτι τὸν παραιβάτην (cf. v. 121) Ἕκτορα ἡνίοχον εἶπεν. A. —Et. M. ἡνίοχος κυρίως ὁ τὰς ἡνίας ἔχων· εἴρηται δὲ καὶ ἐπὶ τοῦ παραβάτου. Idem docent scholl. BL. Z 19. Alia sine dubio Aristarchi sententia erat. Aut observaverat ex more suo, ἡνίοχος a propria significatione ejus qui frena teneat, hic καταχρηστικῶς transisse ad eum, qui temperet et imperet, quo ad hostes equi flectendi sint; neque idcirco tolli Homericam differentiam inter ἡνιόχους et παραβάτας (cf. ad Λ 104): aut ἡνίοχον Hectorem hic dictum esse non ad praesentem statum, sed κοινῶς, universali epitheto herois laudibus apto. (Aliam rationem de Hectore θρασεῖ ἡνιόχῳ habes in B ad Θ 185). L.

ὣς ἔφατ', οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς: ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πότερον οὐκ ἀντελάβετο καθόλου τῆς φωνῆς διὰ τὸν θόρυβον, ἢ ἀκούσας παρεπέμψατο· ὅπερ δέχεται ὁ Ἀρίσταρχος. A. Cf. ad 266, Herodian. ad 4. Ar. 150. Apollon. constr. 296, 9.

Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ, ὅτι ἐν ἴσῳ τῷ μόνος. A.
book h106-10.1 οἵ οἱ Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
book h106-10.2 κραιπνὰ μάλ’ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέ-
book h106-10.3 βεσθαι,
book h106-10.4 οὕς ποτ’ ἀπ’ Αἰνείαν ἑλόμην, μήστωρε φόβοιο.
book h106-10.5.1 τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι
book h106-10.5.2 Τρωσὶν ἐφ’ ἱπποδάμοις ἰθύνομεν.
book 106 ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά. A. Cf. p. 26.
book 107.1 ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ φεύγειν ἀεὶ τὸ φέβεσθαι
book 107.2 παρ’ αὐτῷ, καὶ ὅτι ἐντεῦθεν τὸ φόβον Ἄρηος φορεού-
book 107.3 σας (B 767). A.
book 108.1 ἀθετεῖται, ὅτι ἄτοπον προστιθέναι τὴν ἱστορίαν
book 108.2 τῷ εἰδότι, καὶ ὁ καιρὸς δεῖται συντομίας· καὶ ὅτι τὸ ποτέ
book 108.3 χρονικὴν ἔχει ἔμφασιν, τῆς ἀφαιρέσεως γεγονυίας τῇ πρὸ
book 108.4 ταύτης ἡμέρᾳ. A.
book 109.1 ἡ διπλῆ, ὅτι τετήρηται παρ’ αὐτῷ καθαρῶς τὰ
book 109.2 δυικά, καὶ νῦν ὡς ἐπὶ δύο ἵππων διαλέγεται. A.
book 114.1 Εὐρυμέδων: ἡ διπλῆ, ὅτι ὁμώνυμος οὗτος τῷ
book 114.2 Ἀγαμέμνονος ἡνιόχῳ (Δ 228). A.
book h124-5.1 Ἕκτορα δ’ αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο.
book h124-5.2 τὸν μὲν ἔπειτ’ εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου.
book 124.1 ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί (sc. περὶ ἡνιόχοιο,
book 124.2 cf. p. 26), καὶ ὅτι ἀντὶ τοῦ Ἕκτορος φρένας (cf. p. 20). A.
book 125 ὅτι καὶ ἐνθάδε λείπει ἡ περί (sc. ἑταίρου). A.
book 128.1 Ἰφιτίδην Ἀρχεπτόλεμον θρασύν, ὅν ῥα τόθ’
book 128.2 ἵππων
book 128.3 ὠκυπόδων ἐπέβησε: ἡ διπλῆ ὅτι Ζηνόδοτος ἐνταῦθα
book 128.4 μὲν γράφει Ἐρασιπτόλεμον, ἐν δὲ τοῖς μετὰ ταῦτα
book 128.5 (312) εἴασεν Ἀρχεπτόλεμον. A.
book h130-1.1 ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
book h130-1.2 καὶ νύ κε σήκασθεν κατὰ Ἴλιον ἠύτε ἄρνες.
book 130.1 ἡ διπλῆ, ὅτι κατὰ τοῦ οὐδετέρου τὸ πληθυντικόν,
book 130.2 ὡς σπάρτα λέλυνται (B 135). A. Cf. p. 15.
book 131 ὅτι τὸ σήκασθεν αὐτὸς ἐπεξηγεῖται εἰπών ἠύτε
book 131 ἄρνες. A.
book 139.1 Τυδείδη, ἄγε δ’ αὖτε φόβον δ’ ἔχε μώνυχας
book 139.2 ἵππους: ἡ διπλῆ, ὅτι πάλιν φόβον τὴν φυγήν (Ar. 89):
book 139.3 καὶ ὅτι Ζηνόδοτος γράφει ἄγε νῶι φόβον δέ, ὅ ἐστιν
book 139.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμεῖς ἢ ἡμᾶς, ὧν οὐδέτερον ἁρμόζει. A.

Τυδείδης ὑπ’ ἐμεῖο φοβεύμενος ἵκετο νῆας: ἡ διπλῆ, ὅτι σαφῶς φοβεύμενος ἀντὶ τοῦ φεύγων. A. Ar. 89.

τότε μοι χάνοι εὐρεῖα χθών: ὅτι οὐκ ἐν τῷ καθόλου εὐρεῖαν λέγει, ἀλλ’ ἐμοὶ εὐρεῖα ἡ γῆ γένοιτο, ἀντὶ τοῦ εὐρὺ χάσμα ποιήσειεν. A. Cf. p. 29.

ἔρρε κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω.

ἀθετοῦνται στίχοι τρεῖς, ὅτι εὐτελεῖς εἰσὶ τῇ κατασκευῇ, καὶ τὸ πάρος τοι δαίμονα δώσω τελείως ἐστὶν οὐ κατὰ τὸν ποιητήν· ἀνάρμοστα δὲ καὶ τὰ λεγόμενα τοῖς προσώποις. A.

ὣς φάτο, Τυδείδης δὲ διάνδιχα μερμήριξεν, ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι: ἡ διπλῆ, ὅτι ὑποτάσσουσιν ἢ μήτε στρέψαι μήτ’ ἀντίβιον μαχέσασθαι· οὐκ ἔστι δέ· τὸ γὰρ διάνδιχα οὐκ ἔστι δύο ἐμερίμνησεν ἐναντία, ἀλλ’ ἐπὶ τὸ αὐτὸ φερόμενα, στρέψαι τοὺς ἵππους καὶ μάχεσθαι. A. Cf. ad A 190 et proll. ad Nican. p. 115. Sed recte monuit Langius (Gött. Gel. Anz. 1851 p. 941 sq.), hos duos locos aliquantum inter se distare ac jure Aristarchum hunc (ἢ μήτε στρέψαι) omisisse, illum (A 192) notasse tantum.

μνημοσύνη τις ἔπειτα πυρὸς δηίοιο γενέσθω, ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς. Fortasse etiam hoc loco observaverat Aristarchus, Hectorem ut barbaros omnino in insolentem vaniloquentiam propensum fingi a poeta (cf. ad 535—37). Ejusmodi minas quas Trojani inter se jactarent, etiam in Graecorum notitiam venisse apparet ex Ξ 45, ubi v. Aristonicum.

ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
Ξάνθε τε καὶ σὺ Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε,
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον.

ἀθετεῖται (Bekk. et Vill. ἡ διπλῆ), ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου χρῆσιν παρεισάγει. μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυικά, καὶ ἡ προσφώνησις εὐήθης. A. Cf. ad

Eulogikon public reading copy · View original HTML at eulogikon.org

T 400 Ψ 295. Ar. 196.
book 186.1 ἡ διπλῆ, ὅτι ἐπὶ δυεῖν ἡ φράσις ἀλλ’ οὐκ ἐπὶ τεσ-
book 186.2 σάρων. A. Cf. p. 15.
book h188-9.1 ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
book h188-9.2 οἶνόν τ’ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι.
book 189.1 γελοιότατος ἐπὶ ἵππων ὁ στίχος (obelus est ad text.
book 189.2 Ven.), ὅτι οἶνον ἵπποι οὐ πίνουσι. καὶ ὅτε θυμὸς ἀνώ-
book 189.3 γοι εἰς μέθην γελοῖον. A. οἷον εἰς μέθην? L.
book 191.1 ἀλλ’ ἐφομαρτεῖτον καὶ σπεύδετον: ἡ διπλῆ,
book 191.2 ὅτι ὡς πρὸς δύο τοῖς δυικοῖς σχήμασι χρῆται· διὸ ἀθετητέον
book 191.3 τὸν προκείμενον στίχον (185), ἐν ᾧ τέσσαρά ἐστιν ὀνόματα.
book 191.4 A. Cf. p. 15.
book 193.1 (ἀσπίδα) πᾶσαν χρυσείην ἔμεναι: ἀντὶ τοῦ
book 193.2 ὅλην, ὡς πᾶσαι πύλαι ὅλη πύλη. V. Ar. 130.
book 199.1 μακρὸν Ὄλυμπον: ἡ διπλῆ, ὅτι μακρὸν Ὄλυμ-
book 199.2 πον ὡς ὄρος. A. Ar. 168.
book 199.3 εὐρύοπα Ζῆ-
book 207.1 ν’ αὐτοῦ. Adnotatio fuit de ultima littera vocis
book 207.2 Ζῆν’ in sequentem versum transferenda. V. ad Ω 331. Cf.
book 207.3 Nicanorem.
book 207bis.1 ν’ αὐτοῦ κ’ ἔνθ’ ἀκάχοιτο καθήμενος οἶος
book 207bis.2 ἐν Ἴδῃ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἀνάπαλιν αὐτοῦ κ’ ἔνθα
book 207bis.3 κάθοιτ’ ἀκαχήμενος. A. Cod. ἀνάπαλιν τοῦ κ, ἔνθα
book 207bis.4 κτλ. Em. L.
book 209.1 Ἥρη ἀπτοεπές, ποῖον τὸν μῦθον ἔειπες:
book 209.2 ἡ διπλῆ, ὅτι δασύνουσιν ἁπτοεπές, καθαπτομένη τοῖς ἔπε-
book 209.3 σιν. Ἀρίσταρχος δὲ ψιλοῖ. ἐμφατικώτερον δὲ τὸ ψιλοῦν.
book 209.4 καὶ ἴσως ἦν παρὰ τὸ πτοεῖσθαι, ἡ ἄγαν πτοοῦσα. ἢ παρὰ
book 209.5.1 τὸ ἁπτόν, τὸ ἰσχυρόν, ὥστε εἶναι δεινοεπές. A. Aristarcho
book 209.5.2 cui ἄαπτος fuit ἀπτόητος, putaverim hoc fuisse ἀπτόητε τοῖς
book 209.5.3 λόγοις vel ἔπεσιν. Inspice Apollon. Hesych. Suid. Si quis porro
book 209.5.4 meminerit ἀάπτους (ut certe Herodianus tradidit A 567) ex-
book 209.5.5 plicuisse eum τὰς δεινὰς καὶ ἀπτοήτους i. e. τὰς ἀπτοή-
book 209.10 τους, id quod transit in significationem δεινάς: item hic suspi-
book 209.1 cetur duplicem fuisse Aristarchi translationem, ἀπτόητε τοῖς
book 209.2 ἔπεσι, hinc significante vocabulo δεινοεπές. Ita ratiocinatus
book 209.3 possit firmamentum invenire in Et. M. 133, 43: ἀπτοεπές· τι-
book 209.4 νὲς δασύνουσι· καὶ Ἥρη ἁπτοεπής, ὡς καθαπτομένη τοῖς
book 209.15.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔπεσιν. ἐμφατικώτερον δὲ τὸ ψιλοῦν· ἄαπτον γάρ ἐστι τὸ δεινόν [i. e. jam enim Homerus ἄαπτος (quod est—ut ἀάσχετος cum α superfluo—ἄπτος, quod est per syncopen ex ἀπτόητος) pro δεινός] ὥστε εἶναι δεινοεπές. Quanto id melius rationique convenientius, quam: τὸ ἰσχυρόν, ὥστε εἶναι δεινοεπές. Unde vero hausit sua Etymologus, nisi ex hoc ipso scholio, quod adhuc incorruptius invenit? Aristonici sententiam certe ut satis sit scienti referens. Alii quem ab καὶ ἴσως audimus, vetus vocabulum δεινοεπές placuit, cetera nec intellexit satis et exquisitiora tentavit. Quod ad spiritum attinet in ἁπτόν, Zenodoti rationes ἀάπτους scribentis explicantisque ἰσχυράς, plane incompertas habemus. Ut hic, ἁπτόν ἰσχυρόν habemus apud Hesych. p. 112. Licebit conjicere auctorem nostrum, quia dictum videbat ἁπτοεπές significans καθαπτομένη minus emphaticum esse, ut asperum etiam spiritum explicaret ἐμφατικώτερον, incidisse in ἁπτόν τὸ ἰσχυρόν: quo ecce sibi visus est effecisse, ut cum spiritu ab Aristarcho rejecto ad ipsam Aristarchi explicationem evaderet. L.

τῶν δ’ ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν,
πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων.

ὅτι ἔν τισι γράφεται ἀπὸ τάφρου πύργος ἔεργεν. οὐ δύναται δὲ τὸ ἐκ νηῶν συναφὲς εἶναι τῷ ἀπὸ τάφρου· πρὸς γὰρ ταῖς ναυσὶ μᾶλλον ὁ πύργος ἢ ἡ τάφρος· καὶ ἔστι τὸ λεγόμενον, τὸ μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου πλῆρες ἦν ἵππων καὶ ἀνδρῶν. ἐκ νηῶν δὲ λέγει ἀπὸ τοῦ κατὰ τὰς ναῦς τόπου. σημειωτέον δὲ ὅτι μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου διάστημα ἀπελείπετο κατὰ τὴν τοποθεσίαν τῆς νεωλκίας. A. οὐ ante δύναται δὲ τὸ ἐκ νηῶν ins. L. —Cf. proll. ad Nicanor. p. 113.

(Agamemnon) πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ,
στῆ δ’ ἐπ’ Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ,
ἥ ῥ’ ἐν μεσσάτῳ ἔσκε, γεγωνέμεν ἀμφοτέρωσε.

πρὸς τὸ ἔχων ἐν χειρί, τί ποτε σημαίνει; ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί, ὁ δὲ Διονύσιος, πρὸς τὸ κατασείειν εὐθέτως λαβόμενος τοῦ φάρους. A. εὐθέτως scripsi pro εὐθέες. εὐθετοῦν est apud Aristonicum ad Λ 844. Harl. Cram. ad δ 134: σημειοῦνται τινές, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ εἰς νῆσιν (cod. νῆσον) εὔθετον μήρυμα ἐρίου νῆμα εἶπεν.

πρὸς τὴν τάξιν τῆς νεωλκίας ἡ παρατήρησις (Ar. 230), καὶ πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐστὶ φωνεῖν ἀλλ’ ἀκουστὸν φθέγγεσθαι (Ar. 107). A.

πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι,
ἅς, ὁπότ’ ἐν Λήμνῳ, κενεαυχέες ἠγοράασθε,
ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
πίνοντες κρητῆρας ἐυστεφέας οἴνοιο,
Τρώων ἀνθ’ ἕκατόν τε διηκοσίων τε ἕκαστος
στήσεσθ’ ἐν πολέμῳ· νῦν δ’ οὐδ’ ἑνὸς ἄξιοί εἰμεν
Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.

ἡ διπλῆ, ὅτι τοῦτο γινόμενον μὲν οὐ παρέστησεν, ὡς γενόμενον δὲ παραδίδωσιν (Ar. 14). τὸ δὲ ὁπότε ἀντὶ τοῦ ὅτε. A. BLV: τὸ ὁπότε ἀντὶ τοῦ ποτέ (cf. ad P 178).

Quid Aristarchus de hoc loco senserit obscurum est. Quae Lehrsius scripsit in Aristarcho p. 382, ea nunc ipse retractanda censet. Nam si Aristarchus Δ 1 ἠγορόωντο explicuit ἠθροίζοντο, inde non sequitur, hoc loco eum eodem modo explicuisse. Sin autem id fecit, tantum abest ut omissum statuerit ἦμεν, ut potius sumere deberet aut ab initio versum corruptum esse aut excidisse versum post hunc.

περιττὸς ὁ στίχος· ἐκ γὰρ τοῦ πίνειν, οὐκ ἐκ τοῦ ἐσθίειν τὸ καυχᾶσθαι συμβαίνει. A. Cf. ad Υ 84.

Τρώων ἀνθ’ ἑκατόν: ἡ διπλῆ πρὸς τὴν ἀνάγνωσιν, ὅτι οὕτως προενεκτέον. A. sc. ut plenum sit ἀντί non ἄντα: Ar. 121.

ὁ ὀβελός, ὅτι ἐκλύει καὶ ἀπαμβλύνει τὸν ὀνειδισμὸν ὁ στίχος· κρείσσων γὰρ καθολικώτερον ἐᾶσαι, οὐδήποτε ἀνδρός, ἀλλ’ οὐχὶ τοῦ διαφορωτάτου. A.

(οὐ μὲν δή ποτέ φημι—) παρελθέμεν ἐνθάδε ἔρρων: ἡ διπλῆ, ὅτι τὸ ἔρρων οὐκ ἔστι ψιλῶς παραγινόμενος, ἀλλὰ μετὰ φθορᾶς· δυσαρεστεῖ γὰρ τῇ παρουσίᾳ. A. Ar. 109.

ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί:

ἡ διπλῆ, ὅτι οὐκ ἔστι καθολικὸν ἐπίθετον ὁ πανομφαῖος, ὁ κληδόνιος καὶ πάσης κληδόνος παραίτιος· καὶ ὅτι ἅπαξ ἐνταῦθα τὸ ἐπίθετον. A. Cf. ad B 41, Ar. 97. Intelligendum, quasi dixisset τουτέστιν ὁ κληδόνιος. Docet accipiendum esse,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

hanc aram sacram fuisse Jovi, quatenus κληδόνιος est, quia is
book 250.5.3 opinor in ἀγορᾷ potissime colitur; non ut καθολικὸν Jovis
book 250.5.4 epitheton, pro quo etiam aliud quodcunque ex ejus epithetis
book 250.5.5 poni potuisset. Cf. ad Φοίβου ἀφήτορος I 404. L. παραί-
book 250.10 τιος etiam K 460.
book 266.1 Τεῦκρος δ’ εἴνατος ἦλθε, παλίντονα τόξα
book 266.2 τιταίνων: ἡ διπλῆ, ὅτι πάντων ὑποστρεψάντων μόνος ὁ
book 266.3 Ὀδυσσεὺς παρέμεινε πρὸς ταῖς ναυσίν, ὥστε τὸ ἐπάνω εὐ-
book 266.4 κρινὲς γίνεσθαι, τὸ ὣς ἔφαθ’ οὐδ’ ἐσάκουσεν (97) ὅτι
book 266.5.1 ἑκουσίως παρεπέμψατο. A. Ar. 150.
book 266.5.2 παλίντονα τόξα: εἰς τοὐπίσω τεινόμενα (cod. νων). A.
book 266.5.3 εἰς τοὐπίσω explicuisse Aristonicum apparet ex 325. L.
book h283-4.1 πατρί τε σῷ Τελαμῶνι, ὅ ς’ ἔτρεφε τυτθὸν ἐόντα
book h283-4.2 καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ.
book 284.1 παρὰ Ζηνοδότῳ οὐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ
book 284.2 Ἀριστοφάνει, ὅτι ἄκαιρος ἡ γενεαλογία, καὶ οὐκ ἔχουσα προ-
book 284.3 τροπὴν ἀλλὰ τοὐναντίον, ὀνειδισμὸν καὶ ἀποτροπήν. A.
book 290.1 ἢ τρίποδ’ ἠὲ δύω ἵππους: ἡ διπλῆ, ὅτι δύο
book 290.2 ἵπποις ἐχρῶντο. A. Ar. 196.
book 293.1 Ἀτρείδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτόν
book 293.2 ὀτρύνεις; σπεύδοντα: ἀντὶ τοῦ προθύμως ἐνεργοῦντα.
book 293.3 A. Ar. 122.
book 299.1 τοῦτον δ’ οὐ δύναμαι βαλέειν κύνα λυσση-
book 299.2 τῆρα: ὅτι ἀντὶ τοῦ παῖσαι τὸ (cod. καί) βαλεῖν. A. Ar. 72.
book 301.1 βαλέειν δέ ἑ ἵετο θυμός: ἡ διπλῆ πρὸς τὸ βα-
book 301.2 λέειν. A. Ar. 72.
book 306.1 μήκων δ’ ὣς ἑτέρωσε κάρη βάλεν, ἥ τ’ ἐνὶ κήπῳ
book 306.2 καρπῷ βριθομένη νοτίῃσί τε εἰαρινῇσιν·
book 306.3 ὣς ἑτέρως’ ἤμυσε κάρη πήληκι βαρυνθέν.
book 307.1 ἡ διπλῆ, ὅτι ἔξωθεν προσληπτέον τὸ ἔστιν, εἰ μὴ
book 307.2 ἡ μετοχὴ ἀντὶ ῥήματος παρείληπται, βριθομένη ἀντὶ τοῦ
book 307.3 βρίθεται, ἢ κοινὸν τὸ κάρη βάλεν. A. Ar. 383.
book 308 ἑτέρως’: ὅτι τὸ πλῆρες ἑτέρωσε. A.
book h312-3.1 ἀλλ’ Ἀρχεπτόλεμον θρασὺν Ἕκτορος ἡνιοχῆα
book h312-3.2 ἱέμενον πόλεμον δὲ βάλε στῆθος παρὰ μαζόν.
book 312.1 ἐνταῦθα καταλέλοιπε Ζηνόδοτος Ἀρχεπτόλεμον,
book 312.2 πεποίηκε δὲ ἄνω (128) Ἰφιτίδην Ἐρασιπτόλεμον. A.
book 313 ἡ διπλῆ πρὸς τὸ βάλεν ἀντὶ τοῦ ἔπαισεν. A. Ar. 72.
book 317.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕκτορα δ’ αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο.
book 317.2 τὸν μὲν ἔπειτ’ εἴασε καὶ ἀχνύμενός περ ἑταίρου:
book 317.3 ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί, περὶ ἑταίρου. A. Cf. p. 26.
book 317.4 Idem in antecedente versu notaverat de ἡνιόχοιο ut v. 124. L.
book h320-2.1 αὐτὸς δ’ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος
book h320-2.2 σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρί,
book h320-2.3 βῆ δ’ ἰθὺς Τεύκρου, βαλέειν δέ ἑ θυμὸς ἀνώγει.
book h320-3.1 ἡ διπλῆ, ὅτι ὡς περὶ ἑτέρου ὁ δὲ χερμάδιον
book h320-3.2 ἐπὶ τὸ αὐτὸ ἀναφέρων πρόσωπον, ὡς εἰ ἔλεγεν οὗτος δὲ αὐ-
book h320-3.3 τὸς χερμάδιον λάβε χειρί. A. Cf. ad E 734.
book h320-4 βαλέειν: ὅτι ἐπὶ τοῦ τρῶσαι. V. Ar. 73.
book h324-8.1 τὸν δ’ αὖ κορυθαίολος Ἕκτωρ
book h324-8.2 αὐερύοντα παρ’ ὦμον, ὅθι κληὶς ἀποέργει
book h324-8.3 αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστιν,
book h324-8.4 τῇ ῥ’ ἐπὶ οἷ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
book h324-8.5 ῥῆξε δέ οἱ νευρήν· νάρκησε δὲ χεῖρ’ ἐπὶ καρπῷ.
book 325.1 ἡ διπλῆ, ὅτι αὐερύοντα σαφῶς εἰς τοὐπίσω ἕλ-
book 325.2 κοντα· καὶ παλίντονα τόξα (v. ad 266) ἀπὸ τούτου, A.
book 325.3 Cf. ad B 422.
book 328.1 ὅτι ἐν τοῖς ἑξῆς τούτου μνημονεύει νευρὴν δ’
book 328.2 ἐξέῤῥηξε νεοστρεφέα (O 469—hoc versu ibi utitur Ari-
book 328.3 starchus ad lectiones πρώιον et πρῴην dijudicandas L.). καὶ
book 328.4 ὅτι οὕτως εἶπε τὸ ἐνάρκησεν ἐν ἴσῳ τῷ ναρκᾷν ἐποίησε τὴν
book 328.5.1 χεῖρα κατὰ τὸν καρπόν. A. τῷ ναρκᾷν ἐποίησε inseruit L.
book 328.5.2 Eadem ratione οἰδάνει pro οἰδάνειν ποιεῖ I 554, λελάχωσι
book 328.5.3 per λαχεῖν ποιήσωσι explicatum O 350 X 343. Harl. δ 104
book 328.5.4 (ἀπεχθαίρει pro ἀπεχθαίρειν ποιεῖ, comparatur πάντας μέν
book 328.5.5 ῥ’ ἔλπει). Quod est E 37 ἔκλιναν—κλιθῆναι ἐποίησαν,
book 328.10 ab his paulum distat. v. ibi.
book 330.1 Αἴας δ’ οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος
book 330.2 ἀλλὰ θέων περίβη: ἡ διπλῆ, ὅτι ἀπὸ τῶν ὑπερμα-
book 330.3 χούντων τοῖς ἐκγόνοις ζῴων, πρὸς τὸ Χρύσην ἀμφιβέ-
book 330.4 βηκε (A 37). B?
book 340 ἰσχία τε γλουτούς τε: σημειοῦνταί τινες ὅτι
book 340 ὑγιῶς διέσταλκε. A.
book 349.1 Γοργοῦς οἴματ’ ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος:
book 349.2 ὁ Ζηνόδοτος γράφει Γοργόνος ὄμματ’ ἔχων ἠὲ βρο-
book 349.3 τολοιγοῦ Ἄρηος. ὁ δὲ Ὅμηρος χωρὶς τοῦ ν λέγει τῇ
book 349.4

δ’ ἐπὶ μὲν Γοργώ (Λ 36) ὡς Σαπφώ· διὸ [λέγει] Γοργοῦς ὡς Σαπφοῦς. A.

(Minerva loquitur) ἀλλὰ πατὴρ οὑμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσιν σχέτλιος: σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ ἀγνώμων, οὐκ ἐν καθόλου δέ, ἀλλ’ εἰς ταύτην μόνην. A. Ar. 149.

(Herculem) ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀίδαο: ἡ διπλῆ, ὅτι τούτου μόνου τοῦ ἄθλου μέμνηται κατὰ τὸ ῥητόν [τίνες ἦσαν;]. καὶ ὅτι κύνα μόνον λέγει, Κέρβερον δὲ οὐκ ὀνομάζει, ὡς οἱ νεώτεροι. ABV. Cf. Pausan. 3, 25, 4. Lehrs Herodian. p. 457: „Illud τίνες ἦσαν immigravit, puto, ex margine: τίνες ἦσαν; sc. labores Herculis.“ Postea addidit: Putabit fortasse aliquis in τίνες ἦσαν plus latere quam quod significavi, sc. τὴν νέκυιαν, πρὸς τὴν νέκυιαν vel tale quid (v. λ 623).

Θέτιδος δ’ ἐξήνυσε βουλάς,
ἥ οἱ γούνατ’ ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.

ἀθετοῦνται δύο στίχοι, ὅτι οὐκ ἔδει κατὰ μέρος διηγήσασθαι, καὶ ταῦτα πρὸς τὴν καλῶς εἰδυῖαν· καὶ μὴν οὐδὲ ἡμεῖς περισσόν τι προσιστοροῦμεν. οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν. A. Nec omissum fuerit πτολίπορθον Ἀχιλλέα augere suspicionem: O 56. L.

ἔσται μὰν ὅτ’ ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ: ἡ διπλῆ πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον, ὡς ἐκεῖ ἔσσεται ἦμαρ ὅτ’ ἄν ποτ’ ὀλώλῃ Ἴλιος ἱρή (Δ 164 Z 448) ἀντὶ τοῦ ὅτ’ ὀλεῖται. A. Cf. p. 11.

ἢ νῶι (378) γηθήσει προφανείσα: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν νῶιν. τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ἡμῖν ἢ ἡμῶν· οὐδέτερον δὲ ἁρμόζει· τὸ γὰρ νῶι ἐστὶν ἢ ἡμεῖς ἢ ἡμᾶς. A.

(Minerva) πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ’ οὔδει,
ποικίλον, ὅν ῥ’ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
ἡ δὲ χιτῶν’ ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.

ἀθετοῦνται στίχοι τρεῖς (385—387) ὅτι ἐν τῇ τοῦ Διομήδους ἀριστείᾳ (E 734) καλῶς ἐπεξείργασται· πράττεται γάρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινα. ἐνταῦθα δὲ πρὸς οὐδὲν ἀναλαμβάνει τὴν παντευχίαν.
book 385.4 ἠθέτει δὲ καὶ Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A.
book 385.5.1 Excidit quod praeterea Jupiter ipse nunc παντευχίᾳ sua indu-
book 385.5.2 tus sit: v. ad 43. L.
book h389-91.1 λάζετο δ’ ἔγχος
book h389-91.2 βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
book h389-91.3 ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
book 390-1.1 ἀθετοῦνται καὶ οὗτοι, ὅτι ἀκαίρως ἐκεῖθεν
book 390-1.2 (E 746) μετηνέχθησαν. A.
book 393.1 πύλαι μύκον οὐρανοῦ: ἡ διπλῆ, ὅτι πύλας
book 393.2 οὐρανοῦ τὰ νέφη ὑποτίθεται· τὸν γὰρ ὑπὲρ τὰ νέφη τόπον
book 393.3 ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ. πρὸς τὰ περὶ Ὀλύμ-
book 393.4 που. A. Cf. ad E 749, Ar. 168.
book 399.1 βάσκ’ ἴθι Ἶρι ταχεῖα: ἡ διπλῆ ὅτι οὐκ ἔστι κοι-
book 399.2 νὸν νῦν ἐπίθετον τὸ ταχεῖα, ἀλλὰ πορεύου ταχεῖα. A. Cf. p. 29.
book 406.1 ὄφρ’ εἰδῇ γλαυκῶπις, ὅτ’ ἂν ᾧ πατρὶ μάχηται.
book 406.2 Ἥρῃ δ’ οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
book 406.3 αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾷν ὅττι κεν εἴπω.
book 406-8.1 οἱ ἀστερίσκοι, ὅτι τῷ τοῦ Διὸς προσώπῳ
book 406-8.2 ἁρμόζουσιν οἱ λόγοι, τῷ δὲ τῆς Ἴριδος (420) οὐκέτι. A.
book 410.1 βῆ δ’ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
book 410.2 Hic scribendum esse βῆ δ’ ἐξ Ἰδαίων ὀρέων non βῆ δὲ κατ’ ut
book 410.3 Λ 196 O 169 et alibi. Contra ut hic ἐξ O 79. V. ad hos locos. L.
book 411.1 πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο:
book 411.2 οὐχ ὡς καὶ ἄλλων οὐσῶν, ἀλλ’ ἀντὶ τοῦ ἄκραι (vel ἄκραις),
book 411.3 ὡς τὸ ἄξαντ’ ἐν πρώτῳ ῥυμῷ (Z 40) ἀντὶ τοῦ ἄκρῳ. A.
book 411.4 Cf. Π 371 et Ar. 149.
book h420-4.1 ὄφρ’ εἰδῇς γλαυκῶπις—(422) ὅττι κεν εἴπῃ.
book h420-4.2 ἀλλὰ σύ γ’ αἰνοτάτη, κύον ἀδεές, εἰ ἐτεόν γε
book h420-4.3 τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.
book 420.1 ἀθετοῦνται στίχοι πέντε, ὅτι ἐκ τῶν ἐπάνω (406)
book 420.2 μετάκεινται. ἱκανὸν δὲ ἦν εἰπεῖν ὅτι οὐκ ἐᾷ ὁ Ζεύς, καὶ
book 420.3 ἀποκαθίσταται ἐπιεικὲς ὂν τὸ τῆς Ἴριδος πρόσωπον· οὐ γὰρ
book 420.4 ἂν εἶπεν κύον ἀδεές. A. ἀποκαθίσταται pro ἀποσυνίστα-
book 420.5 ται Lehrs Herodian. p. 460: „His versibus omissis restituitur
book 420.1 quae ei propria est morum lenitas.“ ἐπιείκεια Iridi tribuitur
book 420.2 etiam in adn. ad O 166 sq. οὐκέτ’ ἔγωγε
book 428.1 νῶι ἐῶ Διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν:
book 428.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ, ὅτι τινὲς γράφουσι σὺν τῷ ν (sc. νῶιν) κακῶς. A. Cf. Did.

ἅρματα δ’ ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα: ἡ διπλῆ, ὅτι τὰ ὀχήματα ἅρματα λέγει. A. Cf. ad Δ 226. Et quaesivit, ad utrum nomen pertineat παμφανόωντα, quod solutum collato loco Ψ 509, v. proll. ad Nicanorem p. 89 sq.

Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐύτροχον ἅρμα καὶ ἵππους

Οὔλυμπον δὲ δίωκε: ἡ διπλῆ, ὅτι κυρίως διώκειν λέγεται, ὅταν προφεύγῃ τις· νῦν δὲ ἐπὶ τοῦ συντόνως ἐλαύνοντος. A. Ar. 150.

αἱ δ’ οἶαι Διὸς ἀμφὶς Ἀθηναίη τε καὶ Ἥρη ἥσθην: ἡ διπλῆ, πρὸς τὴν καθέδραν, ὅτι ἑκατέρωθεν τοῦ Διὸς Ἥρα καὶ Ἀθηνᾶ. A. Non ut quidam χωρὶς ἥσθην Ω 100. L.

τίφθ’ οὕτω τετίησθον Ἀθηναίη τε καὶ Ἥρη;

οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει καμέτην διὰ τοῦ η. ἔστι δὲ ἀντὶ τοῦ ἔκαμον. τὸ δὲ κάμετον πρὸς τὸ πρόσωπον ἀντὶ τοῦ ἐκάμετε, ὃ καὶ συμφωνεῖ. AB. ἔστι δέ inseruit L.

οὐκ ἂν ἐθ’ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ ἂψ ἐς Ὄλυμπον ἵκεσθον: ἡ διπλῆ, ὅτι ἀρσενικῶς τὸ δυικὸν ἐσχημάτισται, πληγέντε ἀντὶ τοῦ πληγείσα. καὶ Ἡσίοδος προλιπόντ’ ἀνθρώπων (E 199) ἐπὶ αἰδοῦς καὶ νεμέσεως ἀντὶ τοῦ προλιποῦσαι. A. Vides Aristonicum—nunc certe—non commemorare προφανέντε, quod Aristarchus legisse dicitur vs. 378 pro προφανείσα. L. Cf. p. 31.

ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπεν: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἀκέουσα. A. Cf. p. 31.

εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν.
ἀλλ’ ἔμπης Δαναῶν ὀλοφυρόμεθ’ αἰχμητάων,
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.

ἡ διπλῆ (potius asterisci, qui sunt ad textum), ὅτι ἐντεῦθεν ἄνω (32) μετάκεινται. A. Nam tres sequentes nec hi antiqui videntur nosse, ut absunt a Veneto et aliis, certe admittere hic non magis quam supra propter τεοῖο (v. ad 28). L.

ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα ὄψεαι: ὅτι Ζηνόδοτος γράφει ἄας δὴ καὶ μᾶλλον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ τοῦ ἐσαύριον. ἔστι δὲ ἡ λέξις οὐχ Ὁμηρική. V. Cf. Lobeck. Rhematicon p. 253.

πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα,
ἤματι τῷ ὅτ’ ἂν οἱ μὲν ἐπὶ πρύμνῃσι μάχωνται
στείνει ἐν αἰνοτάτῳ, περὶ Πατρόκλοιο πεσόντος.

ἀθετοῦνται στίχοι δύο, ὅτι διὰ τοῦ ἤματι τῷ πλείονος χρόνου ὑπέρθεσιν σημαίνει, τῇ δὲ ἑξῆς ἐπὶ τὸν (sic) τάφρον παράγει τὸν Ἀχιλλέα (cf. Σ 215). καὶ ἀκριβολογεῖν οὐκ ἀναγκαῖον κατὰ τίνα καιρὸν ἐξαναστήσεται, ἀρκεῖ δὲ πρὶν ὄρθαι παρὰ ναῦφι ποδωκέα Πηλείωνα. τό τε ἐπιφερόμενον ψεῦδός τι ἔχει· οὐ γὰρ ἐν τῷ στείνει μάχονται. A.

ἐν δ’ ἔπες’ Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο:
ἡ διπλῆ, ὅτι αὐτὸς μὲν εἰς Ὠκεανὸν δύνοντα καὶ ἐξ Ὠκεανοῦ ἀνίσχοντα λέγει τὸν ἥλιον, ἐξ ἡρωικοῦ δὲ προσώπου οὐκέτι. A. Ar. 177.

τρίλλιστος: ἡ διπλῆ ὅτι τὰ τρία ἐπὶ πλήθους (cf. ad Ξ 38). τρίλλιστος οὖν πολυλιτάνευτος. πλεονάζει τὸ λ. A.

ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος:
ἡ διπλῆ ὅτι οὐκέτι γέγονε νεκρῶν ἀναίρεσις. πρὸς Ἴστρον. A. K 199.

(μῦθον) τόν ῥ’ Ἕκτωρ ἀγόρευε διίφιλος ἐν δ’ ἄρα χειρί
ἔγχος ἔχ’ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρός
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.
τῷ ὅ γ’ ἐρεισάμενος ἔπεα Τρώεσσι μετηύδα.

ἡ διπλῆ περιεστιγμένη (vel αἱ διπλαῖ, Pluygers. p. 7), ὅτι Ζηνόδοτος περιγράφει ἀπὸ τούτου τέσσαρας στίχους κατὰ τὸ ἑξῆς διὰ τὸ καὶ ἐν ἄλλῳ τόπῳ γεγράφθαι (Z 318). ὁ δὲ Ἀρίσταρχος οἰκειότερον ἐνταῦθα κεῖσθαι λέγει διὰ τὸ ἐν τῷ στρατεύματι διαλέγεσθαι. A.

Ἴλιον ἠνεμόεσσαν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

τὸ νῦν ἐσάωσε μάλιστα

Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης:
ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐπεὶ Διὸς ἐτράπετο φρήν.
ἐξ ἄλλου δὲ στίχου (K 45) τὸ ἡμιστίχιόν ἐστι νῦν ἀναρμόστως προστεθειμένον· οὐ γὰρ κατὰ Διὸς προαίρεσιν νὺξ ἐγένετο. A.

δόρπα τ’ ἐφοπλισόμεσθα: ἡ διπλῆ περιεστι-
book 503.2 γμένη, ὅτι Ζηνόδοτος γράφει ἐφοπλίζεσθον. συγχεῖ δὲ
book 503.3 τὸ δυικόν. A. Cf. p. 15.
book 505.1 ἐκ πόλιος δ’ ἄξεσθε βόας: ἡ διπλῆ ὅτι οὐ μέλ-
book 505.2 λοντα σημαίνει τὸ ἄξεσθε, ἀλλ’ ἐν ἴσῳ τῷ ἄγετε. A. Cf. p. 6.
book 512.1 μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι: ἡ
book 512.2 διπλῆ ὅτι ἀντὶ τοῦ μὴ ῥᾳδίως, μή πως χωρὶς σπουδῆς. A. Ar. 122.
book 513.1 ἀλλ’ ὥς τις τούτων γε βέλος καὶ οἴκοθι
book 513.2 πέσσῃ: ἡ διπλῆ ὅτι βέλος εἴρηκε τὸ τρῶμα ὁμωνύμως τῷ
book 513.3 τιτρώσκοντι. A. Ar. 70.
book 517.1 κήρυκες δ’ ἀνὰ ἄστυ διίφιλοι ἀγγελλόντων: ἡ
book 517.2 διπλῆ ὅτι ἀντὶ τοῦ ἀγγελλέτωσαν. A. Cf. ad 521 et B 438.
book 519.1 (pueros senesque) λέξασθαι περὶ ἄστυ θεοδμή-
book 519.2 των ἐπὶ πύργων: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἐγκοιμηθῆναι. A.
book 519.3 Ar. 150.
book 521.1 πῦρ μέγα καιόντων: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ καιέ-
book 521.2 τωσαν. A. Cf. ad 517.
book h524-5.1 μῦθος δ’ ὃς μὲν νῦν ὑγιής, εἰρημένος ἔστω,
book h524-5.2 τὸν δ’ ἠοῦς Τρώεσσι μεθ’ ἱπποδάμοις ἀγορεύσω.
book 524-5.1 ἀθετοῦνται δύο στίχοι, διότι τῇ ἑξῆς οὐδὲν
book 524-5.2 λέγει, καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ παρεί-
book 524-5.3 ληπται, ὃς μέν ἀντὶ τοῦ ὁ μέν. A.
book 526.1 εὔχομαι ἐλπόμενος Διί τ’ ἄλλοισίν τε θεοῖ-
book 526.2 σιν: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἔλπομαι εὐχόμενος.
book 526.3 οὐ κατὰ τὸν Ἕκτορα δὲ τὸν οὕτως ἐπῃρμένον λέγει, ἐλ-
book 526.4 πίζω εὐχόμενος τοῖς θεοῖς· ἐπιεικὲς γάρ· τοὐναντίον γὰρ
book 526.5.1 οἰκεῖον εὔχομαι ἐλπόμενος, καυχῶμαι ἐλπιδοποιούμενος ὑπὸ
book 526.5.2 τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν i. e. ut dativus sit pro ὑπό
book 526.5.3 cum genetivo: v. p. 24. A. Nec omiserit ejusmodi jactationes
book 526.5.4 etiam Graecis innotuisse: v. ad Ξ 45.
book h527-8.1 ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους
book h527-8.2 οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
book 528.1 ἀθετεῖται, ὅτι περισσός· ἐν γὰρ τῷ κηρεσσιφορήτους τὸ
book 528.2 αὐτὸ συντόμως εἴρηκεν. ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν. A.
book 532 εἴσομαι ἤ κέ μ’ ὁ Τυδείδης κρατερὸς Διομήδης
book 532.1 πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται: ἡ διπλῆ ὅτι τὸ
book 532.2 εἴσομαι πολλὰ σημαίνει, νῦν μὲν γνώσομαι, ἐν ἄλλοις δὲ
book 532.3 πορεύσομαι· εἴσομαι ἐξ ἁλόθεν (Φ 335): καὶ ἀντὶ τοῦ
book 532.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐφάνη· εἴσατο δ’ ὡς ὅτε ῥινεός (ε 281). A. Cf. M 118.

Ar. 150.

αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ’ ἐμὸν ἔγχος μείνῃ ἐπερχόμενον. ἀλλ’ ἐν πρώτοισιν, οἴω, κείσεται οὐτηθείς, πολέες δ’ ἀμφ’ αὐτὸν ἑταῖροι, ἠελίου ἀνιόντος ἐς αὔριον. εἰ γὰρ ἐγὼν ὥς εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα, ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν. ὅτι ἢ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ ἀντίσιγμα παράκειται (535—537) ἢ τοὺς ἑξῆς τρεῖς (538. 539. 541), οἷς αἱ στιγμαὶ παράκεινται· εἰς γὰρ τὴν αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν. ἐγκρίνει δὲ μᾶλλον ὁ Ἀρίσταρχος τοὺς δευτέρους διὰ τὸ καυχηματικωτέρους εἶναι τοὺς λόγους (cf. ad 526)· ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν. τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A. Recte monuit Pluygers. (p. 3. et p. 6) eum versum, qui in nostris edd. est.

τιοίμην δ’ ὡς τίετ’ Ἀθηναίη καὶ Ἀπόλλων —male translatum ex N 827—ab Aristarchea editione afuisse. Ceterum hoc scholium apud Bekk. et Vill. non recte incipit: ἡ διπλῆ ὅτι: v. Pluygers p. 3.

ἐκ πόλιος δ’ ἄξοντο βόας: τὸ ἄξαντο (immo ἄξοντο) οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ’ ἀντὶ τοῦ ἄγοντο (immo ἤγοντο). A. Cf. p. 6.

ὡς δ’ ὅτ’ ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην. Annotatum fuit epithetum lunae datum ad praesentem statum non aptum esse: Φ 218.

ὅτε τ’ ἔπλετο νήνεμος αἰθήρ· ἔκ τ’ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι καὶ νάπαι· οὐρανόθεν δ’ ἄρ’ ὑπεῤῥάγη ἄσπετος αἰθήρ.

ἀθετεῖται ὅτι οἰκειότερον ἔχει κατὰ τὴν Πατρόκλου ἐπιφάνειαν (Π 299). καὶ ὁ ἑξῆς δὲ συναθετεῖται αὐτῷ. ἐκεῖ γὰρ αἰφνίδιον βούλεται ἐπίλαμψιν παραστῆσαι αἰφνιδίως Πατρόκλου ἐπιφανέντος, ἐνταῦθα δὲ παρατεταμένην νηνεμίαν κατ’ (puto καὶ) εὐδίαν. οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης. A.

ὡς δ’ ὅτ’ ἐν οὐρανῷ ἄστρα—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων: ἡ
book 560.2 διπλῆ ὅτι τῷ ὡς ὁμοιωματικῷ ὄντι ἀκαταλλήλως ἀποδίδοται
book 560.3 τὸ τόσσα, ποσότητος ὂν δηλωτικόν· διὸ καί τινες γράφουσιν
book 560.4 ὧς τὰ μεσηγὺ νεῶν. τὸ μὲν οὖν παραβολικὸν τὸ τῆς ἀν-
book 560.5.1 τεικασίας ἔχει, τὸ δ’ ἀνταποδιδόμενον τὸ τοῦ πλήθους πα-
book 560.5.2 ρεμφαίνει. καὶ ὅτι οὐ προσυστήσας τὸν Σκάμανδρον Ξάν-
book 560.5.3 θον καλεῖ, ἀλλὰ διὰ τῶν ἑξῆς ὃν Ξάνθον καλέουσι
book 560.5.4 θεοί, ἄνδρες δὲ Σκάμανδρον (Υ 74 ubi v.). A. προ-
book 560.5.5 συστήσας ins. L. ex Ξ 434 Herodian. 460.
book h562-3.1 χίλι’ ἄρ’ ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ
book h562-3.2 εἵατο πεντήκοντα σέλαι πυρὸς αἰθομένοιο.
book 562.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει μύρια. ἐπιφέρει
book 562.2 δὲ ἐν δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλαι, ὥστε γί-
book 562.3 νεσθαι μυριάδας πεντήκοντα, ἐὰν δὲ γράφηται χίλια, πέντε
book 562.4 μυριάδας συμφώνως· διὰ παντὸς γὰρ τοὺς βαρβάρους ἐλάσ-
book 562.5.1 σονας τῶν Ἑλλήνων συνίστησιν. A. Si revera ἐν ἑκάστῳ
book 562.5.2 σέλαι legit, hoc sine dubio intellexit ut ἐν πυρὸς αὐγῇ I 206.
book 2.1 φύζα φόβου κρυόεντος ἑταίρη: ἡ διπλῆ, ὅτι φύζα
book 2.2 ἀεὶ μὲν σημαίνει τὴν μετὰ δέους φυγήν, ὅθεν καὶ φυζα-
book 2.3 κίνης ἐλάφοισι (Ν 102): νῦν δὲ ἔκπληξις—ABL. Ar. 91.
book 3.1 πένθεϊ δ’ ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι:
book 3.2 ἡ διπλῆ, ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτος οὕτως. ἐπὶ
book 3.3 δὲ τῆς κατὰ ψυχὴν τρώσεως καὶ ἀλγηδόνος ἀεὶ τοῦτο τάτ-
book 3.4 τει, ἐπὶ δὲ τῆς κατὰ σῶμα πληγῆς οὐκέτι οὕτως. A. Ar. 76.
book 9.1 Ἀτρείδης δ’ ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ:
book 9.2 ἡ διπλῆ ὅτι πάλιν (vs. 3) τὸ βεβολημένος διὰ τοῦ ο ἐπὶ
book 9.3 ψυχῆς λέγει. A. Ar. 76.
book 12.1 αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο: ἡ διπλῆ ὅτι τὸ
book 12.2 πονεῖν ἀεὶ ἐπὶ τοῦ ἐνεργεῖν τίθησιν. A.
book 12.3 ἂν δ’ Ἀγαμέμνων
book 14 ἵστατο δακρυχέων ὥς τε κρήνη μελάνυδρος:
book 14.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει μετ’ Ἀργείοισιν (immo
book 14.2 μετὰ δ’ Ἀργείοισιν) ἔειπεν Ὦ φίλοι Ἀργείων. περιή-
book 14.3 ρηκε δὲ πάντα τὰ κατὰ τὴν παράθεσιν (vs. 15, 16). ἀναγκαῖα
book 14.5 δέ ἐστιν εἰς αὔξησιν. A.
book 16.1 ὧς ὁ βαρὺ στενάχων ἔπε’ Ἀργείοισι μετηύδα:
book 16.2 ἡ διπλῆ ὅτι τινὲς γράφουσιν ὧς ὅ γε δακρυχέων διὰ τὸ
book 16.3 ἀκαταλλήλως πρὸς τὰ δάκρυα τὸ στενάχων ἀποδεδόσθαι.
book 16.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστι δὲ ἐν τῷ στενάχειν καὶ δακρύειν ἀπὸ προηγουμένου νοούμενον. A.

ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες: ἡ διπλῆ ὅτι ἐνθάδε οὕτως γραπτέον· πρὸς γὰρ τοὺς ἀρίστους, οὐ πρὸς τὸ πλῆθος ὁ λόγος. ὅταν δὲ ἀπόπειραν τῷ πλήθει προσάγῃ, προσφυέστερον γράφεται ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος (B 110). A. Inserui οὕτως.

Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
σχέτλιος, ὃς τότε μέν μοι ὑπέσχετο καὶ κατέ-
νευσεν.

ἡ διπλῆ ὅτι μέγα δεῖ γράφειν ἀντὶ τοῦ μεγάλως, ὡς σάφα. ἀδόκιμος δὲ πάνυ ἡ μετὰ τοῦ ς, μέγας. A. Aristonicum in errore esse ostendit Didymus h. l. et ad B 111: Ar. 32.

ἡ διπλῆ ὅτι νῦν οὕτως γραπτέον τότε μέν μοι· ἀναφέρει γὰρ ἐπὶ τὸ πρώην κατὰ τὸν ὄνειρον· ἐν ἐκείνοις μέντοι (B 112) πρὶν μέν μοι· χρόνια γὰρ ἐσήμαινε τὰ κατὰ τὴν πρώτην ἔξοδον τῶν Ἑλλήνων. A.

δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ’ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.

ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ (B 116). νῦν δὲ οὐκ ἀποπειρᾶται, ἀλλὰ περὶ ἀποστάσεως ἀληθῶς λέγει ἐγκεκυρηκὼς τοῖς τοῦ Διὸς ἐλαττώμασιν (idem vocabulum Φ 331). A. Cf. Did.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἦρκε τοὺς στίχους πρὸς οὐδὲν ἀναγκαῖον, ἀλλ’ ἕνεκα τοῦ κατ’ ἄλλους τόπους φέρεσθαι (B 116—118, 139—141 I 693, 696 H 398, 399). τοιοῦτος δέ ἐστιν ἐπὶ τῶν διφορουμένων. τὴν δὲ συνέπειαν οὕτως ποιεῖ δυσκλέα Ἄργος ἵκεσθαι—ἤτοι ὅ γ’ ὣς εἰπὼν κατ’ ἄρ’ ἕζετο, θυμὸν ἀχεύων. τοῖσι δ’ ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης (Bekk. προσέφη: v. Pluygers p. 11). A. Ar. 357.

ἴσας’ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἡγήτορες ἠδὲ μέδοντες. (cf. Did.) βέλτιον δὲ καθολικώτερον γεγράφθαι· καταλείπεται γὰρ ἐν πᾶσιν ἡ δόξα τἀνδρός (Diomedis). καὶ ὅτι νῦν γέ-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ροντας τοὺς καθ’ ἡλικίαν (non ut saepe principes L.). ἐπεὶ μικρῷ πρότερον τὸν Νέστορα αὐτὸς ἐσεσώκει ἐν τῷ πολέμῳ (Θ 90). A. τὸν Νέστορα αὐτός L. pro ὁ Νέστωρ αὐτόν.

ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶς’, αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί:

ἡ διπλῆ ὅτι ἀπὸ κοινοῦ τοῦ πάρ τοι ὁδός τὸ πάρεισί σοι. ὅπερ οὐ συνέντες τινὲς προστεθείκασι τὸν ἑξῆς. A. ἀθετεῖται ὅτι περισσός ἐστι καὶ μὴ προσκειμένου αὐτοῦ ἐμφαντικώτερος ὁ λόγος γίνεται· ἐφορμοῦσιν αἱ νῆες πορευσόμεναι. (proprie: adest via, adsunt tibi naves prope mare, in quo inest: speculantur quodammodo, cupide exspectant iter ingredi volentes, inhiant itineri. Apud Villois. ἐφορμῶσιν L.). οἱ δὲ γράφουσιν νῆες μέν (δέ?) τοι ἀμφιέλισσαι, ὥστε παντελῶς (μὴ παντελῶς?) ἀποκρίνεσθαι τὸν στίχον. A. Ar. 360.

Τυδείδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι: ὅτι τὸ περί ἀντὶ τοῦ περισσῶς. A. Cf. p. 28.

οὐδὲ πάλιν ἐρέει: τὸ πάλιν οὐκ ἔστιν ἐκ δευτέρου, ὡς ἡμεῖς, ἀλλ’ ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ, ἐναντίως. A. Ar. 100.

ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης ὁπλότατος γενεῆφιν: ἡ διπλῆ, ὅτι οὐχ ἁρμόζει τῷ τρεῖς γενεὰς βεβιωκότι λέγειν· ἐμὸς ἂν παῖς εἴης—A. Reliqua exciderunt. Sequuntur deinde haec: κατὰ τὴν ἡλικίαν, πρὸς ἐπιτίμησιν τοῦ πολέμου. Tria illa priora verba fortasse ad scholium Aristonici pertinuerunt, sed quatuor ultima irrepsisse videntur ex margine, ubi aliquis adscripserat ad indicandum sensum versuum 63, 64: ἀφρήτωρ ἀθέμιστος—ὃς πολέμου ἔραται.

λεξάσθων παρὰ τάφρον: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ λεξάσθωσαν. A. v. ad B 348.

πλεῖαί τοι οἴνου κλισίαι: ἡ διπλῆ ὅτι πλεῖαι ἀντὶ τοῦ πλήρεις. πρὸς τὸ παρῴχηκε δὲ πλέω (sic) νύξ (K 252) ἀντὶ τοῦ πλήρης. A. Ultima a πρός et ipsa pro Aristoniceis servari posse putavi: modo in brevius contracta intelligamus. Observat non idem esse πλεῖος vel πλέος et πλέων (v. ad K 579): additque adnotationem hanc pertinere ad illud K 252, quod ibi forma quae non posset nisi comparativa esse, a quibusdam neglecto discrimine acciperetur pro πλήρης (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

illic maxime Porphyrium). L.

τίς ἂν τάδε γηθήσειεν: ἡ διπλῆ ὅτι προσυπακουστέον τὸ „καὶ οὐ μὴ μᾶλλον θρηνήσει καὶ κόψεται“; καὶ ὅτι ἔξωθεν τὸ ἰδών. A. Post προσυπακουστέον τό habet cod. ὁρῶν καὶ βλέπων γελάσει, quae delenda esse ostendit Lehrs.

Herodian. 458. Idem observatur, supplendum esse contrarium, τὸ ἀντικείμενον vel τὸ ἐναντίον: ad Λ 330 Λ 281 Μ 458 Ξ 416 Ο 11 (Κ 515) Ο 155. Item notatum Ν 344, quod plene dixit ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ’ ἀκάχοιτο; cf. Ο 11 et Ar. 14. L.

ἀντί νυ πολλῶν
λαῶν ἐστὶν ἀνὴρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ.

ἡ διπλῆ ὅτι τὸ ἀντί ἐπὶ τοῦ ἴσου ἐστί· τὸ γὰρ λεγόμενον, ἴσος ἐστὶ πολλοῖς ὁ εἷς ἀνήρ, ὅταν ᾖ θεοφιλής. A.

ἀλλ’ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας: ἡ διπλῆ ὅτι οἱ νεώτεροι λευγαλέον τὸ δίυγρον ἐπὶ τοῦ Ἀχιλλέως (fortasse ἀπὸ τοῦ ἐπὶ τοῦ Ἀχιλλέως L.)· νῦν δέ με λευγαλέον θάνατον (Φ 281 cf. ad Υ 109) ἔστι δὲ λευγαλέον τὸ ὀλέθριον παρὰ τὸν λοιγόν, A. Ar. 113.

δώσω δ’ ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας: ἡ διπλῆ ὅτι χωρὶς τοῦ ς γραπτέον (sc. ἀμύμονα)· οὐ γάρ ἐστι κατὰ τῶν γυναικῶν ἀλλὰ τῶν ἔργων. ὕστερον δὲ (130) ἐπὶ τῶν γυναικῶν αἳ κάλλει ἐνίκων. A. Certum igitur

hinc, Aristonicum pro Aristarchea lectione habuisse ἀμύμονα. Sic contrarium testimonium: Ἀρίσταρχος δὲ μετὰ τοῦ ς ἀμύμονας minus curaremus, nisi rediret ad v. 270 οὕτως Ἀρίσταρχος μετὰ τοῦ ς ἀμύμονας. Ita videri hic quoque potest scholae Aristarcheae error a Didymo correctus. L.

τὰς μέν οἱ δώσω, μετὰ δ’ ἔσσεται ἣν τότ’ ἀπηύρων,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι,
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι.

ἡ διπλῆ περιεστιγμένη, ὅτι ἐντεῦθεν πλανηθεὶς Ζηνόδοτος συναριθμεῖσθαι ἐν ταῖς ἑπτὰ καὶ τὴν Βρισηΐδα ἔδοξεν, καὶ ἐν ἄλλοις γράφει ἐκ δ’ ἄγεν ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργ’ εἰδυίας, Ἕξ, ἀτὰρ ἑβδομάτην Βρισηΐδα καλλιπάρῃον (Τ 245). ἔστι δὲ ἐκτὸς ἡ Βρισηΐς.

A. Cf. ad 271, 638.

τῆς εὐνῆς: ἡ διπλῆ ὅτι ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρ-

θρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος, μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι. A. Cf. p. 30.

νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω: ἡ διπλῆ ὅτι παρετυμολογεῖ τὴν ναῦν ἀπὸ τοῦ νῆσαι, ὅ ἐστι σωρεῦσαι (cf. ad P 197). —καὶ ἐν Ὀδυσσείᾳ τὰ ὀνόματα ἀπὸ τοῦ ἑτοίμου λαμβάνει, Τερπιάδην τὸν Φήμιον ἀπὸ τοῦ τέρπειν τὸν κιθαρῳδόν (χ 330): ὁ αὐτὸς ἄρα ποιητής. A. Ultima Aristarcheae quidem doctrinae sunt, sed ad aliud genus pertinent, quam illud. Transtulit aliquis, qui non satis distingueret haec ex E 60. L.

αἴ κε μετ’ Ἀργείην Ἑλένην κάλλισται ἔωσιν: ἡ διπλῆ ὅτι ἔνιοι ὑποτάσσουσι στίχον τὴν γὰρ ἀπ’ αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ, εὐήθως πάνυ. ABLV. Ar. 361 not.

εἰ δέ κεν Ἄργος ἱκοίμεθ’ Ἀχαιικόν: ἡ διπλῆ ὅτι τὴν Πελοπόννησον Ἀχαιικὸν Ἄργος λέγει καὶ Ἴασον· εἰ πάντες σε ἴδοιεν ἀν’ Ἴασον Ἄργος (ς 245), Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν. A. Ar. 233.

τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα·
τάων ἥν κ’ ἐθέλῃσι, φίλην ἀνάεδνον ἀγέσθω.

ἡ διπλῆ ὅτι οὐκ οἶδε τὴν παρὰ τοῖς νεωτέροις σφαγὴν Ἰφιγενείας. A. Ar. 179.

ἡ διπλῆ, ὅτι ἕδνα ἐδίδοσαν οἱ νυμφίοι ταῖς παρθένοις. A. Ar. 198.

ἐγὼ δ’ ἐπιμείλια δώσω: ἡ διπλῆ ὅτι καὶ ὑπὸ τᾶν πατέρων ἐπεδίδοτο ταῖς θυγατράσιν οὐχ ὑπὸ τῶν ἀνδρῶν μόνων ἐπέμπετο, ἃ λέγει ἐπιμείλια. A. Ultimam vocem addidit L. Ar. 198.

πᾶσαι δ’ ἐγγὺς ἁλός (urbes) νέαται Πύλου ἠμαθόεντος: ἡ διπλῆ ὅτι νέαται ἀντὶ τοῦ ναίονται. ἔνιοι δὲ ἀντὶ τοῦ ἔσχαται, οὐκ εὖ. A.

καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας: ἡ διπλῆ, ὅτι χρόνος ἐνήλλακται, τελέουσιν ἀντὶ τοῦ τελέσουσιν. A. Cf. p. 6.

καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι: ἡ διπλῆ ὅτι τὸ ὅσσον οὐκ ἔστι πλήθους, ἀλλ’ ἀντὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ καθ’ ὅσον εἰμὶ βασιλικώτερος. A. Respicit hunc locum O 166: talia afferri a precantibus argumenta.

ἀλλ’ ἄγετε, κλητοὺς ὀτρύνομεν: ἡ διπλῆ, ὅτι τοὺς ἀπὸ τοῦ καλεῖσθαι αἱρουμένους. καὶ ἐν Ὀδυσσείᾳ οὗτοι γὰρ κλητοί γε (ρ 386). καὶ τὸ ὀτρύνομεν ἀντὶ τοῦ ὀτρύνωμεν. A. Cf. p. 13.

Φοῖνιξ μὲν πρώτιστα διίφιλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ’ Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ’ Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ’ ἑπέσθων.

ἡ διπλῆ, ὅτι ὁ Φοῖνιξ προέρχεται καὶ οὐ συμπρεσβεύεται τοῖς περὶ τὸν Ὀδυσσέα, ὥστε μὴ συγχεῖσθαι διὰ τῶν ἑξῆς τὰ δυικά. A.

ἡ διπλῆ, ὅτι τὸ ἔπειτα Ἀρίσταρχος ἀντὶ χρονικοῦ παραλαμβάνει, ἀντὶ τοῦ μετὰ ταῦτα, ὡς καὶ Ἑρμείας μὲν ἔπειτα (κ 307). βούλεται γὰρ πρῶτον τὸν Φοίνικα ἀπεληλυθότα εἰς τὸ σκήνωμα, εἶτα τὸν Ὀδυσσέα καὶ τὸν Αἴαντα ὡς πρεσβεύοντας. ὁ δὲ Κράτης τὸ ἔπειτα ἀντὶ τοῦ δή συνδέσμου λαμβάνει. A. Cf. ad Λ 93 N 586 Ψ 557, Ar. 153.

Εὐρυβάτης: ἡ διπλῆ, ὅτι οὐ τὸν Ἀγαμέμνονος (A 320) ὑποληπτέον νῦν λέγεσθαι, ἀλλὰ τὸν Ὀδυσσέως (B 184), ἐπεὶ κἂν ἐξωργίσθη, τῆς δι’ αὐτοῦ γενομένης ἀφαιρέσεως ὑπομνησθείς. (De Hodio homonymo v. B 856). ἑπέσθων ἀντὶ τοῦ ἐπέσθωσαν (v. B 438). A.

τοῖσι δὲ πόλλ’ ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ,
δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆι δὲ μάλιστα:

ἡ διπλῆ ὅτι παρόντος τοῦ Φοίνικος ἔτι ταῦτα ὁ Νέστωρ ποιεῖ, διὸ καὶ ἁρμόσει τὸ ἐς ἕκαστον πληθυντικῶς ἐξενηνεγμένον, καὶ οὐκ εἰς ἑκάτερον, ὅπερ ἐπὶ δύο τίθεται, καὶ τὸ μάλιστα ὑπερθετικῶς εἰρημένον. A. ἐξενηνεγμένον scripsi pro εἰσεν.

τὼ δὲ βάτην: ἡ διπλῆ, ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυικόν· κεχώρισται γὰρ ὁ Φοῖνιξ μετὰ τὴν Νέστορος ἐντολήν, οὗτοι δὲ μετὰ ταῦτα. A.

Fuit adnotatio de aoristo reduplicato πεπιθεῖν: v. A 100 et p. 11.

τὴν (φόρμιγγα) ἄρετ’ ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας: ἡ διπλῆ, ὅτι ἀστεῖον τὸ μὴ οἴκοθεν κο-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μίσαι ὥσπερ μέλλοντα ἐν πολέμῳ ἄνεσιν ἔχειν, ἀλλ’ ἐκ τῶν λαφύρων ἀνῃρῆσθαι ἁρμόνιον καὶ οὐκ ἄμουσον. A.

Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ δέγμενος Αἰακίδην. ἡ διπλῆ, ὅτι οὐ μόνος ἐν τῇ κλισίᾳ, ἀλλὰ μόνος Αἰακίδην δεδεγμένος ἀντίος ἧστο· καὶ γὰρ Αὐτομέδων ἐπὶ τῆς κλισίας ἦν, ὁμοίως καὶ ὁ Φοῖνιξ. A. ἐπὶ τῆς σκηνῆς X 378.

τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσ-σεύς: ἡ διπλῆ, ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυικόν· παρόντος γὰρ τοῦ Φοίνικος ἀπίθανον λέγειν ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς. A. Cf. ad 657.

χαίρετον. ἦ φίλοι ἄνδρες ἱκάνετον: ἡ διπλῆ, ὅτι χωρὶς τοῦ δυικῶς ἐσχηματίσθαι πρὸς Ὀδυσσέα καὶ Αἴαντα, καὶ τὰ τῆς διαθέσεως οὐκ ἐμφαίνει συμπαρόντα τὸν Φοίνικα· οὐ γὰρ ἂν οὕτως ἐκπλαγεὶς ἀνεπήδησεν, ἢ ἐδεξιοῦτο ὡς αἰφνιδίως παραγενομένους. A.

αὖταρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ: ἡ διπλῆ ὅτι Εὐφορίων κρεῖον τὸ κρέας ἐξεδέξατο, Ὅμηρος δὲ τὸ κρεοδόχον ἀγγεῖον. καὶ πρὸς τὸ ἐν πυρὸς αὐγῇ, τὸ ἀπὸ (legendum τόπον ἀπὸ vel ὑπό) τοῦ πυρὸς φωτιζόμενον. A. In sch. vulg. ad ψ 89 explicatur ἐν πυρὸς αὐγῇ: ἐν τῷ πεφωτισμένῳ καὶ πεφλογισμένῳ ἀπὸ τοῦ πυρός. Cf. BQ ad τ 55. Sed ς 44 γαστέρες αἵδ’ αἰγῶν κέατ’ ἐν πυρί Aristarchus dicitur explicuisse παρὰ πυρί (cf. p. 28). ὁ δὲ Ἀριστοφάνης ἐν πυρί, ἐν τῷ καταφωτιζομένῳ τόπῳ ὡς ἐν Ἰλιάδι (h. l.). BQ.

αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη: ἔν τισι γράφεται αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ. γελοῖον δὲ πυρὸς ἄνθος ὡς ῥόδων ἄνθος, τοῦ ποιητοῦ τὸ πῦρ δεινοποιήσαντος. A. Cf. ad Ψ 228.

θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον ὃν ἑταῖρον· ὁ δ’ ἐν πυρὶ βάλλε θυηλάς: ἡ διπλῆ, ὅτι θῦσαι οὐ σφάξαι, ὡς ὁ Τιμόθεος ὑπέλαβεν καὶ Φιλόξενος, ὁμοίως τῇ ἡμετέρᾳ συνηθείᾳ, ἀλλὰ θυμιᾶσαι. καὶ ὅτι θυηλὰς τὰς ἐπιθυομένας ἀπαρχάς. καὶ ἐν Ὀδυσσείᾳ (ξ 446) ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖς αἰ-

ειγενέτῃσιν. A. ὡς ante ὁ Τιμόθεος ins. L. Ar. 92.
book 222.1 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον
book 222.2 ἕντο: κυκλικώτερον κατακέχρηται τῷ στίχῳ, δεδειπνηκότων
book 222.3 αὐτῶν πρὸ ὀλίγου. οὐ γὰρ ἤρων δαιτός. A. Cf. ad Ω 628
book 222.4 et Didymum ad h. l. De κυκλικώτερον v. adnot. ad O 610.
book h224-7.1 πλησάμενος δ’ οἴνοιο δέπας δείδεκτ’ Ἀχιλῆα.
book h224-7.2 „χαῖρ’ Ἀχιλεῦ. δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευῇ
book h224-7.3 ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο
book h224-7.4 ἠδὲ καὶ ἐνθάδε νῦν“.
book 224.1 ἡ διπλῆ πρὸς τὸ ἔθος ὅτι πλήρη καὶ οὐ κενὰ προΰ-
book 224.2 πινον ὀρέγοντες τὰ ποτήρια (Ar. 198). δεῖ δὲ νοῆσαι ὅτι
book 224.3 κατὰ τὸ σιωπώμενον ἐδέξατο ὁ Ἀχιλλεύς. ἰδίως δὲ οὐχ ὑπέ-
book 224.4 θηκε καί μιν φωνήσας. A. Neque omissum fuerit, ὅτι οἱ
book 224.5.1 ἑστιώμενοι παρ’ Ὁμήρῳ τοῖς ἑστιῶσι προπίνουσιν, ὡς Ὀδυσ-
book 224.5.2 σεὺς Ἀχιλλεῖ, καὶ Εὐμαίῳ ὁ αὐτός: Harl. Cram. ad ν 59,
book 224.5.3 cf. ad ν 25.
book 225.1 ἡ διπλῆ, ὅτι προστιθέασί τινες τὸ ς, οὐκ ἐπι-
book 225.2 δευεῖς, κακῶς. οὗτοι δὲ καὶ τὸ ἑξῆς περισπῶσιν ἠμὲν ἐνὶ
book 225.3 κλισίῃ, ἦμεν ἐτυγχάνομεν. Ἀρίσταρχος δὲ χωρὶς τοῦ ς.
book 225.4 A. τινὲς ins. L. Ar. 381. Coaluisse videtur ex Aristonico
book 225.5 et Didymo.
book 234.1 (Trojani) οὐδ’ ἔτι φασίν
book 234.2 σχήσεσθ’ ἀλλ’ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
book 235.1 ὅτι ἐπὶ τῶν Τρώων ἐστίν· ἐμπεσοῦνται ταῖς ναυ-
book 235.2 σίν, ἐνσείσουσιν (v. ad O 56). V.
book 241.1 στεῦται γὰρ (Hector) νηῶν ἀποκόψειν ἄκρα
book 241.2 κόρυμβα: διορίζεται· στάσιν γὰρ ψυχῆς σημαίνει ἡ λέξις.
book 241.3 ἡ δὲ ἐπαναφορὰ τῆς σημειώσεως πρὸς τὸ ἐν Ὀδυσσείᾳ (λ 584)
book 241.4 στεῦτο δὲ διψάων, A. Ar. 106.
book 242.1 αὐτάς τ’ ἐμπλήσειν μαλεροῦ πυρός: ἡ διπλῆ,
book 242.2 ὅτι Ἀρίσταρχος ἐμπλήσειν (vulgo ἐμπρήσειν). σημειοῦνται
book 242.3 δέ τινες, ὅτι ἀντὶ τοῦ μαλερῷ πυρί (cf. 254). A. An hi lege-
book 242.4 runt ἐμπρήσειν? Res obscura est. V. p. 21. ὅτι ante ἀντί ins. L.
book 246.1 φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἄργεος ἱπποβό-
book 246.2 τοιο: σημειοῦνταί τινες ὅτι τὴν ὅλην Πελοπόννησον· τὸ
book 246.3 δὲ ὄνομα οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ. A. Inseruimus
book 246.4 τὸ δὲ ὄνομα, tale quid enim excidisse videtur.
book 246.5.1 ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεύς
book 246.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤματι τῷ, ὅτε ς᾽ ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν,
book 254.1 „τέκνον ἐμόν“: σημειοῦνταί τινες ὅτι παρεῖται τὸ
book 254.2 τάδε λέγων (cf. p. 17). A. Et quia cum his mandatis pugnant
book 254.3 ea quae mandasse dicitur Peleus in loco reprobato Λ 767—85.
book 261.1 (Agamemnon) ἄξια δῶρα δίδωσι μεταλλήξαντι
book 261.2 χόλοιο: ὅτι ἀντιφράζει τῇ μήνιδι τὸν χόλον. A. Ar. 138.
book 262.1 εἰ δὲ σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι
book 262.2 καταλέξω: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἐγὼ δ᾽ ἂν
book 262.3 σοὶ καταλέξαιμι, ἢ περισσὸς ὁ κέ. A. Scripsi ἤ pro καί. V. p. 9.
book 270.1 δώσει δ᾽ ἑπτὰ γυναῖκας ἀμύμονα ἔργα ἰδυίας
book 270.2 Λεσβίδας: ἡ διπλῆ ὅτι τὰς ζʹ Λεσβίδας ὑπισχνεῖται,
book 270.3 οὐχ ὡς ὁ Ζηνόδοτος (131) ἐν ταῖς ζʹ καὶ τὴν Βρισηίδα τάτ-
book 270.4 τει· ἔστι γὰρ Λυρνησσία. A.
book 279.1 νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι:
book 279.2 ἀντὶ προστακτικοῦ. A. Cf. p. 14.
book 297.1 οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσονται: ἡ
book 297.2 διπλῆ ὅτι τῷ παθητικῷ ἀντὶ τοῦ ἐνεργητικοῦ ἐχρήσατο·
book 297.3 οὕτως γὰρ Ἀρίσταρχος τιμήσονται, ὡς ἐλεύσονται (cf. p. 2).
book 297.4 A. Cod. bis ωνται. Et omissum erit ὅτι περισσὸς ὁ κέ (cf.
book 297.5 p. 11.). L.
book 313.1 ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο
book 313.2 δὲ εἴπῃ: ἡ διπλῆ, ὅτι δοκεῖ συγκεχύσθαι τὸ ἄλλο πρὸς τὸ
book 313.3 ἕτερον· ἔδει γὰρ ἕτερον δὲ εἴπῃ, ἑτέρου πρὸς ἕτερον ἀντι-
book 313.4 διαστελλομένου· τὸ γὰρ ἄλλο ἐπὶ πλειόνων τίθεται. A. τὸ
book 313.5 ἄλλο πρὸς ante τὸ ἕτερον ins. L. v. ad 473.
book h323-5.1 ὡς δ᾽ ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσιν
book h323-5.2 μάστακ᾽, ἐπεί κε λάβῃσι, κακῶς δ᾽ ἄρα οἱ πέλει
book h323-5.3 αὐτῇ,
book h323-5.4 ὣς καὶ ἐγὼν πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον.
book 324.1 ὅτι οἱ γλωσσογράφοι (Ar. 45) μάστακα τὴν ἀκρίδα,
book 324.2 δέον μάσημα καὶ βρῶμα. ἐνιότε δὲ καὶ αὐτὸ τὸ στόμα
book 324.3 ὁμωνύμως, καθάπερ [τὸ] χοίνικα τὸ μετροῦν καὶ τὸ μετρού-
book 324.4 μενον· ἀλλ᾽ Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν
book 324.5 (δ 287). A. Ar. 71. Cod. μέτρον pro μετροῦν: cf. ad Φ 502.
book 325.1 Annotatum fuit ἰαύειν nunc non idem esse atque
book 325.2 καθεύδειν sed ἐπαυλίζεσθαι: Τ 71.
book 327.1 ἀνδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετε-
book 327.2 ράων: ἡ διπλῆ ὅτι ὄαροι αἱ τῶν ἀνδρῶν καὶ γυναικῶν ὁμι-
book 327.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λίαι. νῦν δὲ λέγει τῶν γυναικῶν. A. Pro ὄαροι (Apollon.
book 327.4 lex. 118, 14) cod. ἄοροι.
book 328.1 δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ’ ἀν-
book 328.2 θρώπων. Annotatum fuit, Achillem semel dici πτολίπορθον:
book 328.3 Φ 55. Cf. ad O 56.
book 338.1 τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ’ ἀγείρας: ἡ
book 338.2 διπλῆ ὅτι οὕτως εἴωθε λέγειν ἀναγωγὴν καὶ ἀνάπλουν τὸν
book 338.3 ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν πλοῦν, διὰ τὸ τὰ πρὸς ἄρ-
book 338.4 κτους ὑψηλότερα εἶναι. A. v. Γ 48.
book 346.1 ἀλλ’ Ὀδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσιν
book 346.2 φραζέσθω νήεσσιν ἀλεξέμεναι δήιον πῦρ: ἡ διπλῆ
book 346.3 πρὸς τὸ ἐν Ὀδυσσείᾳ (θ 75) ζητούμενον νεῖκος Ὀδυσ-
book 346.4 σῆος καὶ Πηλείδεω Ἀχιλῆος, ὅτι ἐμφαίνει καὶ νῦν
book 346.5.1 ἀναιρῶν τὴν ἐπιχείρησιν τῶν περὶ Ὀδυσσέα (cod. εως) λεγόν-
book 346.5.2 των βουλῇ καὶ λόγῳ αἱρεθήσεσθαι τὴν πόλιν (i. e. elevans ob-
book 346.5.3 jecta sibi ab Ulixe, qui consilio et ratione urbem expugnatum iri
book 346.5.4 affirmaret). νῦν γὰρ οἷον ἐπισαρκάζων λέγει. A. Ar. 178.
book 354.1 ἀλλ’ ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν
book 354.2 ἵκανεν: ἡ διπλῆ ὅτι πληθυντικῶς εἶπε τὴν πύλην μίαν
book 354.3 οὖσαν (Ar. 129). Σκαιαὶ δὲ καὶ Δαρδάνιαι αἱ αὐταί. ἡ δὲ
book 354.4 δρῦς πρὸ τῆς Ἰλίου ἦν. A. Cf. E 789. Ar. 231.
book 364.1 ἔστι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐν-
book 364.2 θάδε ἔρρων: ὅτι τὸ ἔρρων οὐ λέγει ψιλῶς παραγινόμενος,
book 364.3 ἀλλὰ δυσαρεστῶν τῇ παρουσίᾳ φησίν, ἐνθάδε μετὰ φθορᾶς
book 364.4 παραγενόμενος. AB. Ar. 109.
book 367.1 ἄξομαι, ἅσς’ ἔλαχόν γε: ἡ διπλῆ ὅτι παραπλη-
book 367.2 σίως καὶ κατ’ ἀρχὴν τῆς μήνιδος λέγει τῶν δ’ ἄλλων ἅ
book 367.3 μοί ἐστι (A 300). τὰ μὲν γὰρ ἄλλα κατὰ κλῆρον ἔλαβε,
book 367.4 τὴν δὲ Βρισηίδα ἐξαίρετον παρ’ Ἀγαμέμνονος. A.
book 378.1 τίω δέ μιν ἐν καρὸς αἴσῃ: ἡ διπλῆ ὅτι συνέ-
book 378.2 σταλται Ἰακῶς ἐν καρός ἀντὶ τοῦ ἐν κηρός· ὅμοιον γάρ ἐστι
book 378.3 τῷ ἶσον γάρ σφισι πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ
book 378.4 (Γ 454). A. Cf. λάκε pro ἔληκε Ξ 25, λελασμένος Π 776,
book 378.5.1 Ἀπειραίη η 8 (Pal.) Fortasse huc relatum etiam ἔστασαν pro
book 378.5.2 ἔστησαν M 56.
book h383-4.1 (Thebae Aegyptiae) αἵ τ’ ἑκατόμπυλοί εἰσι, διηκό-
book h383-4.2 σιοι δ’ ἀν’ ἑκάστας
book h383-4.3 ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν.
book 383.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι ἀν’ ἑκάστας πληθυντικῶς τὰς πύλας,
book 383.2 ὡς εἶναι ἑκατὸν τάγματα· οὕτως δὲ ἀν’ ἑκάστας δεῖ γρά-
book 383.3 φειν· οὐδέποτε γὰρ ἑνικῶς Ὅμηρος πύλην φησίν, ἀλλὰ πύ-
book 383.4 λας. A. Ar. 129.
book 385.1 οὐδ’ εἴ μοι τόσα δοίη ὅσα ψάμαθός τε κό-
book 385.2 νις τε: ἡ διπλῆ πρὸς τὴν διαφορὰν τῆς ψαμάθου καὶ ἀμά-
book 385.3 θου, ὅτι ἡ παραθαλάσσιος ψάμαθος, κόνις δὲ ἡ πεδιὰς
book 385.4 ἄμμος· καὶ οὐ δὶς τὸ αὐτὸ λέγει. A. οὐ δίς pro οὐδείς
book 385.5 emend. Lehrs. qu. ep. p. 334 not. Cf. Ar. 128.
book 395.1 πολλαὶ Ἀχαιίδες εἰσὶν ἀν’ Ἑλλάδα τε
book 395.2 Φθίην τε: ἡ διπλῆ ὅτι τὴν Θετταλίαν οὕτως λέγει μόνην,
book 395.3 τὴν δὲ ὅλην ἤπειρον οὐκ οἶδεν οὕτως καλουμένην. νόθα οὖν
book 395.4 ἐκεῖνα ἐγχείῃ δ’ ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς
book 395.5.1 (Β 530) καθ’ Ἑλλάδα καὶ μέσον Ἄργος (δ 726). A.
book 395.5.2 Ar. 233.
book 401.1 οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον οὐδ’ ὅσα φασίν
book 401.2 Ἴλιον ἐκτῆσθαι: ἐνίους φησὶν ὁ Ἀρίσταρχος γράφειν
book 401.3 οὐ γὰρ ἐμῆς ψυχῆς. ἀλαζονικὸς δὲ ὁ λόγος, οὐδὲν τῆς
book 401.4 ἐμῆς ψυχῆς ἄξιον. ἄμεινον ἐμοί γράφειν. A. Hoc scholium
book 401.5.1 Didymi esse videtur. Sed diple in textu Ven. nisi errore huic
book 401.5.2 versui addita est, indicat etiam Aristonici ad hunc locum fuisse
book 401.5.3 adnotationem, sive de eadem re dixit sive de alia.
book h404-5.1 οὐδ’ ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
book h404-5.2 Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ·
book 404.1 ἡ διπλῆ πρὸς τοὺς γλωσσογράφους (Ar. 45), ἀφή-
book 404.2 τορος τοῦ στροφέως ἀποδιδόντας. καὶ Ζηνόδοτος δὲ οὕτως
book 404.3 ἐκδέδεκται· τὸν γὰρ ἑξῆς μετέγραφε νηοῦ Ἀπόλλωνος.
book 404.4 ἀφήτορα δὲ τὸν Ἀπόλλωνα ἐπιθετικῶς, οὐ κοινότερον, ἀλλὰ
book 404.5 τὸν Πύθιον, οἷον ὁμοφήτορα, διὰ τὸ εἰς λόγους ἔρχεσθαι
book 404 τοῖς χρησμῳδουμένοις. A.
book 405.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει νηοῦ
book 405.2 Ἀπόλλωνος. A.
book 410.1 μήτηρ γάρ τέ μέ φησι θεὰ Θέτις ἀργυρόπεζα,
book 410.2 διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλος δέ.
book 410.3 Adnotatio fuit de duobus Achillis fatis: N 663.
book 415.1 ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰών
book 415.2 ἔσσεται, οὐδέ κέ μ’ ὦκα τέλος θανάτοιο κιχείη.
book 416.1 ἀθετεῖται, ὅτι νομίσας τις κρέμασθαι τὸν λόγον
book 416.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσέθηκεν αὐτόν (Ar. 350). καὶ γὰρ κατὰ τὸ περισσὸν ἐπιλέγεται, οὐδέ κέ μ’ ὧκα. δεῖ οὖν κοινὸν λαβεῖν τὸ ἔσται ἀπὸ τοῦ προκειμένου τοῦ ἄφθιτον ἔσται (v. 413). A. περισσόν L. pro κοινόν.

Ἰλίου αἰπεινῆς: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

οὐδ’ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτός,
γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα.

ἡ διπλῆ ὅτι οὐ λέγει νέον κατὰ τὴν ἡλικίαν ἀλλὰ κατὰ μεσότητα, ἀντὶ τοῦ νεωστὶ ἡβῶντα (Ar. 153. cf. p. 29). A.

Ἑλλάδα: ἡ διπλῆ ὅτι πάλιν τὴν Θετταλικὴν πόλιν οὕτως εἶπεν (Ar. 233): καὶ ὅτι Ζηνόδοτος τοῖον ὅτε πρῶτον, ἐξ οὗ φανερός ἐστι τὸ νέον ὀνοματικῶς δεδεγμένος (i. e. ut nomen. ὄνομα nomen substantiv. P 86, adjectiv. B 697). A.

μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱόν: ἡ διπλῆ ὅτι τινὲς γράφουσιν ἐμοῖσιν. λέγει δὲ οὐ περὶ ἑαυτοῦ ὁ Φοῖνιξ, ἀλλὰ περὶ τοῦ Ἀμύντορος. A.

τὸν μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέι χαλκῷ
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ’ ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ’ ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ’ Ἀχαιοῖσιν καλεοίμην.

Hos quatuor expunctos ab Aristarcho (Plutarch. de audiend. poet. p. 26 F.) primus restituit F. A. Wolfius, v. Prolegom. p. 38, 262, praefat. ad Iliad. p. 86. Lehrs. Aristarch. p. 355.

πῦρ, ἕτερον μὲν ὑπ’ αἰθούσῃ εὐερκέος αὐλῆς,
ἄλλο δ’ ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων:

ἡ διπλῆ ὅτι πάλιν (313) δοκεῖ τὸ ἄλλο πρὸς τὸ ἕτερον συγκεχύσθαι. πιθανεύονται δὲ οἱ λέγοντες τρία φῶτα εἶναι, ἓν μὲν ὑπὸ ταῖς αἰθούσαις, ἕτερον δὲ ἐν τῷ οἴκῳ, ἄλλο δὲ ἐν τῷ προδόμῳ τοῦ οἴκου· ἀπίθανον γάρ φασιν εἶναι ἐν μὲν τῷ προδόμῳ πῦρ εἶναι, ἐν δὲ τῷ οἴκῳ ἐλλείπειν. A. Apparet Aristonicum ante oculos habere ὑπ’ αἰθούσῃ, sed Didymus ἐν αἰθούσῃ Aristarcheam esse dicit. οἱ ante λέγοντες inserui.

ὅτι πληθυντικῶς θύρας· ἀντὶ τοῦ θύραν. A. Ar. 130 not.

φεῦγον ἔπειτ’ ἀπάνευθε δι’ Ἑλλάδος εὐ-

ρυχόροιο: Ἑλλὰς πόλις ὁμώνυμος τῇ χώρᾳ (cf. ad 447,
book 478.3 et ad 395). Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες
book 478.4 (B 684). A. Ar. 233.
book 481.1 καί με φίλης' ὡς εἴ τε πατὴρ ὃν παῖδα φι-
book 481.2 λήσῃ: ἡ διπλῆ ὅτι τὸ ἐφίλησε (sic) κατὰ τὴν ἡμετέραν χρῆ-
book 481.3 σιν (Ar. 150). καὶ ὅτι πρεσβύτερος Πηλεὺς Φοίνικος (Ar. 188). A.
book 484.1 ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσ-
book 484.2 σων: Δολόπων (cf. p. 23). μέρος τῆς Φθιώτιδος χώρας· διὸ
book 484.3 καὶ παραλέλοιπεν αὐτοὺς ἐν τῷ καταλόγῳ (Ar. 236). A.
book 484.4 πρίν γ' ὅτε δή ς' ἐπ' ἐμοῖσιν ἐγὼ γούνεσσι κα-
book 484.5 θίσσας
book 489.1 ὄψου τ' ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών: ὅτι
book 489.2 πᾶν τὸ προσεσθιόμενον ὄψον ἔλεγον οἱ παλαιοί (Ar. 153).
book 489.3 καὶ ὅτι οὐχ ὑπὸ Χείρωνος ἐτράφη ὁ Ἀχιλλεύς, ἀλλὰ τὴν
book 489.4 ἰατρικὴν μόνον ἐπαιδεύθη. A. Ar. 190. Cf. BL ad 486.
book h505-7.1 ἡ δ' ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
book h505-7.2 πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ'
book h505-7.3 αἶαν
book h505-7.4 βλάπτους' ἀνθρώπους· αἱ δ' ἐξακέονται ὀπίσσω.
book 505 ὅτι οὕνεκα ἀντὶ τοῦ τούνεκα. A. Ar. 153.
book 506.1 ἐκτατέον τὸ φθάνει διὰ τὸ μέτρον. ἡ δὲ διπλῆ
book 506.2 περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει φθανέει (cf. ad Φ 262). A.
book 507.1 Adnotatum fuit, ex hoc effictum esse versum re-
book 507.2 jectum T 94.
book 509.1 ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἄσσον ἰούσας,
book 509.2 τὸν δὲ μέγ' ὤνησαν: ὅτι περισσὸς ὁ δέ σύνδεσμος
book 509.3 (p. 33): διὸ οὐ δεῖ συνεγκλίνειν τῷ ἄρθρῳ τὸν σύνδεσμον, A.
book 509.4 Aristonici et Herodiani notae coaluisse videntur, qua de re v.
book 509.5 Lehrs. in Herodiano.
book 520.1 (Phoenix loquitur) ἄνδρας δὲ λίσσεσθαι ἐπιπρο-
book 520.2 ἕηκεν ἀρίστους: ἡ διπλῆ ὅτι οὐ συμπεριλαμβάνει ἑαυτὸν
book 520.3 ὁ Φοῖνιξ, ὡς ἂν μηδὲ χώραν ἔχων πρεσβευτοῦ. A.
book 527.1 μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον
book 527.2 γε: ἡ διπλῆ ὅτι τὸ νέον νεωστί. A. Ar. 153.
book 529-31.1 Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενε-
book 529-31.2 χάρμαι—
book 529-31.3 Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς:
book 529-31.4 ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησε (Ar. 13)
book 529-31.5

καὶ ὅτι λείπει ἡ περί, περὶ Καλυδῶνος (p. 26). A.

οἵῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο. ἢ λάθετ' ἢ οὐκ ἐνόησεν: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐκλάθετ' οὐδ' ἐνόησεν, ὥστε τὸ αὐτὸ διλογεῖσθαι. οὐκ ἐνόησε δὲ ὅτι διαφέρει· τὸ μὲν γὰρ ἐλάθετο, ἑκὼν παρ-έπεμψεν, τὸ δὲ οὐκ ἐνόησεν, οὐδὲ τὴν ἀρχὴν κατὰ νοῦν ἔσχεν. A. διλογεῖσθαι scripsit L. pro δεῖ λογίζεσθαι. —Suspicabar olim, pro ἑκὼν παρέπεμψεν scribendum esse ἄκων, sed injuria. Nam non modo B et L idem exhibent, sed etiam ADV ad Ξ 1 et Apollon. soph. 106, 20: et hic et illi ex Aristonico haurientes.

(aper) ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρά
αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μηλῶν.

ὅτι οἱ γλωσσογράφοι (Ar. 44) τὸ ἔθων ἀποδιδόασι βλάπτων. ἔστι δὲ ἐξ ἔθους ἐπιφοιτῶν. A. Cf. ad Π 260.

προθέλυμνα: ἡ διπλῆ ὅτι ἄλλα ἐπ' ἄλλοις· ἔνιοι δὲ πρόρριζα. A.

ὅτι μῆλα πάντα τὰ ἀκρόδρυα ἔλεγον οἱ παλαιοί, οὐχ ὡς ἡμεῖς εἰδικῶς (Ar. 108): καὶ ὅτι εἴωθεν ἡ σύν πρόθεσις ἐλλείπειν. (p. 25). A.

τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβης' ἀλεγεινῆς: ἡ διπλῆ ὅτι ἐκ τοῦ παρακολουθοῦντος (v. ad B 417) σημαίνει ἀνεῖλεν. καὶ ὅτι διὰ πυρὸς ἔθαπτον (Ar. 198). A.

ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων οἰδάνει ἐν στήθεσσι νόον, πύκα περ φρονεόντων: ἡ διπλῆ ὅτι οἰδάνει ἀντὶ τοῦ οἰδάνειν ποιεῖ, ὅμοιον τῷ πάντας μέν ῥ' ἔλπει (β 91) ἀντὶ τοῦ ἐλπίζειν ποιεῖ. A. Cf. ad E 37.

κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης—

τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ Ἀλκυόνην καλέεσκον ἐπώνυμον: ἡ διπλῆ ὅτι οὐ τὴν Μάρπησσαν, ἀλλὰ τὴν Κλεοπάτραν. ABL.

πόλλ' ἀχέους' ἠρᾶτο κασιγνήτοιο φόνοιο: ἡ διπλῆ ὅτι λείπει ἡ περί (cf. p. 26). AB. Fortasse etiam verba praecedentia: τοῦ ἀδελφικοῦ Aristonici sunt, et forma scholii

Eulogikon public reading copy · View original HTML at eulogikon.org

fuerit haec: τοῦ ἀδελφικοῦ· διὸ ἡ διπλῆ· καὶ ὅτι κτλ. — Verba τοῦ κασιγνητικοῦ ex hoc loco male translata sunt ad sch. v. 632.

πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
κικλήσκους' Ἀίδην καὶ ἐπαινὴν Περσεφόνειαν,
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινύς
ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.

ἡ διπλῆ ὅτι οἱ τοὺς χθονίους θεοὺς ἐπικαλούμενοι ταῖς χερσὶ τὴν γῆν ἐπέκρουον. A.

ἡ διπλῆ ὅτι ἐπικαλεῖται μὲν τὸν Ἅιδην καὶ τὴν Περσεφόνην, ὑπακούουσι δὲ αἱ Ἐρινύες ὡς ὑπηρετίδες (Ar. 185). AB.

ἡ διπλῆ ὅτι αἱ Ἐρινύες ὥσπερ ὑπηρετίδες ὑπακούουσιν, καὶ οὐ μάχεται τὸ κικλήσκους' Ἀίδην καὶ ἐπαινὴν Περσεφόνειαν (Ar. 185). A.

πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους: ὅτι ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν. A.

ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι: ἡ διπλῆ ὅτι συντελικῶς τὸ ἑλέσθαι. A. Cf. p. 5.

ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

ἀμαθύνει: ὅτι ἄμαθον ποιεῖ· οὕτως δὲ λέγει τὴν πεδιάσιμον κόνιν. ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων κύνες διημάθυνον ἄνδρα δεσπότην (fr. 257 Hermann.) A. Ar. 128.

ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει τέκνα δὲ δήιοι ἄγουσι. A.

ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ εἴξας ᾧ θυμῷ: ἡ διπλῆ ὅτι οὐ τῷ θυμικῷ πάθει λέγει, ἀλλὰ τῇ ἐπιθυμίᾳ ὑποχωρήσας, ἀντὶ τοῦ οὐκ ἀντιταξάμενος. A.

οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι, πόλεμόν περ ἀλαλκών: ἡ διπλῆ ὅτι τινὲς προφέρονται τιμῆς (ὡς φωνῆς) ἵν' ᾖ τιμήεις. Ὁμηρικὸν δὲ τὸ τιμῆς ἔσεαι, ἀντὶ τοῦ τιμῆς μεθέξεις. καὶ ὁ Ἀχιλλεὺς ἀποκρινόμενός φησιν οὔ τί με ταύτης χρεὼ τιμῆς (607) A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φοῖνιξ, ἄττα γεραιέ: ἡ διπλῆ ὅτι τὸ ἄττα
book 607.2 προσφώνησίς ἐστι πρὸς τροφέα ἀμετάφραστος. A.
book 612.1 μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσιν ἀχεύων:
book 612.2 ὅτι Ζηνόδοτος γράφει ὀδυρόμενος, κινυρίζων, οἷον θρη-
book 612.3 νῶν. ἔστι δὲ οὐχ Ὁμηρικόν, καὶ παρὰ τὸ πρόσωπον. A.
book 616.1 ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς:
book 616.2 ὅτι τὸ μείρεο ἀντὶ τοῦ μερίζου, πρὸς Ζηνόδοτον μεταγρά-
book 616.3 φοντα ὅππoτε (immo ὅς ποτε) μειρόμενος, μέγα δ’
book 616.4 ἔστενεν ἀντὶ τοῦ μέγ’ ἐγήθεεν (H 127), ἵν’ ᾖ στερισκό-
book 616.5.1 μενος τῆς στρατείας. οὐ τίθησι δὲ τὸ μείρεσθαι ἀντὶ τοῦ
book 616.5.2 στερίσκεσθαι ἀλλ’ ἀντὶ τοῦ μερίζεσθαι. A.
book 619.1 φρασσόμεθ’ ἤ κε νεώμεθ’ ἐφ’ ἡμέτερ’ ἦ κε
book 619.2 μένωμεν: ἡ διπλῆ ὅτι οὐδέν ἐστι μαχόμενον, ἀλλ’ αἰδε-
book 619.3 σθεὶς παραπέπεισται. A.
book 620.1 ἦ, καὶ Πατρόκλῳ ὅ γ’ ἐπ’ ὀφρύσι νεῦσε σιωπῇ
book 620.2 Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
book 620.3 ἐκ κλισίης νόστοιο μεδοίατο.
book 621 ἡ διπλῆ ὅτι τὸ ὄφρα νῦν ἀντὶ τοῦ ἵνα κεῖται. A.
book 622.1 ἡ διπλῆ ὅτι νόστοιο μεδοίατο λέγει νόστου ἐπι-
book 622.2 μελοῖντο, πάλιν τῆς ἀφόδου μνείαν λάβοιεν οἱ περὶ Ὀδυσ-
book 622.3 σέα. A.
book 622.4 καὶ μέν τίς τε κασιγνήτοιο φονῆος
book 633.1 ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνηῶτος: ἡ διπλῆ,
book 633.2 ὅτι παρεῖται πρόθεσις [καὶ πτῶσις ἐνήλλακται], ἀντὶ τοῦ
book 633.3 καὶ μέν τίς τε παρὰ κασιγνήτου φονέως (cf. p. 26). καὶ πρὸς
book 633.4 τὸ ἡρωικὸν ἔθος. A. Et quod ποινή h. l. proprie pretium pro
book 633.5 caede solutum: Ar. 152.
book 638 νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ’ ἀρίστας:
book 638.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος ἐλέγχεται γράφων ἕξ, ἀτὰρ ἑβδο-
book 638.2 μάτην Βρισηίδα (T 245). χωρὶς γάρ εἰσιν αἱ ἑπτά (cf.
book 638.3 ad 131). A.
book 641.1 ὑπωρόφιοι δέ τοί εἰμεν
book 641.2 πληθύος ἐκ Δαναῶν: ὅτι Ζηνόδοτος γράφει
book 641.3 ἁθρόοι ἐκ Δαναῶν. πῶς δὲ ἁθρόοι ἐληλυθέναι δύνανται
book 641.4 δύο ὄντες; A.
book h656-7.1 ὣς ἔφαθ’, οἱ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον
book h656-7.2 σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ’
book h656-7.3 Ὀδυσσεύς.
book 656.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ, ὅτι ἥρμοζεν ἐπὶ τῶν δύο λέγειν ἑκάτερος,
book 656.2 διὰ δὲ τὸ μέτρον, [ἵνα τηρηθῇ τὸ τῆς λέξεως] οὕτως εἴρη-
book 656.3 ται· οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ τὸ ἑκάτερος. ἢ δεῖ λέγειν,
book 656.4 ὅτι καὶ ἐπὶ τῶν κηρύκων λέγει ἕκαστος. A. Verba ἵνα τηρηθῇ
book 656.5.1 τὸ τῆς λέξεως ab aliquo in margine videntur scripta fuisse, qui
book 656.5.2 significare voluit quorsum spectaret haec nota: ut servetur
book 656.5.3 propria vis vocabuli ἕκαστος.
book 657.1 ἡ διπλῆ ὅτι καὶ ἐν τοῖς ἔμπροσθεν ἡγεῖτο Ὀδυσ-
book 657.2 σεύς ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς (192). καὶ ὅτι οὐ συμ-
book 657.3 πρεσβεύει ὁ Φοῖνιξ, ἐπεί τοι κἂν ἀποπρεσβεύων ἡγεῖτο. A.
book 664.1 τῷ δ’ ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν
book 664.2 ἦγεν: ὅτι Ζηνόδοτος γράφει τῷ δὲ γυνὴ παρέλεκτο
book 664.3 Κάειρ’, ἣν Λεσβόθεν ἦγε. πῶς δὲ δύναται ἡ Καρίνη
book 664.4 Λεσβία εἶναι, εἰ μὴ ἄρα ῥητέον, ὅτι τὴν Λέσβον τότε Κᾶ-
book 664.5 ρες κατῴκουν; A.
book 668.1 (Achilles) Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτο-
book 668.2 λίεθρον: ἡ διπλῆ, ὅτι διὰ τούτων καὶ τὴν Σκῦρον πεπο-
book 668.3 λιορκημένην ὑπὸ Ἀχιλλέως μετὰ τῶν ἄλλων πόλεων παρα-
book 668.4 δίδωσι (Ar. 178). A.
book 682.1 αὐτὸς δ’ ἠπείλησεν ἅμ’ ἠοῖ φαινομένηφιν
book 682.2 νῆας ἐυσσέλμους ἅλαδ’ ἑλκέμεν ἀμφιελίσσας: ἡ
book 682.3 διπλῆ, ὅτι τὸ ἠπείλησε νῦν κατὰ τὴν ἡμετέραν χρῆσιν
book 682.4 (Ar. 150). A.
book h684-6.1 καὶ δ’ ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
book h684-6.2 οἴκαδ’ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
book h684-6.3 Ἰλίου αἰπεινῆς.
book 685.1 ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη·
book 685.2 οὐ γὰρ εἶπε δήουσιν ἀλλὰ δήετε. A. Cf. ad Ψ 855 et p. 17.
book 686 ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book h688-92.1 ὣς ἔφατ’· εἰσὶ καὶ οἵδε τάδ’ εἰπέμεν, οἵ μοι ἕποντο,
book h688-92.2 Αἴας καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
book h688-92.3 Φοῖνιξ δ’ αὖθ’ ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
book h688-92.4 ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ’ ἕπηται
book h688-92.5 αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ’ οὔ τι μιν ἄξει.
book 688-93.1 ἀθετοῦνται στίχοι πέντε ἕως τοῦ αὔριον,
book 688-93.2 ἢν ἐθέλῃσιν, ὅτι κοινότεροι τοῖς νοήμασι, καὶ τῇ συνθέ-
book 688-93.3 σει πεζότεροι, καὶ ὅτι ὡς ἀπιστησόμενος μάρτυρας ἐπισπᾶται.
book 688-93.4 A. κοινότεροι L. pro καὶ νεώτεροι.
book h693-4.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὣς ἔφαθ’, οἱ δ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
book h693-4 μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγό-
book h693-4.2 ρευσεν.
book 694.1 ὅτι ἐξ ἄλλων τόπων ἐστὶν ὁ στίχος· νῦν γὰρ οὐχ
book 694.2 ἁρμόζει· τότε γὰρ εἴωθεν ἐπιφωνεῖσθαι, ὅταν ὁ αὐθεντῶν
book 694.3 τοῦ λόγου καταπληκτικά τινα προενέγκηται. νῦν δὲ πῶς
book 694.4 ἂν ἐπὶ Ὀδυσσέως λέγοιτο τοῦ μηνύοντος τὰ ὑπ’ Ἀχιλλέως
book 694.5 εἰρημένα; (v. ad H 404). A.
book 698.1 μηδ’ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα:
book 698.2 ἀντὶ τοῦ οὐκ (immo οὐδ’) ὄφελες. AD. Recepi hoc dubitan-
book 698.3 ter, cum propter diplen quae in textu est, tum propter adnot.
book 698.4 ad O 41.
book 699.1 ὁ δ’ ἀγήνωρ ἐστὶ καὶ ἄλλως: ἡ διπλῆ ὅτι ἐνίοτε
book 699.2 μὲν ἐπὶ ἐπαίνου ὁ ἀγήνωρ, ὁ ἄγαν τῇ ἠνορέῃ καὶ τῇ ἀν-
book 699.3 δρείᾳ χρώμενος, νῦν δὲ ἐπὶ ψόγου, ὁ ἄγαν ὑβριστικὸς καὶ
book 699.4 διὰ τῆς ἀνδρείας ὑπερπεπτωκὼς εἰς ὕβριν. A. Ar. 148.
book 708.1 καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
book 708.2 ὀτρύνων, καὶ δ’ αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι:
book 708.3 ἡ διπλῆ ὅτι τὸν λόγον τοῦτον ἀκήκοεν κατὰ τὸ σιωπώμενον
book 708.4 ὁ Ἀχιλλεύς. διό φησιν οὐ γὰρ Τυδείδεω Διομήδεος
book 708.5.1 ἐν παλάμῃσι Μαίνεται ἐγχείη (Π 74). καὶ ὅτι τῷ
book 708.5.2 ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ κέχρηται (cf. V. ad 708
book 708.5.3 et p. 14). καὶ ὅτι τῇ ἐχομένῃ Ἀγαμέμνων ἀριστεύει. A.
book 1.1 ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν:
book 1.2 παραιτητέον τοὺς γράφοντας ὧν ἐστὶ καὶ Ζηνόδοτος ὦλλοι
book 1 μέν (Cf. ad B 1, Ar. 377). AB.
book h5-7.1 ὡς δ’ ὅτ’ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠυκόμοιο—
book h5-7.2 τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν
book h5-7.3 ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας—
book h9-10.1 ὣς πυκίν’ ἐν στήθεσσιν ἀνεστενάχιζ’ Ἀγαμέμνων.
book h9-10.2 νειόθεν ἐκκραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός.
book 5.1 ἡ διπλῆ, ὅτι παραβάλλει τὸν στεναγμόν· ὡς δ’ ὅτ’
book 5.2 ἄν—οὕτως καὶ ἡ τοῦ Ἀγαμέμνονος ψυχὴ ἐστέναζεν. καθ’
book 5.3 ἕκαστα δὲ οὐκ ἐπεξείργασται, διότι οὐκ ἔστι πρὸς ἅπαντα ἡ
book 5.4 εἰκών. A.
book 6.1 Aristonicus sic fere videtur scripsisse: ὅτι νείφειν μὲν
book 6.2 τὸ χιονίζειν, ὄμβρον δὲ τὸν ὑετόν, χάλαζαν δὲ τὸ ἐν ὑετῷ
book 6.3 πεπηγὸς ὕδωρ. διὸ νῦν διαστέλλει ἕκαστον (Cf. ad M 280
book 6.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 170). Nunc haec leguntur in A: ὅτι ὑγιῶς χρώμενοι νεί-
book 6.5 φειν μὲν λέγουσι τὸ χιονίζειν κτλ.
book 10.1 τρομέοντο: ὅτι Ζηνόδοτος γράφει φοβέοντο.
book 10.2 τὸν δὲ φόβον εἴωθε λέγειν Ὅμηρος τὴν μετὰ φυγῆς δειλία-
book 10.3 σιν (cf. ad Δ 456). ἐλέγχεται δὲ ὁ Ζηνόδοτος ἁμαρτάνων ἐκ
book 10.4 τοῦ ὣς δ’ αὔτως Μενέλαον ἔχε τρόμος (25). A.
book 13.1 αὐλῶν συρίγγων τ’ ἐνοπήν, ὁμαδόν τ’ ἀνθρώ-
book 13.2 πων: ἡ διπλῆ ὅτι ἐνθάδε καὶ ἐπὶ τῆς ὁπλοποιίας τῶν αὐ-
book 13.3 λῶν μέμνηται· αὐλοὶ φόρμιγγές τε βόων (Σ 495). A.
book 13.4 Ar. 198.
book 23.1 ἀμφὶ δ’ ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα
book 23.2 λέοντος: ἡ διπλῆ ὅτι ἐπὶ τῷ χιτῶνι λεοντῆν τέθεικεν ἀντὶ
book 23.3 τῆς χλανίδος· διὸ καὶ ἑξῆς (34) λέγει τὸν δ’ εὗρ’ ἀμφ’
book 23.4 ὤμοισι τιθήμενον ἔντεα καλά. ἔντεα δὲ ἀπὸ τοῦ ἐν-
book 23.5.1 τὸς ἔχειν τὸν ἄνδρα (Ar. 147). καὶ ὅτι οὐ καθοπλίζονται
book 23.5.2 νύκτωρ, ἀλλ’ ἕνεκα φυλακῆς ὁ μὲν παρδαλῆν ἐνδύεται (Me-
book 23.5.3 nelaus v. 29), οἱ δὲ λεοντῆν (praeter Agamemnonem Diome-
book 23.5.4 des 177). A. χλανίδος scr. L. pro ἀσπίδος, idem inseruit
book 23.5.5 verba: ὁ μὲν παρδαλῆν ἐνδύεται.
book 25.1 ὣς δ’ αὔτως Μενέλαον ἔχε τρόμος: ἡ διπλῆ
book 25.2 ὅτι ἀνταποδοτικόν ἐστι τοῦ ἄνω (10) [γράφειν] τρομέοντο
book 25.3 δέ οἱ· ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον. ABLV. γράφειν cor-
book 25.4 ruptum est. An fuit πρὸς τὴν Ζηνοδότου γραφήν?
book 27.1 πουλὺν ἐφ’ ὑγρήν: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι
book 27.2 ἀρσενικῶς, πουλὺν ὑγρήν. A. Cf. p. 31.
book 34.1 τὸν δ’ εὗρ’ ἀμφ’ ὤμοισι τιθήμενον ἔντεα
book 34.2 καλά: ὅτι ἔντεα εἴρηκεν, ἣν προσυνέστακε λεοντῆν (v. 23).
book 34.3 A. Cf. Ar. 147. Cod. προσυνέσταλκε. Emend. Lehrs. Hero-
book 34.4 dian. 460.
book 35.1 νηὶ παρὰ πρύμνῃ: ἡ διπλῆ ὅτι πτῶσις ἐνήλ-
book 35.2 λακται, ἀντὶ τοῦ παρὰ νηὸς πρύμνῃ. A. Cf. p. 22.
book h37-8.1 τίφθ’ οὕτως ἠθεῖε κορύσσεαι; ἦ τιν’ ἑταίρων
book h37-8.2 ὀτρυνέεις Τρώεσσιν ἐπίσκοπον;
book 37.1 ἡ διπλῆ ὅτι τὸ ἠθεῖε προσφώνησίς ἐστι σεπτικὴ
book 37.2 νεωτέρου πρὸς πρεσβύτερον λεγομένη (Ar. 154). A.
book 38.1 ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὀτρύνων. A. Cf. p. 14.
book 38.2 κερδαλέης (βουλῆς) ἥ τίς κεν ἐρύσσεται ἠδὲ σαώσει
book 45 Ἀργείους καὶ νῆας, ἐπεὶ Διὸς ἐτράπετο φρήν.
book 44.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι περισσὸς ὁ κέν σύνδεσμος, ἢ ῥῆμα
book 44.2 ἐνήλλακται, ἀντὶ τοῦ ἥτις ἂν ἐρύσσαιτο (cf. p. 11). καὶ
book 44.3 πρὸς τὸ ἐνθάδε Σίσυφος ἔσκεν ὁ κέρδιστος (Ζ 153).
book 44.4 A. Ar. 123.
book 45.1 ἐπεὶ Διὸς ἐτράπετο φρήν: ἡ διπλῆ ὅτι φανε-
book 45.2 ρῶς ὁ Ζεὺς ἐβοήθει τοῖς Ἕλλησι, πρὶν ἱκετευθῆναι ὑπὸ τῆς
book 45.3 Θέτιδος· καὶ ὅτι τὸ ἡμιστίχιον ὁ Ζηνόδοτος μετήνεγκεν ἐπὶ
book 45.4 τὸν Ἕκτορος λόγον κατὰ τὴν κόλον μάχην (Θ 501) A.
book 45.5 Ar. 191 sq.
book h51-2.1 ἔργα δ’ ἔρεξ’ ὅσα φημὶ μελησέμεν Ἀργείοισιν
book h51-2.2 δηθά τε καὶ δολιχόν· τόσα γὰρ κακὰ μησατ’
book h51-2.3 Ἀχαιούς.
book 51-2.1 ἀθετοῦνται στίχοι δύο ὅτι παλιλλογεῖ ταῦτα
book 51-2.2 (malim ὅτι παλιλλογεῖται)· δι’ ἄλλων γὰρ προείρηται ὅσς’
book 51-2.3 Ἕκτωρ ἔρρεξε διίφιλος υἷας Ἀχαιῶν (49). καὶ ὅτι ἐπὶ
book 51-2.4 ταὐτὸν φέρει δηθά καὶ δολιχόν. καὶ Ἀριστοφάνης προη-
book 51-2.5 θέτει. A.
book h53-4.1 ἀλλ’ ἴθι νῦν, Αἴαντα καὶ Ἰδομενῆα κάλεσσον
book h53-4.2 ῥίμφα θέων παρὰ νῆας·
book 53.1 ὅτι ἐκ τούτων καὶ τῶν τοιούτων τὰ περὶ τοῦ ναυ-
book 53.2 στάθμου ὁ Ἀρίσταρχος ἐπραγματεύσατο. ῥητῶς γὰρ λέγε-
book 53.3 ται πλησίον τοῦ Αἴαντος ὁ Ἰδομενεὺς νενεωλκηκέναι. A.
book 53.4 Ar. 230.
book 56 ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος: ὅτι οἱ γλωσσο-
book 56 γράφοι (Ar. 44) ἱερὸν τέλος τὸ μέγα τάγμα. A.
book 65.1 αὖθι μένειν: ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προσ-
book 65.2 τακτικοῦ, μένειν ἀντὶ τοῦ μένε. A. Cf. p. 14.
book 68.1 πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον:
book 68.2 ὅτι ἀρχαϊκὴ ἡ συνήθεια, ὥστε εἴ που τοιοῦτον εὑρίσκομεν,
book 68.3 εἰδέναι δεῖ ὅτι οὐκ ἐπιθέτου ἔχει χώραν. A. Hoc cur ad-
book 68.4 notaverit Aristarchus, vix potest explicari, nisi fuerunt, qui
book 68.5.1 patronymica quaedam pro epithetis haberent, qualia sunt Ἁρμονίδης
book 68.5.2 Ε 60 Ὀνητορίδης γ 282 Τερπιάδης χ 330. L.
book h75-6.1 παρὰ δ’ ἔντεα ποικίλ’ ἔκειτο
book h75-6.2 ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια.
book 75.1 ὅτι ἔντεα οὐ πάντα τὰ ὅπλα, ἀλλὰ κυρίως μὲν
book 75.2 ἀσπὶς καὶ περικεφαλαία, τὰ δὲ δόρατα κατ’ ἐπικράτειαν. A.
book 75.3 Ar. 147.
book 77.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος: ἡ διπλῆ ὅτι
book 77.2 δοκοῦσί τινες ταὐτὸν εἶναι ζῶμα καὶ ζωστῆρα· οὐκ ἔστι δέ,
book 77.3 ἀλλὰ ζῶμα καλεῖ τὸ συναπτόμενον ὑπὸ τὸν στατὸν θώρακα,
book 77.4 τὸ δὲ ἔξωθεν συνδέον πάντα ζωστῆρα. καὶ ὅτι τὸ παναίο-
book 77.5.1 λον ἐπὶ τῶν λαμπόντων. A. Post συναπτόμενον sequitur
book 77.5.2 τῇ μίτρᾳ, quod delendum esse monuit Lehrs. Ar. 125.
book 84.1 ἠέ τιν' οὐρήων διζήμενος ἤ τιν' ἑταίρων: ἀθε-
book 84.2 τεῖται ὅτι οὐρήων βούλεται (sc. ὁ διασκευαστὴς) λέγειν τῶν
book 84.3 φυλάκων, καὶ οὐκ ἐκράτησε τοῦ σχήματος· οὖρον γὰρ λέγει
book 84.4 ὡς κοῦρον τὸν φύλακα, οὐρέα δὲ τὸν ἡμίονον. καὶ ὅτι
book 84.5 ἄκαιρος ἡ ἐρώτησις. A.
book 98.1 μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνω
book 98.2 κοιμήσωνται: ἡ διπλῆ ὅτι Ζηνόδοτος μὴ νοήσας τὸ
book 98.3 σημαινόμενον γράφει ἀδηκότες ἡδέι ὕπνῳ κοιμήσωνται.
book 98.4 ἔτι δὲ καὶ νῦν λέγομεν ὕπνου μεστὸν οὐ τὸν ἐξυπνωκότα,
book 98.5 ἀλλὰ τὸν πολὺ τὸ ὑπνωτικὸν ἐν αὑτῷ ἔχοντα. A.
book 110.1 ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέος ἄλκιμον υἱόν:
book 110.2 ἡ διπλῆ ὅτι πλησίον τοῦ Λοκροῦ Αἴαντος ὁ Μέγης ἐνενεωλ-
book 110.3 κήκει· καὶ διέσταλκε δέ, προσθεὶς ταχύν. ἡ δὲ ἀναφορὰ
book 110.4 πρὸς τὰ περὶ (cod. τὸν ἐπὶ) ναυστάθμου. A. Corr. L. Ar. 230.
book 112.1 ἀντίθεόν τ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα:
book 112.2 πρὸς τὰ περὶ τοῦ ναυστάθμου, ὅτι πλησίον ὁ Ἰδομενεὺς
book 112.3 Αἴαντος τοῦ Τελαμωνίου ἐνενεωλκήκει. A. Ar. 230.
book 116.1 σοὶ δ' οἴῳ ἐπέτρεψεν πονέεσθαι: ἡ διπλῆ ὅτι
book 116.2 τὸ πονέεσθαι ἐπὶ τοῦ ἐνεργεῖν. A. Ar. 87.
book 118.1 χρειὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός: ἡ διπλῆ
book 118.2 ὅτι ἀνεκτὸς ἡ χρειώ, οὐκ ἀνεκτή. A. Cf. p. 31.
book 127.1 ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέθεσθαι: ὅτι
book 127.2 Ζηνόδοτος γράφει μίν (cf. ad A 73). ἔστι δὲ ἑνικὸν τὸ μίν,
book 127.3 βούλεται δὲ ὁ ποιητὴς διὰ τοῦ σφίν αὐτοῖς σημῆναι. A.
book 140.1 ἐκ δ' ἦλθε κλισίης (Ὀδυσσεύς): σημειοῦνταί τινες
book 140.2 ὅτι ἔνδον καθεύδει Ὀδυσσεύς, ἀλλ' οὐχ ὁ Διομήδης· ἐκτὸς
book 140.3 ἀπὸ κλισίης (151). A.
book 158.1 τὸν παρστὰς ἀνέγειρε Γερήνιος ἱππότα Νέστωρ,
book 158.2 λὰξ ποδὶ κινήσας, ὤτρυνέ τε νείκεσέ τ' ἄντην:
book 158.3 ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (ο 45) με-
book 158.4 τάκειται ἐπὶ τοῦ Πεισιστράτου, ἐπὶ κλινιδίου καθεύδοντος
book 158.5.1 παρὰ Μενελάῳ. πρὸς τί οὖν ποδί, ἀλλ' οὐχὶ τῇ χειρί; νῦν
book 158.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν γὰρ εἰκότως ἐπὶ τῆς γῆς κοιμώμενον οὕτως ἐγείρει. A.
book 158.5.2 Alterum ἐπί (ante κλινιδίου) inserui.
book 164.1 σχέτλιός ἐσσι γεραιέ· σὺ μέν πόνου οὔποτε
book 164.2 λήγεις: ἡ διπλῆ ὅτι σεπτικῶς τὸ σχέτλιος καὶ οὐ μεμπτι-
book 164.3 κῶς, εἰς ἑαυτὸν ἀγνώμων (Ar. 148). καὶ ὅτι πόνον τὴν ἐρ-
book 164.4 γασίαν (Ar. 87). A.
book 167.1 σὺ δ’ ἀμήχανός ἐσσι γεραιέ: ἡ διπλῆ ὅτι ἀμή-
book 167.2 χανος δύο σημαίνει, ἓν μὲν ἀνίκητος, ἓν δὲ ἀντὶ τοῦ πρὸς
book 167.3 ὃν οὐκ ἔστι μηχανὴν εὑρεῖν. ὅπερ καὶ νῦν σημαίνει, ἵνα
book 167.4 τῶν πόνων ἀποστῇ. A. Ar. 149.
book 173.1 νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται
book 173.2 ἀκμῆς: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ τὰ πράγματα ἡμῶν τριχὸς
book 173.3 ἤρτηται, ὅ ἐστιν ἐν ἐσχάτῳ κινδύνῳ ἐστὶν καὶ ἐπὶ ὀξύτητος
book 173.4 κινδύνων, μεταφορικῶς. A.
book 175.1 Αἴαντα ταχὺν καὶ Φυλέος υἱόν: ἡ διπλῆ, ὅτι
book 175.2 διαστέλλει τῷ ἐπιθέτῳ τὸν Λοκρὸν τοῦ Τελαμωνίου, καὶ πρὸς
book 175.3 Ζηνόδοτον γράφοντα ἐκεῖ (T 239) Φυλείδην τε Μέγην τε,
book 175.4 τὸν Φυλείδην οἰόμενον ὄνομα κύριον. A.
book h187-9.1 ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιιν ὀλώλει,
book h187-9.2 νύκτα φυλασσομένοισι κακήν· πεδίον δὲ γὰρ αἰεί
book h187-9.3 τετράφαθ’, ὁππότ’ ἐπὶ Τρώων ἀίοιεν ἰόντων.
book 187.1 ἡ διπλῆ ὅτι σαφῶς τὸ νήδυμος σὺν τῷ ν. καὶ ἐπὶ
book 187.2 τῶν ἀμφιβόλων οὖν οὕτως γράφεται. A. cf. ad B 2.
book 188.1 φυλασσομένοισι: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ φυλάσ-
book 188.2 σουσι, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. A. Cf. p. 2.
book 189.1 ἡ διπλῆ ὅτι οὐ λέγει ὁππότ’ ἀκούοιεν τῶν Τρώων
book 189.2 ἐπιόντων, τότε πρὸς τὸ πεδίον τετραμμένοι ἦσαν· οὐδὲ γὰρ
book 189.3 ἐπεληλύθεισαν· ἀλλὰ φοβούμενοι, μὴ ἐπελεύσονται οἱ Τρῶες,
book 189.4 τετραμμένοι ἦσαν πρὸς τὸ πεδίον. A.
book 195 ὅσοι κεκλήατο βουλήν: ὅτι ἐλλείπει ἡ εἴς, ἵν’
book 195 ᾖ εἰς βουλήν. A. Cf. p. 26.
book 199.1 ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος·
book 199.2 πρὸς Ἴστρον, ὅτι οὐ γέγονε νεκρῶν ἀναίρεσις. A. K 298,
book 199.3 Θ 491. Eodem pertinet observatio de abjectis cadaveribus
book 199.4 K 469. L.
book 205.1 ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ’ ἑῷ αὐτοῦ
book 205.2 θυμῷ τολμήεντι: ἡ διπλῆ ὅτι κατὰ τὸ πλῆρες τὰ
book 205.3 τοιαῦτα ἐκφέρει ἑῷ αὐτοῦ καὶ ἀλλ’ ἐμὸν αὐτοῦ χρεῖος
book 205.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(β 45) καὶ τὰ τοιαῦτα καὶ ἐπὶ τῶν πληθυντικῶν αὐτῶν γὰρ σφετέρησιν (α 7). τὸ γὰρ αὐτοῦ καὶ αὐτῶν κοινόν ἐστιν ἐπίταγμα τῶν τριῶν προσώπων. A. Ar. 9.

ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν
αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἦε πόλιν δέ
ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ’ Ἀχαιούς.

ἀστερίσκοι, ὅτι κακῶς ἐν τοῖς μετὰ ταῦτα (409) κεῖνται, ὅτε τὸν Δόλωνα συλλαμβάνουσιν οἱ περὶ Διομήδη. A.

τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν θῆλυν ὑπόρρηνον: ἡ διπλῆ ὅτι ἡ μὲν ἐπαγγελία τοῦ δώρου ῥητή, τὸ δὲ ἀποτέλεσμα ὑποσεσιώπηται· δεῖ δὲ ἡμᾶς συνεκδέξασθαι (cf. ad 571). A.

σύν τε δύ’ ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν
ὅππως κέρδος ἔῃ· μοῦνος δ’ εἴ πέρ τε νοήσῃ,
ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις.

ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ὅμοιόν ἐστιν ἐκείνῳ ἄμφω δ’ ἑζομένω (Γ 210). συνερχόμενοι δύο ἀντὶ τοῦ συνερχομένων. ἔνιοι δὲ μὴ νοήσαντες τὸ ν προστιθέασι, κακῶς. A. Cf. p. 19.

εἴ πέρ τε· ἡ διπλῆ ὅτι περισσὸς ὁ τέ. A. Cf. p. 34 et Ar. 17.

ἡ διπλῆ ὅτι οἱ γλωσσογράφοι (Ar. 45) βράσσων ἀντὶ τοῦ ἐλάσσων, ἀπὸ τοῦ βραχύς. ἀλλ’ οὐδαμοῦ κέχρηται τούτῳ Ὅμηρος. ἀποδοτέον οὖν βρασσόμενος, ταρασσόμενος διὰ τὸ δέος, οὐχ ἑστηκὼς διὰ τὴν ἀγωνίαν (cf. p. 3). ἅπαξ δὲ ἐνταῦθα κέχρηται τῇ λέξει. A. Verba ἀπὸ τοῦ βραχύς, ἀλλ’—inserui.

ὁ τλήμων Ὀδυσεύς: ἡ διπλῆ ὅτι τλήμονα οἱ νεώτεροι τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν τλητικόν, τὸν ὑπομενητικόν. A. Ar. 99.

ὣς ἔφατ’, ἔδδεισεν δὲ περὶ ξανθῷ Μενελάῳ: ἀθετεῖται, ὅτι περισσὸς ὁ στίχος καὶ παρέλκων, καὶ μὴ ἐπιλεγόμενος ἀπαρτίζει τὴν διάνοιαν. ἡ δὲ διπλῆ ὅτι ἔξωθεν ἐκ τοῦ ἰδίου προσώπου ἀναφωνεῖ, ὡς καὶ τὸ νήπιος, οὐδ’ ἄρ’ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας (Μ 113). οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν. A.

εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ’ αὐτὸν ἑλέ-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σθαι: ὅτι ἕταρον νῦν οὐ φίλον ἀλλὰ συνεργὸν λέγει. ἡ δὲ
book 242.3 ἀναφορὰ πρὸς τὸ ἑταιρίσσαιτο (Ν 456), ἀντὶ τοῦ συνερ-
book 242.4 γὸν λάβοι (Ar. 122). A.
book h252-3.1 ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκεν δὲ πλέων νύξ
book h252-3.2 τῶν δύο μοιράων, τριτάτη δ’ ἔτι μοῖρα λέλειπται.
book 252.1 ἡ διπλῆ διὰ τὸ πολυθρύλλητον ζήτημα καὶ τὰς
book 252.2 γεγονυίας ἀποδόσεις. A. Cf. ad I 71.
book 253.1 ἀθετεῖται, ὅτι αὔταρκες τὸ κεφαλαιωδῶς εἰπεῖν
book 253.2 ἄστρα δὲ δὴ προβέβηκε· τὸ γὰρ τοῦ καιροῦ τοῦτο ἀπαι-
book 253.3 τεῖ· τὸ δὲ προσδιασαφεῖν κατὰ τὸ ἀκριβὲς τὸ παρεληλυθὸς
book 253.4 καὶ τὸ περιλειπόμενον, ὥσπερ ἀστρονόμου τινός. οὐχ Ὁμη-
book 253.5.1 ρικὸν δὲ καὶ τὸ τῶν δύο. οἱ δύο μὲν γὰρ λέγει καὶ τοὺς
book 253.5.2 δύο, τῶν δύο δὲ ἢ τοῖς δύο οὐκ ἔστιν εὑρεῖν παρ’ Ὁμήρῳ.
book 253.5.3 Ζηνόδοτος οὐδὲ (ita pro δέ jam Bekk.) ἔγραφεν, Ἀριστοφά-
book 253.5.4 νης ἠθέτει. A.
book 258.1 (κυνέην) ταυρείην ἄφαλόν τε καὶ ἄλοφον: ἡ
book 258.2 διπλῆ ὅτι κυνέην μὲν καταχρηστικῶς τὴν ἐκ ταυρείου δέρ-
book 258.3 ματος, ἄφαλον δὲ καὶ ἄλοφον κατ’ ἐπιτήδευσιν, ἵνα λαν-
book 258.4 θάνῃ· φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπι-
book 258.5 δίσκια, λόφοι δὲ αἱ τριχώσεις. A.
book 265.1 μέσσῃ δ’ ἐνὶ πῖλος ἀρήρει (in galea Ulixis): ἡ
book 265.2 διπλῆ ὅτι τὸ κοινὸν καὶ συμβεβηκὸς ταῖς περικεφαλαίαις
book 265.3 εἰπόντος τοῦ ποιητοῦ, ζωγράφοι καὶ πλάσται πιλίον ἐπέθε-
book 265.4 σαν τῷ Ὀδυσσεῖ. A. Ar. 187.
book h266-8.1 τήν ῥά ποτ’ ἐξ Ἐλεῶνος Ἀμύντορος Ὀρμενίδαο
book h266-8.2 ἐξέλετ’ Αὐτόλυκος πυκινὸν δόμον ἀντιτορήσας,
book h266-8.3 Σκάνδειαν δ’ ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι.
book 266.1 Ἀμύντορος: ἡ διπλῆ ὅτι ὁμώνυμος οὗτος τῷ
book 266.2 τοῦ Φοίνικος πατρὶ, Βοιωτός· Ἐλεῶνος δὲ πόλεως. A.
book 268 Σκάνδειαν δ’ ἄρα: ἡ διπλῆ ὅτι οὕτως εἶπεν ἀντὶ
book 268.1 τοῦ εἰς Σκάνδειαν ἀπέστειλεν, ὡς πεύθετο γὰρ Κύπρον
book 268.2 δέ (Λ 21, ubi v.) ἀντὶ τοῦ εἰς Κύπρον ἠκούετο διὰ τὸ διαγ-
book 268.3 γέλλεσθαι ἐκ τόπου εἰς τόπον. A. Cf. ad v. 381, Ar. 140
book 268.5.1 Cur medio ἠκούετο usus sit pro activo, dicere nequeo. Quod
book 268.5.2 vitiose scriptum putarem (praesertim quum apud Apollon. constr.
book 268.5.3 288, 4 sit τὸ πεύθετο—σημαῖνον τὸ ἤκουε) nisi praeter
book 268.5.4 hunc locum bis legeretur Λ 21 Π 515.
book 277.1 χαῖρε δὲ τῷ ὄρνιθ’ Ὀδυσεύς: ὅτι ἐπὶ τῷ ὄρ-
book 277.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νιθι. καὶ ἐν Ὀδυσσείᾳ καί τέ σφιν ἰαίνομαι εἰσορόωσα (τ 537): ἐπ’ αὐτοῖς (cod. αὐτῷ). A. Cf. p. 27.

δὸς δὲ πάλιν ἐπὶ νῆας ἐυκλεΐας ἀφικέσθαι,
ῥέξαντας μέγα ἔργον, ὅ κε Τρώεσσι μελήσει.

ἡ διπλῆ, ὅτι τὸ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω (Ar. 100), καὶ ὅτι Ἰακὸν τὸ συστέλλειν, εὐκλεῖας καὶ δυσκλέα· οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὰ τοιαῦτα (cf. ad B 115). A.

ἡ διπλῆ ὅτι ὁ κέ (cod. καί) σύνδεσμος περιττός. A. Cf. p. 11.

ὅτε τε πρὸ Ἀχαιῶν ἄγγελος ᾔει: ἡ διπλῆ ὅτι ἡ πρό ἀντὶ τῆς ὑπέρ. A. Cf. p. 28.

βάν ῥ’ ἴμεν ὥς τε λέοντε δύω διὰ νύκτα μέλαιναν
ἂμ φόνον, ἂν νέκυας, διά τ’ ἔντεα καὶ μέλαν αἷμα.

διά τ’ ἔντεα καὶ μέλαν αἷμα: ἡ διπλῆ ὅτι ἐντεῦθεν τὸ ἡμιστίχιον μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα περὶ τῶν μονομαχούντων ψαύσῃ δ’ ἐνδίνων διά τ’ ἔντεα (Ψ 806). καὶ ὅτι πτῶσις ἐνήλλακται δι’ ἐντέων καὶ μέλανος αἵματος (cf. p. 21.). καὶ πρὸς Ἴστρον, ὅτι οὐ γέγονε νεκρῶν ἀναίρεσις, εἰ μὴ ἅπαξ. A.

οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴας’ Ἕκτωρ εὕδειν—: ἡ διπλῆ (ad 299) ὅτι οὐχ ὡς ἡ τῶν ἐπῶν ἔχει τάξις, οὕτω καὶ τὰ πράγματα. οὐ γὰρ προεληλυθότων ἤδη τῶν περὶ Ὀδυσσέα καλεῖ τοὺς προβούλους ὁ Ἕκτωρ, ἀλλὰ καθ’ ὃν καιρὸν καὶ ὁ Ἀγαμέμνων· οὕτω γὰρ καὶ ἑαυτοῖς συμπεσοῦνται οἱ ἀπεσταλμένοι: διὸ καὶ ἀντιδιασταλτικῶς λέγει, οὐδὲ μὴν οὐδὲ ὁ Ἕκτωρ εἴασε τοὺς Τρῶας εὕδειν A.

αὐτὰρ ὁ (Dolon) μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει κασιγνήτοισι. παραιρεῖται δὲ τὸ πιθανὸν τοῦ ποιητοῦ· οὐ γὰρ μετὰ ἀρσένων αὐτὸν τεθραμμένον παρίστησιν, οἷς ἐξισούμενος ἂν εἰς ἀνδρείαν ἐτράπη. τό τε παρακείμενον μάχεται· πῶς γὰρ ἔτι μόνος ἦν, εἰ πέντε ἦσαν; A.

ἀλλ’ ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο καί μοι ὄμοσσον
ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ
δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα.

τὸ σκῆπτρον: ἀντὶ τοῦ τοῦτο τὸ σκῆπτρον (cf. p. 30.). ἐφόρει δὲ Ἕκτωρ ἐπεὶ ἐδημηγόρει (v. ad Σ 505, Ψ 568). A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ἵππους: ἡ διπλῆ ὅτι τὸ τούς οὐκ ἔστιν ἄρθρον, ἀλλ’ ἀντὶ τοῦ τούτους παρείληπται ἐν τάξει ἀντωνυμίας. A. Cod. ἐν τάξει ἄρθρου. Corr. L. Cf. p. 30.

ὅθι που μέλλουσιν ἄριστοι βουλὰς βουλεύειν—μέλλουσιν: ἀντὶ τοῦ ἐοίκασι. καὶ οὕτως ἀεὶ κέχρηται τῇ λέξει. A. Ar. 124.

μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος: καὶ νῦν (v. ad 323) τοῖς ἀντὶ τοῦ τούτοις τοῖς ἵπποις, ὥστε ἔξωθεν προσλαμβάνειν δέον τὸ τοῖς ἄρθρον. A. Cf. p. 30.

ὣς φάτο, καί ῥ’ ἐπίορκον ἐπώμοσε, τὸν δ’ ὀρόθυνεν: τοῦτο ἔξωθεν ἐπιπεφώνηται (cf. ad 240), ὅρκον ἐπίορκον ὤμοσεν, οὐχ οἷον ἑκουσίως, ἀλλὰ διὰ τὸ μὴ ἀποτελεσθῆναι τοῦτο ὅπερ ὤμοσεν. A.

κρατὶ δ’ ἐπὶ κτιδέην κυνέην, ἕλε δ’ ὀξὺν ἄκοντα: ἡ διπλῆ ὅτι νῦν μὲν ἀμφίβολον πότερον κτιδέην ἢ συναλοιφὴν ἐκδεκτέον, ἰκτιδέην· διὰ μέντοι τῶν ἑξῆς ἀναμφισβητήτως κτιδέην λέγει· τοῦ δ’ ἀπὸ μὲν κτιδέην κυνέην (458). A.

ἀλλ’ ὅτε δή ῥ’ ἵππων τε καὶ ἀνδρῶν κάλλιφ’ ὅμιλον: ἡ διπλῆ ὅτι νῦν μὲν ὅμιλον τὸ πλῆθος καὶ ἄθροισμα τῶν Τρώων λέγει. ἐν μὲν οὖν τῇ Ἰλιάδι πυκνότερον τὴν μάχην ὅμιλον καλεῖ, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἄθροισμα. A. Ar. 147.

οὐκ οἶδ’ ἢ νήεσσιν ἐπίσκοπος ἡμετέρῃσιν,
ἤ τινὰ συλήσων νεκύων κατατεθνηώτων.

ὁ ἀστερίσκος, ὅτι ἐνταῦθα καλῶς ὁ στίχος τέτακται, μετὰ ταῦτα δὲ (387) οὐκέτι, λεγόμενος πρὸς Δόλωνα. A.

αἰεί μιν ἐπὶ νῆας ἀπὸ στρατόφι προτιειλεῖν: ἡ διπλῆ ὅτι ἀπαρεμφάτῳ ἀντὶ προστακτικοῦ κέχρηται. A. Cf. p. 14.

ὅσσον τ’ ἐπὶ οὖρα πέλονται: πρὸς τὸ σχῆμα, πέλονται ἀντὶ τοῦ πέλεται, ὁμοίως τῷ οὐδ’ εὐήρε’ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται (λ 125). A. Cf. p. 15.

ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ διά, διὰ νειοῖο. A. Cf. p. 26.

τὼ μὲν ἐπεδραμέτην: ἡ διπλῆ ὅτι τὸ μὲν ἐπιδραμεῖν τίθησιν, ὅτε οὐ γινώσκει ὁ διωκόμενος, ὅτε δὲ γινώσκει, διώκειν καὶ διῶξαι. A. Ar. 132.

ἔλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ Τρώων ἰέναι πάλιν Ἕκτορος ὀτρύναντος.
book 356.1 ἡ διπλῆ, ὅτι τὸ πάλιν συναπτέον τῷ ἀποστρέψον-
book 356.2 τας, ἵνα ᾖ εἰς τοὐπίσω ἀποστρέψοντας. A. „haec vocabu-
book 356.3 lorum conjungendi ratio falsa“ Ar. p. 100.
book 356.4 λαιψηρὰ δὲ γούνατ’ ἐνώμα
book 359.1 φευγέμεναι· τοὶ δ’ αἶψα διώκειν ὁρμήθησαν:
book 359.2 ἡ διπλῆ ὅτι νῦν ὀρθῶς διώκειν λέγει, ὅτε φεύγει ἐπιγνοὺς
book 359.3 αὐτοὺς πολεμίους ὄντας. A. Ar. 132.
book 360.1 ὡς δ’ ὅτε καρχαρόδοντε δύω κύνε, εἰδότε θήρης,
book 360.2 ἢ κεμάδ’ ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεί—:
book 360.3 Aristonicus sic fere scripserat: ἡ διπλῆ, ὅτι τὸ ἐπείγετον
book 360.4 ἀντὶ τοῦ ἐπείγητον συνεσταλμένως. Nunc leguntur haec: ἡ
book 360.5.1 διπλῆ ὅτι τῷ ἐπείγετον ὁριστικῷ ἀντὶ ὑποτακτικοῦ τοῦ ἐπεί-
book 360.5.2 γητον. A. At primum his nominibus modorum numquam uti-
book 360.5.3 tur Aristonicus, deinde hos correptos conjunctivos vere con-
book 360.5.4 junctivos esse intellexit. Cf. p. 13.
book 364.1 λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί:
book 364.2 ὅτι τὸ διώκετον σημαίνει διώκουσιν [ἢ διώκετε], οὐ τὸ ἐδιω-
book 364.3 κέτην (cod. διωκέτην), ὡς Ἐρατοσθένης. ἔστιν οὖν τὸν Δό-
book 364.4 λωνα διώκουσιν ἀντὶ τοῦ ἐδίωκον, ὃν τρόπον αἱ μὲν ἀλε-
book 364.5.1 τρεύουσι μύλῃς’ ἔπι (η 104) ἀντὶ τοῦ ἠλέτρευον. A. Cf.
book 364.5.2 ad N 346 Σ 583 et p. 4. Verba inclusa aliena esse videntur.
book 372.1 ἦ ῥα, καὶ ἔγχος ἀφῆκεν, ἑκὼν δ’ ἡμάρτανε
book 372.2 φωτός: ἡ διπλῆ, ὅτι θέλοντες ζήτημα ποιεῖν μεταγράφουσι
book 372.3 τὸ ἡμιστίχιον οὕτως καὶ βάλεν οὐδ’ ἀφάμαρτεν, ἑκὼν δ’
book 372.4 ἡμάρτανε φωτός. καὶ λύουσιν ἔξωθεν προσλαμβάνοντες
book 372.5.1 τὸν ἄν σύνδεσμον· καὶ βάλεν, οὐδ’ ἀφάμαρτεν ἄν, ἑκὼν δ’
book 372.5.2 ἡμάρτανεν. ἀγνοοῦσι μέντοι ὅτι Ὅμηρος τὸ βαλεῖν ἐπὶ
book 372.5.3 τοῦ ἐπιτυχεῖν τίθησιν. A. Ar. p. 211.
book 378.1 ζωγρεῖτ’, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι: ἡ διπλῆ
book 378.2 ὅτι παρὰ τὸ σύνηθες (sc. ἡμῖν) ἐξενήνοχεν, ἐμὲ λύσομαι
book 378.3 ἀντὶ τοῦ ἐμαυτόν. A.
book 381.1 εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ’ ἐπὶ νηυσὶν Ἀχαιῶν:
book 381.2 ἡ διπλῆ ὅτι ἐπὶ τοῦ ἀκοῦσαι ἀεὶ τάσσει τὴν λέξιν (Ar. 151),
book 381.3 καὶ ὅτι συνήθως ἀναδιπλώσει κέχρηται, πεπύθοιτο ἀντὶ τοῦ
book 381.4 πύθοιτο (cf. p. 11). A.
book 383.1 θάρσει, μηδέ τί τοι θάνατος καταθύμιος
book 383.2 ἔστω: ἡ διπλῆ ὅτι τὸ καταθύμιος ἐνθύμιος, οὐχ ὡς ἡμεῖς.
book 383.3

A. Ar. 149.

ἦ ς’ Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα
νῆας ἔπι γλαφυράς; ἦ ς’ αὐτὸν θυμὸς ἀνῆκεν;
ἦ τινὰ συλήσων νεκύων κατατεθνηώτων;

[ἡ διπλῆ v. Pluyg. p. 8]. ὅτι ἐκ τῶν ἐπάνω (343) ὧδε μετάκειται, ἤδη παρεληλυθότων αὐτῶν τοὺς νεκρούς. καὶ ὁ Ὀδυσσεὺς ἀσύνετος ἔσται πρόφασιν αὐτῷ πορίζων. ἠθέτει καὶ Ἀριστοφάνης. A.

ἢ ἤδη χείρεσσιν ὑφ’ ἡμετέρῃσι δαμέντες
φύξιν βουλεύουσι μετὰ σφίσιν, οὐδ’ ἐθέλουσιν
νύκτα φυλασσέμεναι, καμάτῳ ἀδηκότες αἰνῷ.

ὅτι οὕτως γραπτέον βουλεύουσι καὶ ἐθέλουσι (cod. θέλουσι)· τὸ γὰρ σφίσιν ἐν τῷ περί τινων ἐστι λόγῳ (cf. ad O 138), ἀντὶ τοῦ αὐτοῖς, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα.

ταῦτα ὁ Ἀριστόνικος περὶ τῆς γραφῆς ταύτης φησί, διπλῆν βάλλων τῷ στίχῳ· ἐν μέντοι τῇ τετραλογίᾳ Νεμεσίωνος (Ar. 35 not.) οὕτως εὗρον περὶ τῶν στίχων τούτων· τῶν παρακειμένων ὀβελῶν οὐκ ἔστιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀρισταρχείων ὑπομνημάτων. Ἀμμώνιος δὲ ὁ Ἀριστάρχειος πρῶτον μὲν στιγμαῖς φησὶ τὸν Ἀρίσταρχον παρασημειώσασθαι αὐτούς, εἶτα δὲ καὶ τέλειον ἐξελεῖν (h. e. primum dubitationis signis notasse, deinde prorsus statuisse spurios esse et obelo signandos L. cf. Ar. 362), τάχα διὰ τὸ ἐπὶ δευτέρου προσώπου τὸ σφίσι τετάχθαι (sc. si scribatur βουλεύοιτε et ἐθέλοιτε) καὶ ἄνωθεν (310) μετενηνέχθαι. A.

(Hector) βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου: παρὰ σήματι, παρὰ τῷ τάφῳ· ἦν γὰρ μέσσον κὰπ πεδίον (Λ 167). ἀπέχει δὲ τῆς πόλεως καὶ τῶν νεᾶν τὸ ἴσον. A. Fluxit certe ex Aristonico: v. ad Λ 167.

καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί,
πρὸς Θύμβρης δ’ ἔλαχον Λύκιοι Μυσοί τ’ ἀγέρωχοι
καὶ Φρύγες ἱππόμαχοι καὶ Μῄονες ἱπποκορυσταί.

ἡ διπλῆ ὅτι ὡς ὕστερον ἐληλυθότων τούτων μνημονεύει, ὡς καὶ τῶν περὶ τὸν Ῥῆσον· οὐδεμίαν γὰρ αὐτῶν διὰ τοῦ καταλόγου μνήμην πεποίηται. A.

ἡ διπλῆ ὅτι οὐ μόνον ἐπὶ Ῥοδίων (B 654) χρῆται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ ἀγέρωχοι, ἕνεκα τοῦ ἀγείρειν τὴν ὀχήν, τουτέστι τὴν
book 430.3 τροφήν, ἀλλ’ ἐπὶ Μυσῶν καὶ Τρώων (Γ 36) οἷον γεραόχων,
book 430.4 σεμνῶν καὶ ἐντίμων. A.
book 431.1 ἡ διπλῆ ὅτι ἑτέρους τῶν Τρώων οἶδε τοὺς Φρύγας
book 431.2 (Ar. 238): καὶ ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους Λυδοὺς
book 431.3 ἀλλὰ Μῄονας. πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου. A. Edd.
book 431.4 περὶ Κιλικίας, corr. Lehrs. Herodian. 454. ἡλικίας in cod.
book 431.5 esse affirmat Pluygers. p. 11.
book 445.1 ἠὲ κατ’ αἶσαν ἔειπον ἐν ὑμῖν ἦε καὶ οὐκί:
book 445.2 πρὸς τὸ οὐκί, ὅτι ὑγιῶς διὰ τοῦ ψιλοῦ ἀντιστοίχου (cf. ad
book 445.3 B 238). A. Huc pertinet ἡ διπλῆ, quae in praecedens scho-
book 445.4 lium, quod Didymi est, irrepsit. Ar. 17.
book 447.1 μὴ δή μοι φύξιν γε Δόλων ἐμβάλλεο θυμῷ
book 447.2 (Diomedes loquitur): ἡ διπλῆ ὅτι ζητεῖται πῶς τὸ ὄνομα ἔγνω·
book 447.3 διό τινες ἀνέγνωσαν δολῶν ὡς νοῶν. ἑξῆς μέντοι γε πάλιν
book 447.4 λέγει οὓς νῶι πίφαυσκε Δόλων ὃν ἐπέφνομεν (478).
book 447.5.1 εἰκὸς δέ τινων γινώσκεσθαι ὀνόματα ὡς ἂν δεκαετοῦς γε-
book 447.5.2 γονότος χρόνου, καὶ μάλιστα τοῦ Δόλωνος· ἦν γὰρ κήρυκος
book 447.5.3 υἱός, πολύχρυσος πολυχαλκός (315). A. Cf. ad Υ 390.
book 458.1 τοῦ δ’ ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν
book 458.2 ἕλοντο: ἡ διπλῆ ὅτι κτιδέην λέγει ῥητῶς, χωρὶς τοῦ ι
book 458.3 (335). A.
book h460-1.1 καὶ τά γ’ Ἀθηναίῃ ληίτιδι δῖος Ὀδυσσεύς
book h460-1.2 ὑψόσ’ ἀνέσχεθε χειρί, καὶ εὐχόμενος ἔπος ηὔδα.
book 460.1 ληίτιδι: λαφυραγωγῷ, πολεμικῇ, ἢ τῇ παραιτίᾳ
book 460.2 γιγνομένῃ τοῦ λείαν λαβεῖν. A. Certe ex Aristarcho deriva-
book 460.3 tum est: v. sch. γ 71 et Ar. 198 not.
book 461 ἡ διπλῆ ὅτι συνήθως ἡμῖν νῦν κέχρηται τῷ εὐχό-
book 461 μενος. A. Ar. 150.
book 466.1 δέελον δ’ ἐπὶ σῆμά τ’ ἔθηκεν: ἡ διπλῆ ὅτι ὃ
book 466.2 ἡμεῖς λέγομεν δῆλον, αὐτὸς εἶπε διελὼν δέελον. A.
book h469-70.1 τὼ δὲ βάτην προτέρω διά τ’ ἔντεα καὶ μέλαν αἷμα,
book h469-70.2 αἶψα δ’ ἐπὶ Θρῃκῶν ἀνδρῶν τέλος ἷξον ἰόντες.
book 469.1 ἡ διπλῆ ὅτι τὸ προτέρω ἀντὶ τοῦ ἔμπροσθεν, το-
book 469.2 πικῶς· καὶ ὅτι ἐρριμμένοι εἰσὶν [οὗτοι] οἱ νεκροί (v. ad 199)·
book 469.3 καὶ ὅτι ἀντὶ τοῦ δι’ ἐντέων καὶ αἵματος (cf. p. 21). A. οὗτοι
book 469.4 alienum est. L.
book 470 ἡ διπλῆ ὅτι τέλος καὶ νῦν τὸ τάγμα. A. Ar. 152.
book 473.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίζυγες ἵπποι: ἡ διπλῆ ὅτι συνωρίσιν ἐχρῶντο· διὸ δίζυγες. A. Ar. 196.

τὸν δ’ Ὀδυσεὺς προπάροιθεν ἰδὼν Διομήδεϊ δεῖξεν: ἡ διπλῆ ὅτι καὶ ἐν Ἰλιάδι νῦν τὸ προπάροιθεν ἐπὶ χρόνου τέταχεν, οὐχ ὡς οἱ χωρίζοντες ἐν Ὀδυσσείᾳ μόνον, ἐν Ἰλιάδι δὲ τοπικῶς (Ar. 120). A.

οὓς νῶιν πίφαυσκε Δόλων, ὃν ἐπέφνομεν ἡμεῖς (Ulixes loquitur): ἡ διπλῆ ὅτι ἐπίσταται τὸ τοῦ Δόλωνος ὄνομα καὶ ἐνταῦθα (cf. ad 447). A.

ἑστάμεναι μέλεον σὺν τεύχεσιν: ἡ διπλῆ ὅτι οἱ νεώτεροι μέλεον τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος ἀντὶ τοῦ ματαίως. A. Ar. 103.

ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών,
αἴγεσιν ἢ ὀίεσσι, κακὰ φρονέων ἐνορούσῃ,
ὣς μὲν Θρήικας ἄνδρας ἐπῴχετο Τυδέος υἱός,
ὄφρα δυώδεκ’ ἔπεφνεν. ἀτὰρ πολύμητις Ὀδυσσεύς,
ὅν τινα Τυδείδης ἄορι πλήξειε παραστάς,
τὸν δ’ Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐξερύσασκεν.

ἡ διπλῆ ὅτι μῆλα οἱ νεώτεροι πάντα τὰ τετράποδα, Ὅμηρος δὲ αἶγας καὶ ὄις· μῆλ’ ὄιές τε καὶ αἶγες (ι 184 et 486). A. Ar. 108.

ἡ διπλῆ ὅτι ἐπεξηγεῖται τίνα τὰ μῆλα. A. Ar. 108.

ἡ διπλῆ ὅτι χωρὶς τοῦ Ῥήσου δώδεκα ἑταίρους αὐτοῦ ἀναιρεῖ, ἀλλ’ οὐ σὺν αὐτῷ δώδεκα, ὥς τινες. A.

ἡ διπλῆ ὅτι ἰδίως προειπὼν ἀτὰρ πολύμητις Ὀδυσσεύς, ἐπενήνοχεν αὐτοῦ τὸ ὄνομα, τὸν δ’ Ὀδυσεύς· καὶ ὅτι ὁ δέ σύνδεσμος περιττός (cf. p. 33). A.

ἀλλ’ ὅτε δὴ βασιλῆα κιχήσατο Τυδέος υἱός,
τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα:

ἡ διπλῆ ὅτι νῦν μὲν τοῖς δώδεκα Θρᾳξὶν ἐπαριθμεῖ τὸν Ῥῆσον, πρὸς τὸ τρεισκαιδέκατον σκοπόν (561). καὶ ὅτι ἐν σχήματι ἐξήνεγκε, τὸν τρεισκαιδέκατον τὴν ψυχὴν ἀφείλετο (cf. p. 21). A. Verba πρὸς τό ante τρεισκαιδέκατον ins. L.

κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη,
τὴν νύκτ’, Οἰνείδαο πάις, διὰ μῆτιν Ἀθήνης.

ἀθετεῖται, ὅτι καὶ τῇ συνθέσει εὐτελής· καὶ μὴ ῥηθέντος δὲ νοεῖται ὅτι ὡς ὄναρ ἐφίσταται τῷ Ῥήσῳ ὁ Διο-

μήδης. καὶ τὸ διὰ μῆτιν Ἀθήνης λυπεῖ· μᾶλλον γὰρ διὰ τὴν Δόλωνος ἀπαγγελίαν. A.

σὺν δ’ ἤειρεν ἱμᾶσι, καὶ ἐξήλαυνεν ὁμίλου (equos): ἡ διπλῆ ὅτι καὶ νῦν ὅμιλον τὸ ἄθροισμα εἶπεν (Ar. 147). διὰ τὴν περίστασιν δὲ ἀναγκασθέντες ἐπὶ γυμνοῖς τοῖς ἵπποις καθίζουσιν οἱ ἥρωες, συναρτήσαντες αὐτοὺς τοῖς ἱμᾶσι· καὶ μιμεῖται τὸ γινόμενον ἐν ταῖς ταραχαῖς (Ar. 198). A.

αὐτὰρ ὁ μερμήριζε μένων ὅτι κύντατον ἔρδοι,
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε’ ἔκειτο,
ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψός’ ἀείρας,
ἢ ἔτι τῶν πλεόνων Θρῃκῶν ἀπὸ θυμὸν ἕλοιτο.

ἡ διπλῆ ὅτι πρὸς ἓν ληπτέον μέρος τὸ λεγόμενον ἐκ τοῦ· ἢ ὅγε δίφρον ἑλών—ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψός’ ἀείρας· ἔστι γὰρ ἢ τὸν δίφρον ἐκ τοῦ ῥυμοῦ λαβόμενος ἐξέλκοι, ἢ μετέωρον ἄρας ἐξενέγκοι, ὥστε τὸ περὶ τοῦ δίφρου μέρος ἔχειν. πρὸς τοῦτο δὲ ἀντιδιέσταλκεν ἢ ἔτι τῶν πλεόνων Θρῃκῶν. A. Cod. πρός τι ληπτέον et ὥστε περὶ τοῦ δίφρου μέρος. Corr. Lehrs. Herodian. 458: „nisi forte ὥστε περὶ τὸ τοῦ δίφρου μέρος ἔχειν.“ —Equidem malim: ὥστε τὸ περὶ τοῦ δίφρου ἓν μέρος ἔχειν.

οὐδ’ ἀλαοσκοπίην εἶχ’ ἀργυρότοξος Ἀπόλλων: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἀλαὸν σκοπιήν (Ar. 55). A.

ὁ δ’ ἐξ ὕπνου ἀνορούσας
ὡς ἴδε χῶρον ἐρῆμον ὅθ’ ἔστασαν ὠκέες ἵπποι,
ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσιν,
ᾤμωξέν τ’ ἄρ’ ἔπειτα.

ἡ διπλῆ ὅτι Ζηνόδοτος ἐναλλὰξ τὸν τρίτον πρῶτον τίθησιν ὁ δ’ ἐξ ὕπνου ἀνορούσας ᾤμωξέν τ’ ἄρ’ ἔπειτα—ὡς ἴδε χῶρον ἐρῆμον—ἄνδρας τ’ ἀσπαίροντας. πρῶτα δὲ ἰδόντα ἔδει κλαίειν. A. Cod. Ζηνόδοτος τὸ ἐναλλὰξ τῷ τόπῳ τούτῳ. Corr. L.

ἔναρα βροτόεντα: ἡ διπλῆ ὅτι περιεκτικῶς καὶ τὰ τόξα καὶ τὸ δόρυ ἔναρα εἴρηκε σὺν τοῖς ἄλλοις. κυρίως δὲ ἔναρα λέγεται οἷς ἐνάρηρε τὰ σώματα καὶ ἐνήρμοσται, θώραξ καὶ κυνέα καὶ κνημῖδες. AD. Ar. 147.

Νέστωρ δὲ πρῶτος κτύπον ἄιε, φώνησέν τε. Nestoris qui primus sonitum ungularum percipiat, sensus

senio nequaquam hebetatos esse apparet: v. ad Λ 636.

book 531.4 εἴπ’ ἄγε μ’ ὦ πολύαιν’ Ὀδυσεῦ, μέγα κῦδος
book 531.5 Ἀχαιῶν,
book 545.1 ὅππως τούσδ’ ἵππους λάβετον: ἡ διπλῆ ὅτι
book 545.2 Ζηνόδοτος γράφει λαβέτην. ἔστι δὲ τοῦτο τρίτου προ-
book 545.3 σώπου ἀντὶ τοῦ ἔλαβον· λέγει δὲ νῦν πρὸς αὐτούς. A.
book 546.1 ἦ τίς σφωε (equos) πόρεν θεὸς ἀντιβολήσας:
book 546.2 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει σφῶι. τοῦτο δὲ τίθεται
book 546.3 ἀντὶ τοῦ ὑμεῖς ἢ ὑμᾶς, ὧν οὐδέτερον ἁρμόζει, τὸ δὲ σφωέ·
book 546.4 ἔστι γὰρ αὐτοὺς τοὺς δύο. A.
book 546.5 τὸν δέ σφιν ἄνακτ’ ἀγαθὸς Διομήδης
book 560.1 ἔκτανε, πὰρ δ’ ἑτάρους δυοκαίδεκα πάντας
book 560.2 ἀρίστους.
book 560.3 τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν ἐγγύθι
book 560.4 νηῶν.
book 559.1 ἡ διπλῆ ὅτι ἰδίως τὸν ἄνακτα αὐτοῖς ἀντὶ τοῦ
book 559.2 αὐτῶν. A. Cf. p. 22.
book 561.1 ἡ διπλῆ ὅτι τοῖς δώδεκα Θρᾳξὶ τὸν Δόλωνα ἐπα-
book 561.2 ριθμεῖ χωρίσας τὸν Ῥῆσον διὰ τῶν προειρημένων τὸν δέ
book 561.3 σφιν ἄνακτ’ ἀγαθὸς Διομήδης. πλανηθέντες δέ τινες
book 561.4 γράφουσιν τὸν τετρακαιδέκατον σκοπὸν εἵλομεν. A.
book h570-1.1 νηὶ δ’ ἐνὶ πρύμνῃ ἔναρα βροτόεντα Δόλωνος
book h570-1.2 θῆκ’ Ὀδυσεύς, ὄφρ’ ἱρὸν ἑτοιμασσαίατ’ Ἀθήνῃ.
book 570.1 νηὶ δ’ ἐνὶ πρύμνῃ: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ νεὼς
book 570.2 πρύμνῃ (cf. p. 22): καὶ ὅτι κοινῶς (cf. ad 528) τὰ ἔναρα. B.
book 570.3 Quae sequuntur apud Villoison., huc translata sunt ex adn. ad 528.
book 571.1 ἡ διπλῆ ὅτι περὶ μὲν τῆς θυσίας σαφῶς λέγει,
book 571.2 περὶ δὲ τῆς δόσεως τῶν δώρων ἐσιώπησεν, ἀρκεσθεὶς τῷ ἄνω
book 571 κεφαλαιωδῶς εἰρημένῳ (cf. ad 215). A.
book 573.1 (lavabant) κνήμας τε ἰδὲ λόφον ἀμφί τε μη-
book 573.2 ρούς: ἡ διπλῆ ὅτι λόφον αὐτὸν νῦν τὸν τένοντα· ἔνθεν καὶ ἐν
book 573.3 Ὀδυσσείᾳ (κ 169) καταλοφάδειαν (sic) ἀντὶ τοῦ κατὰ τὸν τένοντα.
book 574.1 αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλόν
book 574.2 νίψεν ἀπὸ χρωτός: ἡ διπλῆ ὅτι δοτικῇ ἀντὶ γενικῆς
book 574.3 ἐχρήσατο. A. sc. σφίν pro σφῶν. Cf. p. 22.
book h577-9.1 τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ’ ἐλαίῳ
book h577-9.2 δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
book h577-9.3 πλείου ἀφυσσόμενοι λεῖβον μελιηδέα οἶνον.
book 578.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι ἐπὶ πάντων τοῦτο νοητέον, οὐκ ἐπὶ
book 578.2 μόνου Διομήδους καὶ Ὀδυσσέως. καὶ ὅτι ἠριστοποιοῦντο
book 578.3 („h. e. ex sensu Homerico“ Ar. 132): ἡ γὰρ πρωινὴ ἐπέστη. A.
book 579.1 πλείου: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ πλῆρες (sic): τὸ δὲ
book 579.2 συγκριτικόν, ἀπὸ τοῦ πλείων, πλειόνος. A.
book 4.1 (ἔριδα) πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν:
book 4.2 ἡ διπλῆ ὅτι πολέμοιο τέρας τὸν εἰδωλοποιούμενον πόλεμον,
book 4.3 τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου, ὡς καὶ ἐν ἄλλοις
book 4.4 (Ε 593) κυδοιμοῦ εἴδωλόν φησι τὴν Ἐνυὼ ἔχειν· ἡ μὲν
book 4.5 ἔχουσα κυδοιμὸν ἀναιδέα. A.
book 5.1 στῆ δ’ ἐπ’ Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ,
book 5.2 ἥ ῥ’ ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
book 5.3 ἠμὲν ἐπ’ Αἴαντος κλισίας Τελαμωνιάδαο
book 5.4 ἠδ’ ἐπ’ Ἀχιλλῆος, τοί ῥ’ ἔσχατα νῆας ἐίσας
book 5.5 εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.
book 6.1 ἡ διπλῆ πρὸς τὰ περὶ τοῦ ναυστάθμου, ὅτι ἐν μέσῳ
book 6.2 τὰς τοῦ Ὀδυσσέως ὑποτίθεται, ἐφ’ ἑκατέρου δὲ κέρατος τὰς
book 6.3 Ἀχιλλέως καὶ Αἴαντος. A. Ar. 230.
book 11.1 Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ’ ἑκάστῳ: ἡ
book 11.2 διπλῆ ὅτι διὰ τὸ ἡλαττῶσθαι κατὰ τὴν κόλον μάχην νῦν
book 11.3 μέγα σθένος ἑκάστῳ ἐντίθησι πρὸς τὸ πολεμεῖν, οὐχ ἵνα
book 11.4 μὴ εἰς οἶκον ἀνακομισθῶσιν, ὡς ὁ διασκευάσας (Ar. 350)
book 11.5 τοὺς ἑξῆς. A. Inseruimus μή post ἵνα.
book h13-4.1 τοῖσι δ’ ἄφαρ πόλεμος γλυκίων γένετ’ ἠὲ νέεσθαι
book h13-4.2 ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.
book 13.1 οὗτος καὶ ὁ ἑξῆς ἀθετοῦνται. παράκεινται δὲ ἀστε-
book 13.2 ρίσκοι, ὅτι κατὰ τὴν Β ῥαψῳδίαν (453) ὀρθῶς κεῖνται, ὅτι
book 13.3 ἐλπίδας ἔσχον ἀνακομιδῆς ἐπὶ τὴν πατρίδα. καὶ παρὰ Ἀρι-
book 13.4 στοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦσαν. A.
book 13.5 ἐν δ’ αὐτὸς (Agamemnon) ἐδύσατο νώροπα χαλκόν.
book 17.1 κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν: ἡ
book 17.2 διπλῆ ὅτι ἐπανείληφεν ἐξεργαστικώτερον τὰ περὶ τῶν ὁπλι-
book 17.3 σμῶν τοῦ Ἀγαμέμνονος, προεπιτηδεύων αὐτοῦ τὴν ἀρι-
book 17.4 στείαν (cf. ad v. 30 et B 45.). A. προεπιτηδεύων corr. Lehrs.
book 17.5 Herodian. 459 pro προσεπιδεσμεύων.
book h21-2.1 πεύθετο γὰρ (Cinyras) Κύπρον δὲ μέγα κλέος,
book h21-2.2 οὕνεκ’ Ἀχαιοί
book h21-2.3 ἐς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον.
book 21.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι οὕτως εἴρηκεν εἰς Κύπρον ἠκούετο (cf. ad K 268), διὰ τὸ εἰς τόπον ἐκ τόπου διαγγέλλεσθαι, ὅμοιον τῷ Σκάνδειαν δ’ ἄρα δῶκε (K 268). A. Ar. 140.

ἡ διπλῆ ὅτι ἀνάπλουν τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν λέγει. A. Ar. 119.

(dracones in lorica) ἴρισσιν ἐοικότες: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει Ἐρίδεσσιν. οὐκ ἔστι δὲ ἡ αὐτὴ Ἔρις καὶ Ἶρις καθ’ Ὅμηρον, ὡς ὑπέλαβεν. A.

ἀμφὶ δ’ ἄρ’ ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι χρύσειοι πάμφαινον: ἡ διπλῆ ὅτι νῦν μὲν χρυσόηλον, ἐν ἄλλοις δὲ (B 45) ἀργυρόηλον. ἤτοι κατ’ ἐπιφοράν, ἢ διὰ τὴν ἀριστείαν κοσμεῖ διαφορωτέρᾳ πανοπλίᾳ. A.

Cf. ad B 45, Ar. p. 363. —Haec autem sic intelligo: χρυσόηλος hic casu dictum, ut in talibus impetu libidinis poeticae modo huc modo illuc poetae feruntur; aut quod nunc ejus ἀριστείαν cantaturus est, consilio et sciens nunc omnia ejus arma exquisitiora facit, itaque et gladium. Hanc subtilem distinctionem illic ad B neglexit. L.

ἂν δ’ ἕλετ’ ἀμφιβρότην πολυδαίδαλον ἀσπίδα θοῦριν: ἡ διπλῆ ὅτι ἀνδρομήκεις αἱ ἀσπίδες. πρὸ δὲ τῆς περικεφαλαίας ἀναλαμβάνει τὴν ἀσπίδα, ὡς ἂν δι’ ἀναφορέων χρωμένων ταῖς ἀσπίσιν. ὁ δὲ Ζηνόδοτος ἐπὶ τοῦ Ἀλεξάνδρου (Γ 334) τὸν ὁπλισμὸν ἐνήλλαχεν. A. Ar. 194.

τῇ δ’ ἐπὶ μὲν Γοργώ—Notatus fuerit propter nominativum Γοργώ, ad refutandum Zenodotum qui Θ 349 scripserat Γοργόνος, quasi a Γοργών.

τῆς δ’ ἐξ ἀργύρεος τελαμὼν ἦν: ὅτι ἐκ τελαμώνων αἱ ἀσπίδες ἤρτηντο. A. Ar. 194.

εἵλετο δ’ ἄλκιμα δοῦρε δύω, κεκορυθμένα χαλκῷ,
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ’ αὐτόφιν οὐρανὸν εἴσω
λάμπ’. ἐπὶ δ’ ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη,
τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης.

εἵλετο δ’ ἄλκιμα δοῦρε: ἡ διπλῆ ὅτι καὶ ἐπὶ τῆς Ἀλεξάνδρου μονομαχίας (Γ 18) τὸ ὅμοιον. A. Ar. 194.

οὐρανὸν εἴσω: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ εἰς οὐρανόν (cf. p. 28). καὶ ὅτι, ὅταν ἐπ’ Ἀχιλλέως λέγῃ ὡς τοῦ χαλκὸς ἔλαμπε (X 32), νοητέον ἀπὸ τοῦ δόρατος τὴν λαμπηδόνα ἀνταυγεῖν· τὰ γὰρ ἄλλα χρυσᾶ εἶχεν. A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγδούπησαν: ἡ διπλῆ ὅτι διὰ τὸ μέτρον παρά-
book 45.2 κειται τὸ γ· τὸν δὲ δοῦπον οὐκ ἂν εἴποι γδοῦπον. A.
book 46.1 ἡ διπλῆ ὅτι νῦν ἑνικῶς τὴν Μυκήνην (Ar. 241). καὶ
book 46.2 ὅτι ἐν Μυκήναις τὰ Ἀγαμέμνονος βασίλεια, οὐκ ἐν Ἄργει,
book 46.3 ὡς οἱ νεώτεροι (Ar. 179). A.
book h47-9.1 ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος
book h47-9.2 ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ’ ἐπὶ τάφρῳ
book h47-9.3 αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες—:
book 49.1 ἡ διπλῆ ὅτι φανερῶς πρυλέες οἱ πεζοί· ἀντιδιέσταλκε γὰρ
book 49.2 τοὺς ἱππεῖς. A. Ar. 123.
book h51-2.1 φθὰν δὲ μέγ’ ἱππήων ἐπὶ τάφρῳ κοσμηθέντες,
book h51-2.2 ἱππῆες δ’ ὀλίγον μετεκίαθον.
book 51.1 ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· εἰ γὰρ μεγάλως
book 51.2 ἔφθασαν, πῶς οἱ ἱππεῖς ὀλίγον μετεκίαθον [αὐτῶν]; λέγει
book 51.3 δὲ φθὰν δὲ μέγα χρονικῶς, ἀντὶ τοῦ πολλῷ χρόνῳ προέ-
book 51.4 λαβον, ὀλίγον δὲ μετεκίαθον τοπικῶς, οἷον ὀλίγῳ τόπῳ διε-
book 51.5 στῶτες μετ’ αὐτοὺς ἔκιον. A. αὐτῶν alienum est.
book 52.1 ὀλίγον: ἡ διπλῆ ὅτι τῷ τόπῳ καὶ τῇ τάξει, οὐ τῷ
book 52.2 χρόνῳ. A.
book h53-5.1 κατὰ δ’ ὑψόθεν ἧκεν ἐέρσας (Jupiter)
book h53-5.2 αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ’ ἔμελλεν
book h53-5.3 πολλὰς ἰφθίμους κεφαλὰς Ἄιδι προιάψειν.
book 54.1 ἡ διπλῆ ὅτι δοκεῖ σημεῖον εἶναι, ὅταν ἐπιψεκάσῃ,
book 54.2 οὐχ ὅταν ὕσῃ· καὶ ὅτι τὸ ἔμελλε πάλιν ἀντὶ τοῦ ἐῴκει
book 54.3 (Ar. 125). A.
book 55.1 ἡ διπλῆ ὅτι ἐνταῦθα μὲν γράφειν κεφαλάς οὐδὲν
book 55.2 κωλύει, περιφραστικῶς ἀπὸ μέρους τῶν ὅλων σημαινομένων.
book 55.3 κατὰ δὲ τὸ τῆς Ἰλιάδος προοίμιον (A 3) οὐκ ἐνδέχεται, ἐπι-
book 55.4 φερομένου τοῦ αὐτοὺς δὲ ἑλώρια. A.
book 56.1 Τρῶες δ’ αὖθ’ ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο:
book 56.2 ὅτι κοινὸν ἐπὶ τούτων (malim τοῦτον) τὸ ἐθωρήσσοντο (quod
book 56.3 inest in θωρηχθέντες 49). A. Ar. 359.
book 62.1 οἷος δ’ ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστήρ:
book 62.2 ἡ διπλῆ ὅτι τινὲς γράφουσιν αὔλιος, ὅ ἐστιν ἑσπέριος,
book 62.3 πρὸς ὃν αὐλίζεται τὰ ζῷα. καὶ Καλλίμαχος ὃς δυθμὴν
book 62.4 εἶσι μετ’ ἠελίου. ἔστι δὲ ἀλύπως καὶ εἰς ἀνάπαυσιν
book 62.5.1 ἄγων τὰ ζῷα. γραπτέον οὖν οὔλιον, ἵνα τὸν τοῦ κυνὸς
book 62.5.2 σημαίνῃ, τὸν φθοροποιὸν καὶ λαμπρότατον, ᾧ καὶ τὸν Ἀχιλ-
book 62.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέα ὁμοιοῖ· λάμφ’ ὥς τ’ ἀστὴρ ὅς ῥά τ’ ὀπώρης εἶσιν
book 62.5.4 (X 26). A.
book 65.1 πᾶς δ’ ἄρα χαλκῷ
book 65.2 λάμφ’ ὥς τε στεροπή—πᾶς: σημειοῦνταί τινες
book 65.3 ὅτι τοῦτο ἀντὶ τοῦ ὅλος. A.
book 65.4 οἱ δ’ ὥς τ’ ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν
book 68.1 ὄγμον ἐλαύνωσιν: ἡ διπλῆ ὅτι τὸ ἐλαύνωσι τύπτωσι·
book 68.2 καὶ τίθησιν ἐπὶ τῆς ἐκ χειρὸς πληγῆς τὸ ἐλάσαι. A. Ar. 78.
book 71.1 οὐδ’ ἕτεροι μνώοντ’ ὀλοοῖο φόβοιο: ἡ διπλῆ
book 71.2 ὅτι φόβον τὴν φυγήν, ὃν δὲ ἡμεῖς φόβον, δέος λέγει. A.
book 71.3 Ar. 89.
book 72.1 ἴσας δ’ ὑσμίνη κεφαλὰς ἔχεν: ἡ διπλῆ ὅτι
book 72.2 Ἀρίσταρχος ὑσμίνη γράφει χωρὶς τοῦ ι· φησὶ γάρ, ἥ τε
book 72.3 τῶν Ἑλλήνων ὑσμίνη καὶ βαρβάρων ἰσοκέφαλος ἦν. A.
book 75.1 οἱ δ’ ἄλλοι οὔ σφιν πάρεσαν θεοί: ἡ διπλῆ πρὸς
book 75.2 τὴν ἑξῆς ἀθέτησιν· οὐ γὰρ ἦσαν ἐπὶ τοῦ αὐτοῦ πάντες οἱ θεοί. A.
book h78-83.1 πάντες δ’ ᾐτιόωντο κελαινεφέα Κρονίωνα,
book h78-83.2 οὕνεκ’ ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι.
book h78-83.3 τῶν μὲν ἄρ’ οὐκ ἀλέγιζε πατήρ· ὁ δὲ νόσφι
book h78-83.4 λιασθείς
book h78-83.5.1 τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων,
book h78-83.5.2 εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν
book h78-83.5.3 χαλκοῦ τε στεροπήν, ὀλλύντας τ’ ὀλλυμένους τε.
book 78-83.1 ἀθετοῦνται στίχοι ἕξ, ὅτι ψεῦδος· οὐ γὰρ δύ-
book 78-83.2 νανται πάντες τὸν Δία αἰτιᾶσθαι βοηθοῦντα τοῖς Τρωσίν,
book 78-83.1 ἀλλ’ οἱ τῶν Ἑλλήνων βοηθοί. καὶ τὸ ὁ δὲ νόσφι λια-
book 78-83.2 σθεὶς τῶν ἄλλων ἀπάνευθε καθέζετο ὡς ἐπὶ ταὐτὸ
book 78-83.5.1 συνηθροισμένων αὐτῶν λέγει· προείρηκε δὲ οἱ δ’ ἄλλοι
book 78-83.5.2 οὔ σφιν πάρεσαν θεοί (75). ἀπό τε τοῦ Ὀλύμπου οὐ
book 78-83.5.3 παρεισάγεται θεωρῶν τὴν ἐπὶ τῆς Τροίας μάχην, ἀλλ’ ἀπὸ
book 78-83.5.4 τῆς Ἴδης, ὅθεν διὰ τῶν ἑξῆς (183) μεταβαίνει εἰς αὐτόν. A.
book 86.1 ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὁπλίσσατο
book 86.2 δεῖπνον: ὅτι Ζηνόδοτος γράφει δόρπον. οὐ λέγει δὲ
book 86.3 δεῖπνον τὴν ἑσπερινὴν τροφὴν νῦν, ἀλλὰ δεῖπνον καλεῖ ὃ
book 86.4 ἡμεῖς ἄριστον· καθ’ ἣν ὥραν καὶ ὁ δρυτόμος ἀριστοποιεῖται
book 86.5.1 (Ar. 132), ἤγουν ὁ ὑλοτόμος, ὁ ξυλοτόμος· δρῦν γὰρ ἐκάλουν
book 86.5.2 οἱ παλαιοὶ ἀπὸ τοῦ ἀρχαιοτέρου πᾶν δένδρον (Ar. 153). A.
book 86.5.3 ἕλε δ’ ἄνδρα Βιάνορα ποιμένα λαῶν,
book 93.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτόν, ἔπειτα δ' ἑταῖρον Ὀιλῆα πλήξιππον:
book 93.2 ἡ διπλῆ ὅτι τὸ ἔπειτα ἀντὶ τοῦ μετὰ ταῦτα. πρὸς τὸ αὐ-
book 93.3 τὰρ ἔπειτ' Αἴας τε μέγας (I 169). A. Ar. 154.
book 94.1 ἤτοι ὅ γ' ἐξ ἵππων κατεπάλμενος ἀντίος ἔστη:
book 94.2 ἡ διπλῆ ὅτι δύο προθέσεις παρείληφεν, κατά, ἀπό, τῆς
book 94.3 ἑτέρας ἀρκούσης (cf. p. 27). A. Legitne igitur καταπάλμενος?
book h96-8.1 οὐδὲ στεφάνη δόρυ οἱ σχέθε χαλκοβάρεια,
book h96-8.2 ἀλλὰ δι' αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δέ
book h96-8.3 ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
book 97.1 ἡ διπλῆ ὅτι Ἀπολλώνιος ποιεῖ ἐγκέφαλον δέ (ita
book 97.2 recte Villois.), καὶ τὸν ἑξῆς ἀθετεῖ. A.
book 97.3 καὶ τοὺς μὲν λίπεν αὖθι ἄναξ ἀνδρῶν Ἀγα-
book 97.4 μέμνων
book 100.1 στήθεσι παμφαίνοντας ἐπεὶ περίδυσε χιτῶνας:
book 100.2 ἡ διπλῆ ὅτι ἔν τισι γράφεται ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα.
book 100.3 ἔσονται δὲ αὐτοὶ οἱ νεκροὶ τοῖς στήθεσι παμφαίνοντες· οὐ
book 100.4 λέγει δὲ τοῦτο, ἀλλὰ τοὺς ἐπὶ τοῖς στήθεσι παμφαίνοντας
book 100.5 χιτῶνας. A.
book h101 αὐτὰρ ὁ βῆ ῥ' Ἶσόν τε καὶ Ἄντιφον ἐξεναρίξων—
book h104-6.1 Ἄντιφος αὖ παρέβασκε περικλυτός· ὥ ποτ'
book h104-6.2 Ἀχιλλεύς
book h104-6.3 Ἴδης ἐν κνημοῖσι δίδη μόσχοιο λύγοισιν,
book h104-6.4 ποιμαίνοντ' ἐπ' ὄεσσι λαβών, καὶ ἔλυσεν ἀποίνων.
book 104 ὥ: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ὅν. μήποτε δὲ
book 104.1 πεπλάνηται, γεγραμμένου τοῦ ο ὑπ' ἀρχαικῆς σημασίας
book 104.2 ἀντὶ τοῦ ω, προσθεὶς τὸ ν· ἔστι γὰρ περὶ δυεῖν ὁ λόγος,
book 104.3 διὸ καὶ ἐπιφέρει καὶ γάρ σφε πάρος παρὰ νηυσίν (111).
book 104.5.1 καὶ ὅτι οἱ μαχόμενοι (una in curru stantium ii qui pugnabant
book 104.5.2 L.) παραβάται ἦσαν. A.
book 106.1 ποιμαίνοντ': ἡ διπλῆ ὅτι τὸ πλῆρες ποιμαί-
book 106.2 νοντε. Ζηνόδοτος δὲ ἔοικε δέχεσθαι ποιμαίνοντα· καὶ γὰρ
book 106.3 ὅν ποτε γράφει. A.
book h108-9.1 τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ στῆθος βάλε δουρί,
book h108-9.2 Ἄντιφον αὖ παρὰ οὖς ἔλασε ξίφει, ἐκ δ' ἔβαλ'
book h108-9.3 ἵππων.
book 109.1 Ἄντιφον: ἡ διπλῆ ὅτι ἐπανείληφε τὸ ὄνομα διὰ
book 109.2 τὸ προειρηκέναι δύο (καὶ πρὸς τὸ πρότερον ἀπήντησεν) ἵνα
book 109.3 σαφηνίσῃ κατὰ τίνα τόπον ἑκάτερος ἐπλήγη.
book 111.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γάρ σφε πάρος παρὰ νηυσὶ θοῇσιν εἶδεν—ἡ διπλῆ ὅτι σφέ ἀντὶ τοῦ αὐτούς· καὶ οὐκ ἔστι περὶ ἑνὸς ὁ λόγος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον (104). A.

ἡ δ’ εἰ πέρ τε τύχῃσι μαλὰ σχεδόν: ἡ διπλῆ ὅτι δύναται ἑκατέρως ἀναγινώσκεσθαι, καὶ κατὰ διαστολὴν τύχῃσι καὶ τετύχῃσι ὡς λελάχωσι. A. Cf. p. 11, not. 1.

ὑπ’ Ἀργείοισι φέβοντο: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὑπ’ Ἀργείων (cf. p. 23). πάλιν δὲ φέβοντο ἀντὶ τοῦ ἔφευγον. A. Ar. 89.

χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ἐπεί ἐστι τὸ λεγόμενον χρυσᾶ δῶρα. A. Cod. ἡ διπλῆ ἐπεὶ πρὸς τὸ σημ. ἐστι etc. Corr. L. —Cf. p. 32.

ἐκ γάρ σφεας χειρῶν φύγον ἡνία σιγαλόεντα: ἡ διπλῆ ὅτι τῇ αἰτιατικῇ (σφέας) ἀντὶ τῆς γενικῆς, ἀντὶ τοῦ αὐτῶν. A. Cf. p. 21 not. 1.

Ἀτρείδης. τὼ δ’ αὖτ’ ἐκ δίφρου γουναζέσθην: ἡ διπλῆ ὅτι δυωδεκασύλλαβος ὁ στίχος, καὶ σπανίως χρῆται, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὼ δ’ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν (φ 15). ἡ δὲ ἀναφορὰ πρὸς ἐπίκρισιν τῆς στιχοποιίας, ὅτι εὐτελεῖς τῇ κατασκευῇ δοκοῦσιν εἶναι οἱ τοιοῦτοι. καὶ ὅτι τὸ γουναζέσθην καταχρηστικῶς ἀντὶ τοῦ ἱκέτευον. A.

νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίσετε λώβην: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει οὗ πατρός. ἔστι δὲ ἑνικὸν τοῦ ἑαυτῆς ἢ τοῦ ἑαυτοῦ, ὅπερ οὐχ ἁρμόζει. ἐλλείπει δὲ ἡ πρόθεσις, καὶ ἔστιν ἀντὶ τοῦ περὶ τοῦ πατρός. AV. Cf. p. 26.

δουρὶ βαλὼν πρὸς στῆθος· ὁ δ’ ὕπτιος οὔδει ἐρείσθη: ἡ διπλῆ ὅτι ἀπὸ τῆς πληγῆς, οὐκ ἐπὶ τὴν πληγὴν πίπτει. A. Cf. ad E 68.

ὅλμον δ’ ὣς ἔσσευε κυλίνδεσθαι δι’ ὁμίλου: ἡ διπλῆ ὅτι ἅπαξ ἐνταῦθα κέχρηται· καὶ ὅτι καὶ ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν Ὀδυσσείᾳ, χοίνικος (τ 28) καὶ λύχνου (ib. 34). πρὸς τοὺς χωρίζοντας. A. Inserui καί ante ἐν Ἰλιάδι.

ὡς δ’ ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ ἐμπέσῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕλη: ἡ διπλῆ πρὸς τὴν ἄξυλον ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον. βέλτιον δὲ ἀφ’ ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος τῆλε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν (Markscheffel p. 382). A.

Ἕκτορα δ’ ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης: ἡ ἐκ νῦν ἐπίπαν εἶναι ἀντὶ τοῦ ἐκτός κεῖται. οὕτως οὖν καὶ ἐν Ὀδυσσείᾳ κεῖται θάνατος δὲ ἐξ ἁλὸς αὐτῷ (λ 134) A. Verba non sunt Aristonici, sed rem esse putaverim. L. Cf. p. 28.

οἱ δὲ παρ’ Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο
μέσσον κὰπ πεδίον, παρ’ ἐρινεὸν ἐσσεύοντο.

ἡ διπλῆ πρὸς τὸ περὶ τοῦ ναυστάθμου διάγραμμα· τὸ γὰρ Ἴλου σῆμα κατὰ μέσον εἶναί φησιν ἐν τῷ πεδίῳ (Ar. 231). A. ἐν quod est apud Villois. excidit apud Bekk.

ἅς τε λέων ἐφόβησε: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ εἰς φυγὴν ἔτρεψεν (Ar. 89). A.

πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων
Ἀτρείδεω ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν.

ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται, ὅτι κατὰ τὴν Πατρόκλου ἀριστείαν τάξιν ἔχουσι, νῦν δὲ οὔ· προείρηται γὰρ πολλοὶ δ’ ἐριαυχένες ἵπποι κείν’ ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας (159). Ζηνόδοτος οὐκ ἔγραφεν· Ἀριστοφάνης δὲ ἠθέτει τὸν Ἀτρείδεω ὑπὸ χερσίν. A. Alteri quidem horum versuum respondet Π 699: Πατρόκλου ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν. Alteri autem qui respondeat nunc nullus invenitur. Aut igitur erravit Aristonicus aut quod verisimilius, in libro sexto decimo locum aliquem aliter legit ac nos hodie (fortasse v. 379).

τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης: ἡ διπλῆ ὅτι διὰ τούτων συνίστησι τὸν Δία ἐπὶ τὴν Ἴδην πεπορευμένον ἐκ τοῦ Ὀλύμπου. A. Pertinet ad athetesin vs. 78 sqq.

βάσκ’ ἴθι Ἶρι ταχεῖα: ἡ διπλῆ ὅτι οὐ κατ’ ἐπίθετον τὸ ταχεῖα, ἀλλ’ ἀντὶ τοῦ ταχέως, οἷον καὶ τότε μοι χάνοι εὐρεῖα χθών (Δ 182). A. Cf. p. 29.

αὐτὰρ ἐπεί κ’ ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ

εἰς ἵππους ἅλεται.
book 191.1 ἡ διπλῆ πρὸς τὴν διαφορὰν τοῦ τύψαι καὶ βαλεῖν.
book 191.2 A. Ar. 62.
book 192 ἅλεται: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἅληται. A. Cf. p. 13.
book 196.1 βῆ δὲ κατ’ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν:
book 196.2 ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. καὶ ὅτι νῦν γραπτέον
book 196.3 κατ’ Ἰδαίων ὀρέων. ὅταν δὲ ἀπὸ τῆς Ἴδης ἐπὶ τὸν
book 196.4 Ὄλυμπον βῆ δ’ ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμ-
book 196.5 πον (Θ 410), ὡς ἀπ’ ἴσου ἐπ’ ἴσον. A.
book 201.1 Ζεύς με πατὴρ προέηκε τεΐν τάδε μυθή-
book 201.2 σασθαι: σημειοῦνταί τινες ὅτι ἐν ἴσῳ τῷ (cod. τοῦ) σοί
book 201.3 ἡ τεΐν. A.
book 217.1 πρῶτος ὄρους’, ἔθελεν δὲ πολὺ προμάχε-
book 217.2 σθαι ἁπάντων: πρὸς τὸ ἔθελεν, ὅτι διὰ παντὸς ἀπὸ τοῦ
book 217.3 ε ἄρχεται παρὰ τῷ ποιητῇ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ μήτε
book 217.4 σύ, Πηλειδῆθελε (A 277) ὅτι ἐγκλιτέον τὴν ἀνάγωσιν,
book 217.5 ἵν’ ᾖ ἔθελε. A.
book 218 ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ’ ἔχουσαι,
book 219 ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν—
book 221.1 Ἰφιδάμας Ἀντηνορίδης: ἡ διπλῆ ὅτι ὡς ἐμπνευ-
book 221.2 σθεὶς ἀνταποδέδωκε καθάπερ ἐν ἀρχῇ τῆς Ἰλιάδος, τίς τάρ
book 221.3 σφωε θεῶν (A 8), εἶτα Λητοῦς καὶ Διὸς υἱός. A.
book 226.1 (Κισσῆς) αὐτοῦ μιν κατέρυκε, δίδου δ’ ὅ γε
book 226.2 θυγατέρα ἥν: ἡ διπλῆ ὅτι ὅμοιος ὁ γάμος Διομήδους καὶ
book 226.1 Ἰφιδάμαντος· ἀμφότεροι γὰρ μητρὸς ἀδελφὰς ἐγάμησαν, ὁ
book 226.2 μὲν Αἰγιάλειαν τὴν Ἀδράστου, Ἰφιδάμας δὲ Κισσέως θυ-
book 226.5 γατέρα, ὧν Θεανοῦς υἱὸς τῆς Κισσέως. A.
book h234-5.1 Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθε
book h234-5.2 νύξ’, ἐπὶ δ’ αὐτὸς ἔρεισε.
book 234.1 ἡ διπλῆ ὅτι οὐ λέγει διὰ τοῦ θώρακος ἔνερθεν
book 234.2 ἐντὸς θώρακος, ἀλλὰ κατὰ ζώνην θώρακος, τὴν θωρακοζώνην
book 234.3 λεγομένην· τὸ δὲ ἔνερθεν εἰς τὸ κάτω μέρος τῆς θωρακο-
book 234.4 ζώνης, ὡς ὅταν λέγῃ νύξε δέ μιν κατὰ χεῖρα μέσην
book 234.5.1 ἀγκῶνος ἔνερθεν (252), οὐχ ὑποκάτω τοῦ ἀγκῶνος, ἀλλὰ
book 234.5.2 κατὰ τὸ ἔνερθε μέρος τοῦ ἀγκῶνος. ABL. In Aristarcho p. 127
book 234.5.3 Lehrs. etiam sequentia Aristonico tribuit: ὁ δὲ λόγος οὗτος,
book 234.5.4 τῆς θωρακοζώνης εἰς τὸ κάτω μέρος ἔνυξεν. Nunc autem
book 234.5.5 pleraque ejusmodi additamenta, quae ab ὁ δὲ λόγος οὗτος in-
book 234.10.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

cipere solent, Aristonici sententiam in brevius contractam denuo repetentia, aliis tribuenda esse existimat.

πρῶθ’ ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι’ ὑπέστη: ἡ διπλῆ ὅτι θρέμματα (cod. θρέμμα) ἐδίδοσαν οἱ μνηστευόμενοι πρὸς τὴν ἐξήγησιν τῶν ἀλφεσιβοίων παρθένων (Σ 593), ὅτι εἰσὶν αἱ ἀλφαίνουσαι βόας, ὅ ἐστιν εὑρίσκουσαι. A. Ar. 198.

νύξε δέ μιν κατὰ χεῖρα μέσην, ἀγκῶνος ἔνερθεν: ἡ διπλῆ ὅτι οὐ λέγει ὑποκάτω τοῦ ἀγκῶνος, ἀλλὰ κατὰ τὸ ἔνερθε μέρος τοῦ ἀγκῶνος. καὶ ἐν τοῖς ἐπάνω Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθεν (234). A. Ar. 127.

ἀνεμοτρεφὲς ἔγχος: ἡ διπλῆ ὅτι διὰ τοῦ ἀνεμοτρεφές βούλεται σημαίνειν τὸ εὔτονον· τὰ γὰρ ἐν εὐηνέμῳ χωρίῳ φυόμενα εὔτονα γίνεται, παλλόμενα καὶ κραδαινόμενα. διὸ καὶ τὴν Ἀχιλλέως μελίαν Πηλίου ἐκ κορυφῆς λέγει τετμῆσθαι (Π 144). A.

ὑπ’ Ἀτρείδῃ βασιλῆι πότμον ἀναπλήσαντες ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὑπ’ Ἀτρείδου βασιλέως, πρὸς τὴν μετάληψιν τῆς πτώσεως. A. Cf. p. 23.

ὄφρα οἱ αἷμ’ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς: ἡ διπλῆ ὅτι τὴν ἐκ χειρὸς πληγὴν ὠτειλὴν λέγει, παρὰ τὸ οὐτάσαι. A. Ar. 69.

μογοστόκοι Εἰλείθυιαι: ἡ διπλῆ ὅτι ποτὲ μὲν ἑνικῶς, ποτὲ δὲ πληθυντικῶς Εἰλειθυίας λέγει. ἀριθμὸν δὲ αὐτῶν οὐδὲ ὀνόματα παραδίδωσιν, ὥσπερ οὐδὲ Μουσῶν. Εἰλείθυιαι δὲ Διὸς καὶ Ἥρας θυγατέρες, τῶν τοκετῶν προιστάμεναι. A. Ar. 186.

οὐκ ἄκοντε: ἡ διπλῆ ὅτι διὰ τοῦ ἐναντίου τὸ ἐναντίον. A. Ar. 14.

καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ’ Ἀγέλαον (Hector interfecit): ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι καὶ τῶν Τρώων ἐστὶ Δόλοψ· τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ αἰχμῆς εὖ εἰδώς, Λαμπετίδης (Ο 525), λάμπου υἱὸς τοῦ Πριάμου ἀδελφοῦ. καὶ τῶν μνηστήρων εἷς Ἀγέλαος (υ 321). AB.

ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀργεσταο Νότοιο, βαθείῃ λαίλαπι τύπτων: πρὸς
book 305.3 τὸ σημαινόμενον, ὅτι τὰ συνιστάμενα ὑπὸ τοῦ Λευκονότου
book 305.4 νέφη ὁ Ζέφυρος διατινάσσει. A.
book 307 ἡ διπλῆ ὅτι—v. Ar. p. 17.
book 314.1 ἄλλ’ ἄγε δεῦρο πέπον παρ’ ἔμ’ ἵστασο (Ulixes
book 314.2 Diomedem alloquitur): σημειοῦνταί τινες ὅτι ἀριστείαν ἐν-
book 314.3 ταῦθα ’Οδυσσέως παράγει. τὸ δὲ δεῦρο εἰς τοῦτον τὸν
book 314.4 τόπον. A.
book 319 ἡ διπλῆ ὅτι βόλεται ἀντὶ τοῦ βούλεται. A.
book 326.1 παλινορμένω: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὀπίσω ὁρ-
book 326.2 μῶντες ὡς παλιμπλαγχθέντες (A 59). A. ὀπίσω pro 24ori-
book 326.3 sqen scr. Lehrs. Ar. 100.
book 328.1 ἔνθ’ ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου
book 328.2 ἀρίστω: ἡ διπλῆ ὅτι συλληπτικῶς εἴρηκεν ἑλέτην, καὶ κοι-
book 328.3 νὸν ποιεῖ τοῦ ἑτέρου τὸ κατόρθωμα. ἔστι δὲ Διομήδης μό-
book 328.4 νος ὁ ἀνελών· ἐπιφέρει γοῦν (333) τοὺς μὲν Τυδείδης. A.
book 333.1 τοὺς μὲν Τυδείδης δουρικλειτὸς Διομήδης
book 333.2 θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε’ ἀπηύρα:
book 333.3 ἡ διπλῆ ὅτι διὰ τούτου συνίσταται ὁ Διομήδης μόνος [ὁ]
book 333.4 ἀνῃρηκὼς τοὺς προειρημένους. A.
book 350.1 καὶ βάλεν οὐδ’ ἀφάμαρτε: σημειοῦνταί τινες,
book 350.2 ὅτι οὕτως εἴρηται καὶ ἐπέτυχεν. (Ar. 73). Nota cod. deest.
book h355-6.1 στῆ δὲ γνὺξ ἐριπών, καὶ ἐρείσατο χειρὶ παχείῃ
book h355-6.2 γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν.
book 356.1 ὁ ὀβελὸς καὶ ὁ ἀστερίσκος, ὅτι ἐν ἄλλῳ τόπῳ
book 356.2 (E 309) ὀρθῶς κεῖται, ἐνταῦθα δὲ οὔ· οὐ γέγονε γὰρ σφο-
book 356.3 δρὰ πληγή, ὡς ἐπ’ Αἰνείου· οὐ θλάσσε δέ οἱ κοτύλην
book 356.4 (E 307): πῶς οὖν ἐσκοτώθη; A. Cod. Αἴαντος pro Αἰνείου.
book 356.5 Verba ἐνταῦθα δὲ οὔ inserui.
book h368-70.1 ἦ, καὶ Παιονίδην δουρικλυτὸν ἐξενάριζεν.
book h368-70.2 αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο,
book h368-70.3 Τυδείδῃ ἔπι τόξα τιταίνετο, ποιμένι λαῶν.
book h373-6.1 ἤτοι ὁ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
book h373-6.2 αἴνυτ’ ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ’ ὤμων,
book h373-6.3 καὶ κόρυθα βριαρήν· ὁ δὲ τόξου πῆχυν ἄνελκεν
book h373-6.4 καὶ βάλεν· οὐδ’ ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός.
book 368.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐξενάριξεν συν-
book 368.2 τελικῶς. ἄρτι δὲ ἔμελλε σκυλεύειν· ἐπιφέρει γοῦν ἤτοι ὁ
book 368.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο (373). διὰ τοῦ ζ
book 368.4 οὖν γραπτέον παρατατικῶς· σκυλεύοντα γὰρ αὐτὸν βάλλει ὁ
book 368.5 Ἀλέξανδρος. A. Cf. p. 5.
book 376.1 ἡ διπλῆ ὅτι τὸ βάλεν ἀντὶ τοῦ ἐπέτυχεν (Ar. 73)
book 376.2 καὶ ὅτι ἐν σχήματι εἴρηκεν, οὐδὲ ἅλιον αὐτὸν ἐξέφυγε τῆς
book 376.3 χειρός—A. Supplendum: ἀντὶ τοῦ αὐτοῦ τὴν χεῖρα. Cf. p. 20.
book 385.1 τοξότα, λωβητήρ, κέραι ἀγλαέ, παρθενοπῖπα:
book 385.2 ἡ διπλῆ ὅτι κέραι οὐ τῇ τριχὶ ψιλῶς, ἀλλ’ ἐμπλοκῆς τι γέ-
book 385.3 νος· εἰς κέρατος τρόπον ἀνεπλέκοντο οἱ ἀρχαῖοι. Σώφρων
book 385.4 κορώνας ἀνδούμενοι (fr. 97 Ahrens). καὶ οἱ Ἀθηναῖοι
book 385.5.1 τέττιγας ἐνεπλέκοντο· καὶ παρ’ Ὁμήρῳ πλοχμοί θ’ οἳ
book 385.5.2 χρυσῷ τε καὶ ἀργύρῳ (P 52). ἔνιοι δέ, τῷ τόξῳ ἀγαλ-
book 385.5.3 λόμενε· προείρηκε δὲ τοξότα λωβητήρ. A.
book 387.1 οὐκ ἄν τοι χραίσμῃσι βιός: ἀντὶ τοῦ χραίσμοι.
book 387.2 A. Cf. p. 9.
book 390.1 κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτι-
book 390.2 δανοῖο: ἡ διπλῆ ὅτι κατὰ μεταφορὰν ἀπὸ τοῦ κατὰ τὴν
book 390.3 ἀκοὴν ἐπὶ τὸ κατὰ τὴν ἁφὴν κωφὸν τὸ ἀνεπαίσθητον. A.
book 390.4 Ar. 12 4.
book 402.1 οὐδέ τις αὐτῷ
book 402.2 Ἀργείων παρέμεινεν, ἐπεὶ φόβος ἔλλαβε
book 402.3 πάντας: ἡ διπλῆ ὅτι νῦν φανερῶς φόβος ἡ φυγή (Ar. 89). A.
book 405.1 αἴ κε φέβωμαι
book 405.2 πληθὺν ταρβήσας: ἡ διπλῆ ὅτι ἔξωθεν ἡ εἴς
book 405 πρόθεσις, εἰς πληθύν (cf. p. 26). A.
book 409.1 ὅς δέ κ’ ἀριστεύῃσι μάχῃ ἔνι: ἡ διπλῆ ὅτι
book 409.2 περισσὸς ὁ κέ (cod. καί). A. Cf. p. 10 sq.
book 413.1 ἔλσαν δ’ ἐν μέσσοισι (Trojani Ulixem) μετὰ
book 413.2 σφίσι πῆμα τιθέντες: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει
book 413.3 μετὰ σφίσι, πῆμα δὲ ἔλσαν. καὶ εὐτελὴς γίνεται ἡ
book 413.4 σύνθεσις, καὶ ἀδιανόητον τὸ λεγόμενον· οὐ γὰρ λέγει ἑαυ-
book 413.5 τοῖς πῆμα τιθέντες οἱ Τρῶες, ἀλλὰ τῷ Ὀδυσσεῖ. A.
book 422.1 Ἔννομον: ἡ διπλῆ ὅτι οὗτος ὁ Ἔννομος ὁμώ-
book 422.2 νυμός ἐστι τῷ ἐν τῷ διακόσμῳ Μυσῶν δὲ Χρόμις ἦρχε
book 422.3 καὶ Ἔννομος (B 858). A.
book 424 ἡ διπλῆ ὅτι ἅπαξ τὴν πρότμησιν ὠνόμασεν. A.
book 430.1 ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἆτ’ ἠδὲ πόνοιο:
book 430.2 ὅτι ἐμφαίνει τὸν Ὀδυσσέα ἐξ ἱστορίας παρειληφὼς δόλιον
book 430.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐπὶ τούτῳ διαβεβλημένον. A. Videtur spectare ad quaestionem de uno Iliadis Odysseaeque auctore. V: καὶ ἐν Ὀδυσσείᾳ (γ 121) ἐνίκα δῖος Ὀδυσσεὺς παντοίοισι δόλοισιν. ὥστε ἄμφω ἑνὸς τὰ σωμάτια. —Aristarchus certe interdum non melioribus argumentis utitur ad demonstrandum, ὅτι αὐτὸς ἄρα ὁ ποιητής.

τοιώδ’ ἄνδρε κατακτείνας καὶ τεύχε’ ἀπούρας: ἡ διπλῆ ὅτι ἀκαίρως προσέρριπται τὸ ἡμιστίχιον· οὐ γὰρ ἐπιτρέπει τὰ τῆς περιστάσεως σκυλεύειν. A.

γνῶ δ’ Ὀδυσεὺς ὅ οἱ οὔ τι τέλος κάτα καίριον ἦλθεν. Sic (non κατακαίριον ut Bekk. et Villois. secutus scripsit Lehrs. Ar. 66) scripsisse Aristarchum, Zenodotum autem βέλος, testatur Didymus hic et ad 451. Aristonicus sine dubio utrobique idem animadverterat, sed ejus notae perierunt.

ὣς εἰπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος ἔξω τε χροὸς ἕλκε καὶ ἀσπίδος ὀμφαλοέσσης: ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ἐκ τοῦ Σώκου χρωτὸς τὸ ἑαυτοῦ ἔγχος εἶλκεν ὁ Ὀδυσσεύς, ἢ ἐκ τοῦ ἰδίου χρωτὸς τὸ τοῦ Σώκου δόρυ. ὃ καὶ ἔστιν ὑγιές· λέγει γὰρ κῆδε δὲ θυμόν (458) οὐ τοῦ νεκροῦ ἀλλὰ τοῦ Ὀδυσσέως· τὸ δὲ ἑαυτοῦ ἔγχος εἴασεν οὕτως. A. Inserui ὅ ante καὶ ἔστιν ὑγιές.

τρὶς μὲν ἔπειτ’ ἤυσεν, ὅσον κεφαλὴ χάδε φωτός: ὅτι παρῆκε τὸ τί φωνῶν, οἷον βοηθεῖτε. A.

ἐν νέμεϊ σκιερῷ: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει γλαφυρῷ. τοῦτο δὲ σπηλαίῳ ἢ ἄντρῳ οἰκεῖον, νομὰς δὲ ἔχοντι συνδένδρῳ τόπῳ ἀνάρμοστον. A. Delevimus ὑπό ante συνδένδρῳ. Apoll. soph. νέμος ὁ σύνδενδρος τόπος καὶ νομὴν ἔχων· ἐν νέμεϊ σκιερῷ, σκιὰν μεγάλην ἔχοντι.

ὡς δ’ ὁπότε πλήθων ποταμὸς πεδίον δὲ κάτεισιν—
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας
ἐσφέρεται—

κάτεισι: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει δίηται. τὸ δὲ κάτεισι τὴν ἐξ ὕψους καταφορὰν δηλοῖ. A.

δρῦς ἀζαλέας: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, πότερον ὅτι φυλλοροεῖ καὶ κατὰ ταύτην τὴν ὥραν ξηραινόμενα τὰ δένδρα ἐκ ῥιζῶν ἀναβάλλεται ἐκ τῶν χειμάρρων· ἢ ὅτι οἱ δρυτόμοι εἰς τοὺς ποταμοὺς ἐμβάλλουσι κόπτοντες, ἵνα ἐπὶ τοῦ καιροῦ συγκαταφέρωνται τῷ ῥεύματι, ὃ καὶ ὑγιές.

A. V. ad Δ 487. Scripsi ῥεύματι pro ὄμβρῳ.
book 502.1 Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλει μέρμερα ῥέ-
book 502.2 ζων: ἡ διπλῆ ὅτι ὁμίλει ἀντὶ τοῦ ἐμάχετο, ἀπὸ τοῦ ὁμοῦ
book 502.3 τὰς ἴλας συμβάλλειν. A. Ar. 147.
book 505.1 εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠυκόμοιο
book 505.2 παῦσεν ἀριστεύοντα Μαχάονα ποιμένα λαῶν: ἡ
book 505.3 διπλῆ ὅτι μηδὲν προδιασυστήσας κατὰ συμπέρασμα παῦσεν
book 505.4 ἀριστεύοντά φησιν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ τῷ οὔ πώ
book 505.5.1 τις ὁμοῖος ἐπιχθόνιος γένετ’ ἀνὴρ Κοσμῆσαι ἵπ-
book 505.5.2 πους τε καὶ ἀνέρας ἀσπιδιώτας (Β 553). A.
book 514.1 ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
book 514.2 ἰούς τ’ ἐκτάμνειν ἐπί τ’ ἤπια φάρμακα πάσσειν.
book 515.1 ἀθετεῖται, ὅτι οὐκ ἀναγκαία ἡ ἐξαρίθμησις· μειοῖ
book 515.2 γὰρ, εἰ μόνον ἰοὺς ἐκτάμνειν καὶ φαρμακεύειν οἶδεν. καὶ
book 515.3 Ἀριστοφάνης προηθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A.
book 515.4 Ar. 360.
book 523.1 Ἕκτορ, νῶι μὲν ἐνθάδ’ ὁμιλέομεν Δαναοῖ-
book 523.2 σιν: ἡ διπλῆ ὅτι κυρίως λέγει ὁμιλέομεν, ὁμοῦ τὰς ἴλας
book 523.3 συμβάλλομεν. A. Ar. 147.
book 528.1 κεῖσ’ ἵππους τε καὶ ἅρμ’ ἰθύνομεν: ἡ διπλῆ
book 528.2 ὅτι Ζηνόδοτος γράφει κεῖθ’ ἵππους. γίνεται δὲ ἐν ἐκείνῳ
book 528.3 τῷ τόπῳ· τὸ δὲ ἐκεῖσε εἰς ἐκεῖνον τὸν τόπον, ὃ δὴ νῦν ἁρ-
book 528.4 μόζει. A. Ar. 138.
book 532 τοὶ δὲ (equi) πληγῆς ἀίοντες: ἡ διπλῆ ὅτι τῷ
book 532.1 εἴδει τὸ γένος δεδήλωκε· τὸ γὰρ ἀίοντές ἐστιν ἀκούοντες, θέ-
book 532.2 λει δὲ εἰπεῖν ἐπαισθόμενοι τῆς πληγῆς· ἡ γὰρ ἀκοὴ εἶδός
book 532.3 ἐστι τῆς αἰσθήσεως. A. Cf. Δ 343 Ο 252.
book 545.1 ὄπιθεν δὲ σάκος βάλεν: ἡ διπλῆ ὅτι ἐκ τελα-
book 545.2 μώνων ἀνήρτηντο αἱ ἀσπίδες· οὐ γὰρ ἂν ἄλλως ἠδύνατο εἰς
book 545.3 τοὐπίσω μεταλαμβάνεσθαι. A. Ar. 194.
book 548.1 ὡς δ’ αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο—:
book 548.2 ἡ διπλῆ ὅτι ἀπὸ τούτου Ζηνόδοτος ἀθετεῖ ἕως τοῦ ἤιε
book 548.3 πολλ’ ἀέκων (557) ἴσως ὅτι νῦν μὲν λέοντι παραβέβληκεν,
book 548.4 ἑξῆς δὲ ὄνῳ. ἔστι δὲ πρὸς διάφορα σημαινόμενα· ὁ μὲν γὰρ
book 548.5 λέων πρὸς τὴν πρᾶξιν, ὁ δὲ ὄνος πρὸς τὴν ὑπομονήν. A.
book 557.1 περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν: ὅτι ἀντὶ τοῦ περὶ
book 557.2 τῶν νεῶν τῶν Ἀχαιῶν. A. Cf. p. 23.
book 562.1 σπουδῇ δ’ ἐξήλασσαν (pueri asinum), ἐπεί τ’ ἐκο-
book 562.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ρέσσατο φορβῆς: ἡ διπλῆ ὅτι σπουδῇ λέγει ἀντὶ τοῦ μό-
book 562.3 λις καὶ μετὰ πολλῆς κακοπαθείας (Ar. 122): καὶ ὅτι ἐκορέσ-
book 562.4 σατο εἶπεν ἀντὶ τοῦ ἐκορέσθη (cf. p. 2). A.
book 566 Αἴας δ’ ἄλλοτε μὲν μνησάσκετο θούριδος ἀλκῆς
book 568.1 ὁτὲ δὲ τρωπάσκετο φεύγων: ἡ διπλῆ πρὸς τὸ ὁτὲ
book 568.2 δὲ τρωπάσκετο. A. An quod post ἄλλοτε μέν nunc sequi-
book 568.3 tur ὁτὲ δέ? L. Sed fortasse Aristarchus scripsit ὅτε δέ, ut P 178.
book h572-4.1 ἄλλα μὲν (δοῦρα) ἐν σάκεϊ μεγάλῳ πάγεν ὄρμενα
book h572-4.2 πρόσσω,
book h572-4.3 πολλὰ δὲ καὶ μεσσηγύ, παρὸς χρόα λευκὸν
book h572-4.4 ἐπαυρεῖν,
book h572-4.5 ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
book 572.1 ἡ διπλῆ πρὸς τὴν ἐξήγησιν τοῦ ὁ δὲ χασσάμε-
book 572.2 νος πελεμίχθη (Δ 535): ἀναχωροῦντες γὰρ τὰ ἐμπεπηγότα
book 572.3 δόρατα ταῖς ἀσπίσιν ἐτίνασσον. A.
book 574.1 τὰ δόρατα ἵσταντο (cf. p. 15). καὶ ὅτι ἀπὸ τῶν
book 574.2 ἐμψύχων μεταφέρει. A.
book 574.3 ἆσαι: ἐνεργητικὸν ἀντὶ παθητικοῦ· ὤφειλε γὰρ ἄσα-
book 574.4 σθαι. A. Videtur Aristonici esse. Cf. p. 2. 3.
book h583-4.1 ἕλκετ’ ἐπ’ Εὐρυπύλῳ, καί μιν βάλε μηρὸν ὀιστῷ
book h583-4.2 δεξιόν· ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
book 583.1 ἡ διπλῆ ὅτι ἀντὶ τοῦ καὶ αὐτοῦ τὸν μηρὸν ἔτρω-
book 583.2 σεν. A. Cf. p. 20.
book 584 δόναξ: ἡ διπλῆ ὅτι ὁ τοῦ βέλους κάλαμος· τὰ
book 584.1 γὰρ βέλη ξύλινα καὶ καλάμινα ἦν. πρὸς τὰ κῆλα θεοῖο
book 584.2 (A 53) ὅτι τὰ βέλη λέγει, καίτοι ἐξ ἄλλης ἦν ὕλης ἐκεῖνα.
book 584.3 A. Ar. 154.
book 589.1 ἀμύνετε νηλεὲς ἦμαρ
book 589.2 Αἴανθ’, ὃς βελέεσσι βιάζεται: ἡ διπλῆ ὅτι Ζη-
book 589.3 νόδοτος γράφει Αἴαντος βελέεσσι. γενικὴ μὲν οὖν οὐχ
book 589.4 ἁρμόζει, ὥστε δέχεσθαι τοῦ Αἴαντος· εἰ δὲ καὶ κατὰ συνα-
book 589.5.1 λοιφὴν ἐν τῷ ψιλῷ ἀντιστοίχῳ γέγραφεν, ἵν’ ᾖ τὸ πλῆρες
book 589.5.2 Αἴαντ’ ὃς βελέεσσιν, οὐκ ἔστι τῆς καθ’ Ὅμηρον ’Ιάδος
book 589.5.3 τὰ τοιαῦτα. A.
book 600.1 ἑστήκει γὰρ ἐπὶ πρύμνῃ μεγακήτεϊ νηί: ἡ
book 600.2 διπλῆ ὅτι ἡ πτῶσις ἤλλακται, ἀντὶ τοῦ πρυμνῇ (cod. πρυ-
book 600.3 μνῆς) μεγακήτεος νηός. A. Cf. p. 22.
book 601.1 εἰσορόων πόνον αἰπὺν ἰῶκά τε δακρυόεσσαν:
book 601.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τινὲς γράφουσιν ἰῶ, εἶτα καταδακρυόεσσαν. γίνεται
book 601.3 δὲ ἔκθεσμον· ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκήν, οἷον δίωξιν,
book 601.4 ὡς Ἡσίοδος (E 538) τὴν κρόκην κρόκα. A. Cf. Lobeck te-
book 601.5 chnol. 320. L.
book 604.1 (Patroclus) ἔκμολεν ἶσος Ἄρηι, κακοῦ δ᾽ ἄρα
book 604.2 οἱ πέλεν ἀρχή: σημειοῦνταί τινες ὅτι οὐ πόρρωθεν ἡ προ-
book 604.3 αναφώνησις· κἀκεῖ οὖν οὐκ ἐπὶ τὰ πόρρω ἡ ἀπότασις Διὸς
book 604.4 δ᾽ ἐτελείετο βουλή (A 5). A.
book 606.1 τί δέ σε χρεὼ ἐμεῖο: ἡ διπλῆ ὅτι πτῶσις ἤλλα-
book 606.2 κται, αἰτιατικὴ ἀντὶ δοτικῆς, τὸ σέ ἀντὶ τοῦ σοί (cf. p. 23.). A.
book 612.1 Νέστορ᾽ ἔρειο
book 612.2 ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο:
book 612.3 ἡ διπλῆ ὅτι ἀντὶ τοῦ τετρωμένον· τῷ εἰδικῷ τὸ γενικὸν ἐσή-
book 612.4 μανεν. A.
book 620.1 ἵππους δ᾽ Εὐρυμέδων θεράπων λύε τοῖο γέ-
book 620.2 ροντος: ἡ διπλῆ ὅτι καὶ Ἀγαμέμνονος ἡνίοχος ἦν Εὐρυ-
book 620.3 μέδων (Δ 227). A.
book h621-2.1 τοὶ δ᾽ ἱδρῶ ἀπεψύχοντο χιτώνων
book h621-2.2 στάν τε ποτὶ πνοιὴν παρὰ θῖν᾽ ἁλός.
book 621.1 τοί: ὅτι σαφὲς ὅτι οὗτοι. A. Cf. p. 30.
book 621.2 ἡ διπλῆ ὅτι ψύχειν μὲν λέγει πρὸς ἄνεμον, τέρσεσθαι
book 621.3 δὲ ἐν ἡλίῳ· ἤματα δ᾽ ἠελίοιο μέν (sic pro εἵματα δ᾽ ἠε-
book 621.4 λίοιο μένον) τερσήμεναι αὐγῇ (ζ 198). A. Ar. 131.
book 622 ἡ διπλῆ ὅτι σαφῶς οὗτοι πρὸς τῇ θαλάσσῃ νενεωλ-
book 622 κήκασιν. A. Ar. 230.
book 630.1 κρόμυον, ποτῷ ὄψον: ὅτι πᾶν προσόψημα ὄψον
book 630.2 οἱ ἀρχαῖοι. A. Ar. 153.
book 635.1 οὔατα δ᾽ αὐτοῦ
book 635.2 τέσσαρ᾽ ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
book 635.3 χρύσειαι νεμέθοντο, δύω δ᾽ ὑπὸ πυθμένες ἦσαν:
book 635.4 ἡ διπλῆ πρὸς τὴν κατασκευὴν τοῦ ποτηρίου ὅτι δεδιπλα-
book 635.5.1 σιασμένον αὐτὸ ὑποτίθεται· τέσσαρα γὰρ ὦτα καὶ δύο
book 635.5.2 πυθμένας. A.
book 636.1 ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
book 636.2 πλεῖον ἐόν, Νέστωρ δ᾽ ὁ γέρων ἀμογητὶ ἄειρεν:
book 636.3 πρὸς τὸ ζητούμενον, πῶς ὁ γέρων ἀμογητί, οἱ δὲ ἄλλοι μετὰ
book 636.4 κακοπαθείας. οὐ δεῖ δὲ οὔτε δασύνειν τὴν προφοράν (ἄλ-
book 636.5.1 λος), οὔτε ἐπαίρειν τὴν προσῳδίαν (ἀλλ᾽ ὅς—Herodian.),
book 636.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ νοεῖν ὅτι καὶ τοῦτο τῶν ἐπαίνων (nonne τῶν ἐν ἐπαίνῳ?)
book 636.5.3 λεγομένων Νέστορός ἐστι, καθὸ καὶ τὸ Νέστωρ δὲ πρῶ-
book 636.5.4 τος κτύπον ἄϊε φωνῆς (Κ 532). A.
book 650.1 ὅ με προέηκε πυθέσθαι
book 650.2 ὅν τινα τοῦτον ἄγεις βεβλημένον: οὕτως
book 650.3 ἀντὶ τοῦ ἤγαγες. ἤλλακται δὲ ὁ χρόνος. A. Cf. p. 4.
book 659.1 οἱ γὰρ ἄριστοι
book 659.2 ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε:
book 659.3 ἡ διπλῆ ὅτι συλληπτικῶς [τὸ] κατ’ ἀμφοτέρων κεκοινοποί-
book 659.4 ηκεν· οὐ γὰρ οἱ αὐτοὶ βέβληνται καὶ οὐτασμένοι εἰσίν. δια-
book 659.5.1 στέλλει μέντοι ἐν τοῖς ἑξῆς, λέγων βέβληται μὲν ὁ Τυ-
book 659.5.2 δείδης—οὔτασται δ’ Ὀδυσεύς. A. Ar. 63.
book 667.1 (naves) πυρὸς δηίοιο θέρωνται: ὅτι λείπει ἡ ὑπό,
book 667.2 ὑπὸ πυρός. A. Cf. p. 21.
book 683.1 γεγήθει δὲ φρένα Νηλεύς: ἡ διπλῆ ὅτι διαφω-
book 683.2 νοῦσιν οἱ νεώτεροι, τὸν Νηλέα λέγοντες ἀνῃρῆσθαι ὑφ’
book 683.3 Ἡρακλέους, ὅτε τὴν Πύλον ἐπόρθησεν. φαίνεται γὰρ καθ’
book 683.4 Ὅμηρον περιὼν καὶ μετὰ τὸ πορθηθῆναι· ὁ γὰρ πρὸς Ἠλεί-
book 683.5.1 ους πόλεμος τῶν Πυλίων μεταγενέστερος τοῦ πρὸς Ἡρακλέα.
book 683.5.2 A. Ar. 186.
book 686.1 οἷσι χρέως ὠφείλετ’ ἐν Ἤλιδι δίῃ: ὅτι τὰ πε-
book 686.2 ριελασθέντα ἐκ τῆς Πύλου ὑπὸ τῶν Ἐπειῶν θρέμματα χρέος
book 686.3 (sic) καλεῖ. A.
book 688 πολέσιν γὰρ Ἐπειοὶ χρεῖος ὄφειλον (an χρέως
book 688.1 ὤφειλον?): ὅτι σπανίως Ἠλείους καλεῖ. A. Immo semel: v. 671
book 688.2 ὡς ὁπότ’ Ἠλείοισι—Unde puto scribendum esse: ὅτι Ἐπεί-
book 688.3 ους τοὺς Ἠλείους καλεῖ. Cf. ad 694.
book 692.1 δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν: ἡ
book 692.2 διπλῆ πρὸς τοὺς χωρίζοντας, ὅτι ἐν μὲν Ἰλιάδι δώδεκα Νη-
book 692.3 λῆος παῖδας λέγει, ἐν δὲ τῇ Ὀδυσσείᾳ (λ 295) τρεῖς γεγο-
book 692.4 νέναι [ὡς] γενεαλογεῖ· καὶ Χλῶριν εἶδον περικαλλέα καὶ
book 692.5.1 ἐν τοῖς ἑξῆς Νέστορά τε Χρομίον τε Περικλύμενόν
book 692.5.2 τ’ ἀγέρωχον. ἐνδέχεται δὲ προγεγονότων αὐτῷ ἐξ ἑτέρας
book 692.5.3 γυναικὸς παίδων ὕστερον ἐκ Χλώριδος τοὺς τρεῖς γεγονέναι·
book 692.5.4 καὶ γὰρ ὁ Πρίαμός φησι (Ω 495) πεντήκοντά μοι ἦσαν,
book 692.5.5 ὅτ’ ἤλυθον υἷες Ἀχαιῶν· ἐννεακαίδεκα μέν μοι ἰῆς
book 692.10.1 ἐκ νηδύος ἦσαν· τοὺς δ’ ἄλλους μοι ἔτικτον ἐνὶ με-
book 692.10.2 γάροισι. A. ὡς omittendum puto, v. ad 750.
book 694.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπειοί: ἡ διπλῆ ὅτι ἔν τισι γράφεται Ἀχαιοί·
book 694.2 τοὺς δὲ Ἠλείους Ἐπειοὺς καλεῖ Ὅμηρος. A. Ar. 236.
book 699.1 τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν:
book 699.2 ἡ διπλῆ ὅτι φαντασίαν ὁ τόπος ἔχει ὡς τετρώρῳ ἅρματι χρω-
book 699.3 μένων τῶν ἡρώων· καὶ γὰρ λέγει (701) τὸν δ’ ἐλατῆρ’
book 699.4 ἀφίει ἀκαχήμενον ἵππων. ἐνδέχεται δὲ δύω συνωρίδας
book 699.5.1 ἐπὶ τὸν ἀγῶνα πεπορεῦσθαι, μή τι περὶ τὴν ἑτέραν γένη-
book 699.5.2 ται· εἰρῆσθαι δὲ τὸν ἐλατῆρ’ ἀφίει συλληπτικῶς, τὸν
book 699.5.3 ἑκατέρας ἐλατῆρα, ὡς ἀμφίπολος δ’ ἄρα οἱ κεδνὴ ἑκά-
book 699.5.4 τερθε παρέστη (α 335): οὐ μία ἐπὶ ἀμφοτέρων τῶν με-
book 699.5.5 ρῶν, ἀλλ’ ἑκατέρωθεν μία. A. Ultima (οἱ δὲ ὡς Ποσειδῶνος
book 699.10.1 υἱὸν τετρώρῳ φασὶ χρῆσθαι· ἵππιος γὰρ ὁ θεός) vix Aristo-
book 699.10.2 nici sunt: v. Ar. 197.
book 699.10.3 ἐξέλετ’ ἄσπετα πολλά· τὰ δ’ ἄλλ’ ἐς δῆμον ἔδωκεν
book 705.1 δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης: ἐκ
book 705.2 τῶν περὶ τῆς κοινωνίας λεγομένων ἐν Ὀδυσσείᾳ (ι 42) με-
book 705.3 τάκειται ὁ στίχος· ἔνθα καὶ εὔλογον αὐτοὺς τὰ λάφυρα ἐξ
book 705.4 ἴσου μερίζεσθαι. ἐνταῦθα δὲ οὐκ ἐπέβαλλεν ἐξ ἴσου μερί-
book 705.5.1 ζεσθαι, ἀλλ’ ἀνάλογον ἑκάστῳ τοῖς ὀφειλομένοις· οὐ γὰρ ἐκ
book 705.5.2 πολέμου λαφυραγωγίας. Ζηνόδοτος οὐδὲ ἔγραφεν. A. Hoc
book 705.5.3 vult. Non praedatione mere bellica hae manubiae partae erant
book 705.5.4 (οὐκ ἐκ πολέμου λαφυραγωγίας), quae in aequas portiones
book 705.5.5 dispertiendae fuissent; sed ideo illud pecus abactum, ut satis-
book 705.10 fieri posset Pyliis qui Epeis credidissent: pro ratione credito-
book 705 rum igitur portiones faciendae erant.
book 709.1 Μολίονε: ὅτι ἀπὸ τῆς μητρὸς Ὅμηρος οὐ σχη-
book 709.2 ματίζει· μήποτ’ οὖν ἀπὸ τοῦ ταύτης πατρὸς Μόλου οὕτως
book 709.3 αὐτοὺς εἶπεν. A. Ar. 179.
book 711.1 Θρυόεσσα: ἡ διπλῆ ὅτι ἣν ἐν τῷ καταλόγῳ εἴ-
book 711.2 ρηκε Θρύον καὶ Θρύον Ἀλφειοῖο πόρον (592), νῦν
book 711.3 Θρυόεσσαν λέγει. A. Ar. 241.
book 717.1 οὐδ’ ἀέκοντα Πύλον κάτα λαὸν ἀγείρειν
book 717.2 ἀλλὰ μάλ’ ἐσσυμένους πολεμίζειν: τὸν λαόν,
book 717.3 πρὸς τὸ σημαινόμενον. V. Cf. p. 32.
book 730.1 δόρπον ἔπειθ’ ἑλόμεσθα: ἡ διπλῆ ὅτι Ζηνόδο-
book 730.2 τος γράφει δεῖπνον. δόρπον δὲ λέγει τὴν ἑσπερινὴν τρο-
book 730.3 φήν· εὐθέως γὰρ κατακοιμῶνται. A. Ar. 132.
book 734.1 ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος:
book 734.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι τὸ προπάροιθε οὐ τοπικῶς ἀλλὰ χρονικῶς (Ar. 121), πρὶν ἢ πορθῆσαι τὸ ἄστυ—ἐφάνη αὐτοῖς μέγας ὁ ἐσόμενος πόλεμος. A. Post ἄστυ lacuna est, quam ita fere explendam existimo, adhibito schol. M 416: καὶ ὅτι τὸ ἐφάνη μέγα ἔργον Ἄρηος σημαίνει ἐνεδείκνυτο μέγα ἔργον πολέμου, οὐ κατὰ διάνοιαν ἐφάνη αὐτοῖς μέγας κτλ.

εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης: ἡ διπλῆ ὅτι ἐξ ἡρωικοῦ προσώπου ὑπὲρ γῆς τὴν ἀνατολὴν λέγει, αὐτὸς δὲ ἐκ τοῦ ἰδίου προσώπου ἐξ Ὠκεανοῦ. A. Ar. 177.

ἀλλ’ ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος: ἡ διπλῆ ὅτι τινὲς καὶ Ἀχαιῶν γράφουσιν· Ὅμηρος δὲ Ἐπειοὺς τοὺς Ἠλείους λέγει (Ar. 236). καὶ ὅτι νεῖκος οὐ μόνον ἡ διὰ λόγων ἐπίπληξις, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη, ὡς νῦν. A.

αὐτὰρ ἐγὼν ἐπόρουσα κελαινῇ λαίλαπι ἶσος· ἡ διπλῆ ὅτι ἐκπέπτωκεν εἰς ποιητικὴν κατασκευὴν τὸ παρηγμένον ἡρωικὸν πρόσωπον κατὰ τὴν ποίησιν. A.

καὶ νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ’ ἀλάπαξα,
εἰ μή σφωε πατὴρ εὐρυκρείων ἐνοσίχθων
ἐκ πολέμου ἐσάωσε.

ἡ διπλῆ ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ’ ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος. οὐδέποτε δὲ Ὅμηρος ἀπὸ μητρὸς σχηματίζει (Ar. 179). A.

ἡ διπλῆ πρὸς τὰ περὶ τῆς φύσεως τῶν Ἄκτορος παίδων, πότερον μία ἀμφοτέρων συμφυία ἢ ἑκάτερος αὐτῶν διφυὴς ἦν. A.

διὰ σπιδέος πεδίοιο: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον τὸ ἀπὸ τῆς λέξεως. A.

ἔνθ’ ἄνδρα κτείνας πύματον λίπον· αὐτὰρ Ἀχαιοί
ἂψ ἀπὸ Βουπρασίοιο Πύλον δ’ ἔχον ὠκέας ἵππους.

ἡ διπλῆ ὅτι τὸ ἔνθα ἐν ἐκείνῳ τῷ τόπῳ· καὶ ὅτι τοὺς Πυλίους Ἀχαιοὺς λέγει νῦν, τοὺς δὲ Ἠλείους Ἐπειούς (Ar. 236). A.

νῶι δέ τ’ ἔνδον ἐόντες ἐγὼ καὶ δῖος Ὀδυσσεύς: ἡ μὲν διπλῆ ὅτι χωρὶς τοῦ ν (νῶι) Ὁμηρικῶς, ἡμεῖς ἢ ἡμᾶς. ἀθετοῦνται δὲ ἀπὸ τούτου στίχοι ιθ′, ἕως τοῦ (785) σοὶ δ’ αὖθ’ ἐπέτελλεν, ὅτι ἡ σύνθεσις αὐτῶν πεζή,

καὶ διαφωνεῖ τοῖς ἐν ταῖς Λιταῖς ταῦτα Πηλεὺς μὲν ᾧ
book 767.5.2 παίδ’ ἐπέτελλ’ Ἀχιλῆι· ἐκεῖ γὰρ (I 254) ὁ Πηλεύς φησι
book 767.5.3 τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
book 767.5.4 δώσους’ αἴ κ’ ἐθέλωσι (cod. κέ θέλωσι), σὺ δὲ μεγα-
book 767.5.5 λήτορα θυμόν. καὶ ὅτι, ἃ Πηλεῖ ἐπέβαλλε ποιεῖν, ὁ
book 767.10.1 Ἀχιλλεὺς πράσσει, αὐτὸς δὲ ὡς εἴδωλον σπένδει· ἐς δ’ ἄγε
book 767.10.2 χειρὸς ἑλών, κατὰ δ’ ἑδριάασθαι ἄνωγεν, ξείνιά τ’
book 767.10.3 εὖ παρέθηκεν (778)· ὁ δὲ Πηλεὺς οὐδ’ εἰ πάρεισι προσ-
book 767.10.4 ποιεῖται. εὐτελὴς δὲ ἡ σύνθεσις καὶ τοῦ ἦρχον ἐγὼ μύ-
book 767.10.5 θοιο κελεύων ὔμμ’ ἅμ’ ἕπεσθαι (781). ἠθετοῦντο καὶ
book 767.15 παρὰ Ἀριστοφάνει οἱ ιθ′. A.
book 786.1 τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν
book 786.2 Ἀχιλλεύς: ἡ διπλῆ ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν
book 786.3 ἐδέξατο· οἴην Λυκάμβεος παῖδα τὴν ὑπερτέρην ἀντὶ
book 786.4 τοῦ τὴν νεωτέραν. καὶ τὸ ἔτυμον δὲ ἀντιπίπτει· ὁ γὰρ
book 786.5.1 ὑπερέχων κατά τί ἐστιν ὑπέρτερος. καὶ νῦν λέγει, τῷ γένει,
book 786.5.2 τῇ εὐγενείᾳ ὑπερέχει, διὰ τὸ εἶναι θεᾶς μητρός· σὺ δὲ
book 786.5.3 πρεσβύτερος εἶ (Ar. 188). A.
book 786.5.4 εἴ δέ τινα φρεσὶν ᾗσι θεοπροπίην ἀλεείνει
book 795.1 καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ:
book 795.2 ἡ διπλῆ ὅτι Ζηνόδοτος ἐκ τούτου καὶ τὸν ἑξῆς (fort. οὐκ εὖ
book 795.3 τοῦτον καὶ τὸν ἑξῆς L.) περιέγραψεν, ἀναγκαίους ὄντας εἰς
book 795.4 ἐρεθισμὸν Ἀχιλλέως. A.
book h802-3.1 ῥεῖα δέ κ’ ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
book h802-3.2 ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
book 802-3.1 ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παρά-
book 802-3.2 κεινται, ὅτι οἰκειότερον κεῖνται πρὸ τῆς Πατρόκλου ἐξόδου
book 802-3.3 (Π 44), ὅτε καὶ τῷ ὄντι κεκμήκασι, τῆς ἐπὶ ναυσὶ μάχης
book 802-3.4 συνεστώσης· οὐδὲ γὰρ νῦν συμβέβηκεν ἤδη τοὺς Τρῶας ἐπὶ
book 802-3.5.1 ταῖς ναυσὶν αὐταῖς καὶ ταῖς κλισίαις εἶναι ἐντὸς τοῦ τείχους
book 802-3.5.2 γεγονότας. A. οὐδὲ γὰρ νῦν scr. L. pro οὐδὲ γὰρ ἄν.
book 802-3.5.3 ἀλλ’ ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
book 807.1 ἷξε θέων Πάτροκλος, ἵνα σφ’ ἀγορή τε θέμις τε:
book 807.2 ἡ διπλῆ πρὸς τὸ τοῦ στρατοπέδου διάγραμμα, ὅτι ὑποτίθε-
book 807.3 ται κατὰ μέσον τοῦ ναυστάθμου θεατροειδῆ τόπον εἰς ὄχλου
book 807.4 συναγωγήν. A. Ar. 230.
book h817-8.1 ὡς ἄρ’ ἐμέλλετε, τῆλε φίλων καὶ πατρίδος αἴης
book h817-8.2 ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ.
book 817.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμέλλετε: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὡς εἰκὸς ἦν, ὡς ὑποκείμενον ἦν ὑμῖν τὸ παθεῖν. A. Ar. 124.

οὐκέτι διογενὲς Πατρόκλεις ἄλκαρ Ἀχαιῶν ἔσσεται, ἀλλ’ ἐν νηυσὶ μελαίνῃσιν πεσέονται: ἡ διπλῆ ὅτι τοῦτο ἐπὶ τῶν Τρώων λέγει· ἐμπεσοῦνται ταῖς ναυσίν, οἷον ἐνσείσουσιν [ἐμπρήσουσιν]. A. Cf. I 235 M 107 O 56 P 639.

(Achilles) ὃν Χείρων ἐδίδαξε, δικαιότατος Κενταύρων: ἡ διπλῆ ὅτι Ὅμηρος δεδιδάχθαι μέν φησιν ἐνταῦθα τὴν ἰατρικὴν ὑπὸ Χείρωνος τὸν Ἀχιλλέα, περὶ μέντοι τῆς παρ’ αὐτῷ τροφῆς οὐδὲν συνέστακεν, ἀλλὰ καὶ τοὐναντίον (cod. τῶν, corr. Lehrs. Herod. 460) διὰ τῶν πραγμάτων ἐπιμαρτυρεῖ, τροφέα τὸν Φοίνικα συνεστακὼς τούτου. A. δικαιότατος Κενταύρων: τὸ ὑπερθετικὸν κεῖται ἀντὶ ἀπολύτου· ἔστι δὲ ὁ μόνος ἐν Κενταύροις δίκαιος. ὅμοιον δὲ τούτῳ τὸ μελάντερον ἠύτε πίσσα (Δ 277) AD.

Fluxisse videtur ex Aristonico: cf. p. 31.

ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων, τὸν μὲν ἐνὶ κλισίῃσιν ὀίομαι ἕλκος ἔχοντα: ἡ διπλῆ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν· ὁ γὰρ Μαχάων ἐστὶν ὁ τετρωμένος. A. Ar. 13.

ἔνθα μιν ἐκτανύσας ἐκ μηροῦ τάμνε μαχαίρῃ ὀξὺ βέλος περιπευκές—ἡ διπλῆ, ὅτι μάχαιραν καλεῖ τὸ παραξιφίδιον, εἰς τὰς τοιαύτας χρείας εὐθετοῦν. A. Ar. 98.

ὣς ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱός
ἰᾶτ’ Εὐρύπυλον βεβλημένον· οἱ δ’ ἐμάχοντο
Ἀργεῖοι καὶ Τρῶες ὁμιλαδόν. οὐδ’ ἄρ’ ἔμελλεν
τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθεν.

ἡ διπλῆ ὅτι τὰ ἅμα γινόμενα οὐ δύναται ἅμα ἐξαγγέλλειν· ἐν ὅσῳ δὲ οὗτος ἰᾶτο, ἐκεῖνοι ἐμάχοντο. A.

Annotatum fuit, quae h. l. de muro dicantur, ea sic expressa esse quasi nunc primum ejus rei mentio fiat. Quod facit ad confirmandam athetesin versuum H 443 sqq. —Cf. ad M 17.

δὴ τότε μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων
τεῖχος ἀμαλδῦναι, ποταμῶν μένος εἰσαγαγόντες.

σημειοῦνταί τινες πρὸς τὰ ἐν τῇ H (443) ἀθετού-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μενα, ὅτι καὶ ἐκ τούτων διαβάλλεται πρὸς τὸ πρόσωπον
book 17.3 γινόμενα. A. Illud Jovis et Neptuni colloquium in H spurium
book 17.4 judicavit, cum aliis argumentis nisus, tum quia h. l. de muri
book 17.5.1 dirutione ita dicatur, quasi res antea non memorata sit. Si
book 17.5.2 versus propterea ab Aristarcheis notatus fuit, sic fere scripsisse
book 17.5.3 videbitur epitomator: πρὸς τὰ ἐν τῇ H ἀθετούμενα, πρὸς τὸ
book 17.5.4 πρόσωπον γινόμενα, ὅτι καὶ ἐκ τούτων διαβάλλεται. ἐν-
book 17.5.5 ταῦθα γὰρ εἰσάγεται ὁ Ποσειδῶν ὡς ἀφ' ἑαυτοῦ καταβάλ-
book 17.10.1 λων τὸ τεῖχος. —Λόγος πρὸς τὸ πρόσωπον significat ser-
book 17.10.2 monem cum praesente persona habitum, περὶ προσώπου de
book 17.10.3 absente. Ad O 138 ἑοῖο: ἐν τῷ περί τινος λόγῳ τίθεται,
book 17.10.4 νῦν δὲ πρὸς πρόσωπον ἐστι. Ad Θ 448: τὸ δὲ κάμετόν πρὸς
book 17.10.5 τὸ πρόσωπόν ἐστι.
book h21-3.1 Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
book h21-3.2 καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
book h21-3.3 κάππεσον.
book 22.1 ἡ διπλῆ ὅτι ἀμφίβολον μὲν ἐπὶ ποτέρου τῶν πο-
book 22.2 ταμῶν λέγει, τοῦ Σκαμάνδρου ἢ τοῦ Σιμοῦντος· δεκτέον
book 22.3 δὲ ἐπὶ τοῦ Σιμοῦντος. διὰ μέσου γὰρ τοῦ πεδίου φέρεται.
book 22.4 καὶ ὅτι ἀνέγνω Ἡσίοδος τὰ Ὁμήρου ὡς ἂν νεώτερος τούτου·
book 22.5.1 οὐ γὰρ ἐξενήνοχε τοὺς ποταμούς, μὴ ὄντας ἀξιολόγους, εἰ
book 22.5.2 μὴ δι' Ὅμηρον· καὶ τῷ Σιμοῦντι προσέθηκεν ἐπίθετον τὸ
book 22 θεῖόν τε Σιμοῦντα (Θ 342). A. Ar. 232.
book h34-7.1 ὣς ἄρ' ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων
book h34-7.2 θησέμεναι· τότε δ' ἀμφὶ μαχὴ ἐνοπή τε δεδήει
book h34-7.3 τεῖχος ἐύδμητον, κανάχιζε δὲ δούρατα πύργων
book h34-7.4 βαλλόμεν'. Ἀργεῖοι δέ—
book 34.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ὣς ἤμελλον ὄπι-
book 34.2 σθε· ἔστι δὲ βάρβαρον· τὰ γὰρ ἀπὸ συμφώνου ἀρχόμενα
book 34.3 ἐπὶ τοῦ παρεληλυθότος χρόνου ἀπὸ τοῦ ε ἄρχεται. καὶ ὅτι
book 34.4 τὸ ἔμελλον ἀντὶ τοῦ ἐῴκεσαν. A. Ar. 125.
book 36.1 ἡ διπλῆ ὅτι πύργων ἀντὶ τοῦ πύργους καὶ ἐλλείπει
book 36.2 ἡ ἐπί, ἵν' ᾖ κανάχιζε δὲ δούρατα ὡς ἐπὶ πύργους βαλλό-
book 36.3 μενα, οὐ τὰ ἐπῳκοδομημένα τῷ τείχει ἐκανάχιζε ξύλα.
book 36.4 Διονύσιος δὲ ὁ Σιδώνιος τὴν μὲν πτῶσιν οὐκ ἐνήλλαξε, τὴν
book 36.5.1 δὲ πρόθεσιν προσλαβὼν εἴρηκεν ἐπὶ πύργων (cod. πύργους)
book 36.5.2 βαλλόμενα. A. Cf. p. 24.
book 36.5.3 τοῦ δ' οὔποτε κυδάλιμον κῆρ
book 46.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταρβεῖ οὐδὲ φοβεῖται: ἡ διπλῆ ὅτι οὐ τὸ αὐτὸ
book 46.2 σημαίνει δι’ ἀμφοτέρων, ἀλλὰ διὰ μὲν τοῦ ταρβεῖ δέδιεν, ὃ
book 46.3 ἡμεῖς φοβεῖται, διὰ δὲ τοῦ φοβεῖται φεύγει. λέγει οὖν οὔτε
book 46.4 φεύγει. A. Ar. 89.
book h54-6.1 κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
book h54-6.2 ἵστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσιν
book h54-6.3 ὀξέσιν ἠρήρει, τοὺς ἔστασαν υἷες Ἀχαιῶν.
book 60.1 δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε
book 60.2 παραστάς: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ πρός, πρὸς Ἕκτορα,
book 60.3 ὡς καὶ τότ’ ἄρ’ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον
book 60.4 (P 237). A. Cf. p. 26.
book 66.1 στεῖνος γὰρ ὅθι τρώσεσθαι ὀίω: ἡ διπλῆ ὅτι
book 66.2 τὸ στένωμα τὸ κατὰ τὴν γέφυραν τῆς τάφρου λέγει. A.
book 66.3 Ar. 232.
book 71.1 εἰ δέ χ’ ὑποστρέψωσι, παλίωξις δὲ γένηται: ἡ
book 71.2 διπλῆ πρὸς τὴν παλίωξιν, ὅτι ἐστὶ πάλιν δίωξις, ὅταν με-
book 71.3 ταβαλλόμενοι διώκωσιν οἱ διωκόμενοι. ἡ δὲ ἀναφορὰ πρὸς
book 71.4 τὸ ἐκ τοῦ δ’ ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
book 71.5 αἰὲν ἐγὼ τεύχοιμι (O 69). κακῶς· διὸ ἀθετεῖται. A.
book h76-8.1 ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
book h76-8.2 αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες
book h76-8.3 Ἕκτορι πάντες ἑπώμεθ’ ἀολλέες.
book 77.1 ἡ διπλῆ ὅτι σαφῶς τοὺς πεζοὺς ὁπλίτας πρυλέας.
book 77.2 A. Ar. 123.
book 93.1 τῶν δ’ ἑτέρων Πάρις ἦρχε: ἡ διπλῆ ὅτι ὡς ἐπὶ
book 93.2 δευτέρου τάγματος ἑτέρων εἴρηκεν· καὶ ὅτι τηρεῖ τὴν ἐν τού-
book 93.3 τοις διαφοράν. A. καὶ scripsi pro ἤ.
book 96.1 τρίτος δ’ ἦν Ἄσιος ἥρως
book 96.2 Ἄσιος Ὑρτακίδης: ἡ διπλῆ ὅτι πλεονάζει ἐν Ἰλιάδι
book 96.3 τὰς ἐπαναλήψεις, ἐν Ὀδυσσείᾳ δὲ ἅπαξ (α 22). πρὸς τοὺς
book 96.4 χωρίζοντας. A.
book 97.1 (Ἀρίσβηθεν) ποταμοῦ ἀπὸ Σελλήεντος: ἡ διπλῆ
book 97.2 ὅτι Σελλήεις ποταμὸς ἐπ’ Ἀσίας οὗτος, ἕτερος δὲ ἐπὶ Θε-
book 97.3 σπρωτίας. A. Ar. 239.
book 105.1 οἱ δ’ ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι:
book 105.2 σημειοῦνταί τινες ὅτι βόας (ins. τυκτάς L.) τὰς ἀσπίδας εἴ-
book 105.3 ρηκεν (Ar. 194). A.
book 107.1 (Trojani) βάν ῥ’ ἰθὺς Δαναῶν λελιημένοι, οὐδ’ ἔτ’
book 107.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔφαντο
book 107.3 σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πε-
book 107.4 σέεσθαι: ἡ διπλῆ ὅτι ἐπὶ τῶν Τρώων ἀκουστέον, ἐμπε-
book 107.5 σεῖν ταῖς ναυσίν (Cf. O 56). A.
book h112-3.1 ἀλλὰ σὺν αὐτοῖσιν (equis) πέλασεν νήεσσι θοῇσιν,
book h112-3.2 νήπιος, οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας
book h115 ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν.
book 113.1 De Asio sermo est. Haec poeta ἐκ τοῦ ἰδίου προ-
book 113.2 σώπου addit: K 240. τὸ δὲ ἔμελλεν ἀντὶ τοῦ ἐῴκει. V.
book 115.1 ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. ἡ δὲ ἀναφορὰ
book 115.2 πρὸς τὸ Ἴλιον αἰπὺ ἕλοιεν (O 71), ὅτι οὐδετέρως· διὸ
book 115.3 ἀθετεῖται. A.
book h118-9.1 εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά, τῇ περ Ἀχαιοί
book h118-9.2 ἐκ πεδίου νίσσοντο σὺν ἵπποισιν καὶ ὄχεσφιν.
book 118.1 ἡ διπλῆ ὅτι πολλὰ σημαίνει τὸ εἴσατο, νῦν μὲν
book 118.2 τὸ ὥρμησε καὶ ἐπορεύθη ἀπὸ τοῦ εἶμι, ἐν ἑτέροις δὲ ἐφάνη,
book 118.3 εἴσατο δ' ὡς ὅτε ῥινόν (ε 281) καὶ τὸ γνῶναι εἴσομαι
book 118.4 αἴ κέ μ' ὁ Τυδείδης (θ 532 Ar. 150). καὶ ὅτι κατὰ ἀρι-
book 118.5.1 στερὰ τοῦ ναυστάθμου ἡ πύλη (Ar. 230). καὶ ὅτι μία
book 118.5.2 (Ar. 130). καὶ ὅτι εἴσατο νηῶν ἀντὶ τοῦ ἐπὶ τὰς ναῦς (cf.
book 118 p. 24.) A.
book h120-1.1 οὐδὲ πύλῃσιν
book h120-1.2 εὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα.
book 120 ἡ διπλῆ ὅτι πληθυντικῶς τὴν πύλην. A. Ar. 129.
book 121.1 ἡ διπλῆ ὅτι ἑνικῶς εἴρηκεν ὀχῆα, δύο δέ εἰσιν·
book 121.2 δοιοὶ δ' ἔντοσθεν ὀχῆες εἶχον ἐπημοιβοί (455). A.
book 121.3 Ar. 131.
book 127.1 ἔφαντο γὰρ οὐκέτ' Ἀχαιούς
book 127.2 σχήσεσθ' ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι:
book 127.3 ὅτι ἐπὶ τῶν Τρώων [λέγει ἀντὶ τοῦ ἐμπεσεῖν ἐνσεῖσαι]. A.
book 127.4 Pluygers. p. 1. Uncinis inclusa aut non Aristonici sunt aut
book 127.5.1 corrupta, frustraque tentata a Pluygersio. Cf. ad O 56.
book 127.5.2 ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους
book 128.1 υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων:
book 128.2 Ἀρίσταρχος ἐκ τούτων φησὶν ὅτι Λαπίθαι μετὰ Ἰδομενῆα
book 128.3 νενεωλκήκασιν. V. Ar. 230.
book h137-40.1 οἱ δ' ἰθὺς πρὸς τεῖχος ἐύδμητον, βόας αὔας
book h137-40.2 ὑψόσ' ἀνασχόμενοι ἔκιον μεγάλῳ ἀλαλητῷ
book h137-40.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην
book h137-40.4 Ἀσιάδην τ’ Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε.
book 137.1 ἡ διπλῆ ὅτι οὕτως τὰς ἀσπίδας βόας αὕας (cf.
book 137.2 ad 105, Ar. 194). ἰθὺς δὲ τὸ κατ’ εὐθεῖαν (Ar. 103). A.
book 139.1 Ὀρέστην: ἡ διπλῆ ὅτι τῷ Ἀγαμέμνονος υἱῷ
book 139.2 ὁμώνυμος εἷς τῶν βαρβάρων. A.
book 140 πρὸς τὴν ὁμωνυμίαν τοῦ Οἰνομάου. A.
book 144.1 Δαναῶν γένετο ἰαχή τε φόβος τε: ἡ διπλῆ
book 144.2 ὅτι τὸ φόβος ἀντὶ τοῦ φυγή. A. Ar. 89.
book 155.1 ἀμυνόμενοι σφῶν τ’ αὐτῶν καὶ κλισιάων:
book 155.2 ἡ διπλῆ ὅτι λείπει ἡ ὑπέρ πρόθεσις. A. Cf. p. 26.
book 159.1 ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον: ἡ διπλῆ πρὸς
book 159.2 τὴν συνήθειαν τοῦ ποιητοῦ, ὅτι καταλλήλως τῷ βέλεα πλη-
book 159.3 θυντικῷ ῥέον ἐπενήνοχεν. A. Cf. p. 15.
book 165.1 οὐ γὰρ ἔγωγ’ ἐφάμην ἥρωας Ἀχαιούς
book 165.2 σχήσειν—ὅτι πάντας κοινῶς καὶ οὐ τοὺς ἡγε-
book 165.3 μόνας μόνους ἥρωας καλεῖ. A. Ar. 108.
book h175-80.1 ἄλλοι δ’ ἀμφ’ ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν·
book h175-80.2 ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ’ ἀγορεῦσαι·
book h175-80.3 πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
book h175-80.4 λάινον. Ἀργεῖοι δὲ, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ
book h175-80.5.1 νηῶν ἠμύνοντο. θεοὶ δ’ ἀκαχείατο θυμόν
book h175-80.5.2 πάντες, ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.
book 175.1 ἀπὸ τούτου ἕως τοῦ πάντες ὅσοι Δαναοῖσιν
book 175.2 (180) ἀθετοῦνται στίχοι ς′, ὅτι παρῴδηνται (Ar. 351) ἐκ τοῦ
book 175.3 ἄλλοι δ’ ἀμφ’ ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι (O 414).
book 175.4 πρὸς ποίας δὲ πύλας ἐμάχοντο; οὐδέπω γὰρ διαβεβήκασι
book 175.5.1 τὴν τάφρον. γελοῖον δὲ καὶ τὸ ἀργαλέον δέ με ταῦτα
book 175.5.2 θεὸν ὣς πάντ’ ἀγορεῦσαι· τί γὰρ εἴρηται ἤδη τῆς τει-
book 175.5.3 χομαχίας; πόθεν δὲ θεσπιδαὲς πῦρ; οὐδέπω γὰρ πυρὶ
book 175.5.4 κέχρηνται, ἀλλ’ ὕστερον λέγει ὁ Ἕκτωρ οἴσετε πῦρ (ib. 718).
book 175.5.5 εὔηθες δὲ καὶ τὸ λέγειν ὅτι ἠνιῶντο οἱ βοηθοῦντες τοῖς Ἕλ-
book 175.10.1 λησι θεοὶ ἐπὶ τῷ ἐλαττοῦσθαι αὐτούς. τῷ δὲ λάϊνον Ἀρ-
book 175.10.2 γεῖοι δέ (178) διπλῆν παρατιθέασιν ἔνιοι διὰ τὸ ὑπερβα-
book 175.10.3 τόν, περὶ τεῖχος λάϊνον. ἠθετοῦντο δὲ καὶ παρὰ Ἀριστο-
book 175.10.4 φάνει· παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἐγράφοντο. A. Praeterea unam
book 175.10.5 tantum portam fuisse saepius notatum ab Aristarcho (Ar. 130). L.
book 193 Ὀρέστην: ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν. A.
book 201.1

αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων:
book 201.2 ἡ διπλῆ ὅτι ἀφορίζων ἔφη ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ ὁ ἀετός. A.
book 207.1 αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο:
book 207.2 ἡ διπλῆ ὅτι λείπει τὸ ἅμα, ἅμα πνοιῇσιν ἀνέμοιο. A. Cf. p. 26.
book h210-1.1 δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε
book h210-1.2 παραστάς·
book h210-1.3 Ἕκτορ, ἀεὶ μὲν πώς μοι ἐπιπλήσσεις ἀγορῇσιν.
book 210.1 ἡ διπλῆ ὅτι λείπει ἡ πρός, πρὸς Ἕκτορα. A.
book 210.2 Cf. p. 26.
book 211.1 σημειοῦνταί τινες ὅτι τοῦτο ὡς γενόμενον λέγει,
book 211.2 γινόμενον δὲ οὐ παρίστησι. καὶ παρεῖται ἡ πρόθεσις· ἐν
book 211.3 ἀγορῇσι γάρ (Cf. p. 25). τινὲς δὲ οὕτως, ὅτι ἀγορῇσιν ἀντὶ
book 211.4 τοῦ ἀγορεύσεσιν εἴρηκεν. A.
book 213.1 δῆμον ἐόντα παρὲξ ἀγορευέμεν: ἡ διπλῆ ὅτι
book 213.2 ἀντὶ τοῦ δημότην, ἰδιώτην. A.
book 216.1 μὴ ἴομεν: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ μὴ ἴωμεν συνέ-
book 216.2 σταλκεν. A. Cf. p. 13.
book 228.1 ὧδέ χ’ ὑποκρίναιτο θεοπρόπος: ἡ διπλῆ ὅτι
book 228.2 τὸ ὑποκρίναιτο ἀντὶ τοῦ ἀποκρίναιτο. A. qu. ep. 88.
book 230 τὸν δ’ ἄρ’ ὑπόδρα ἰδὼν προσέφη κορυθαίο-
book 230.1 λος Ἕκτωρ: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γρά-
book 230.2 φει τὸν δ’ ἠμείβετ’ ἔπειτα μέγας κορυθαίολος
book 230.3 Ἕκτωρ. βέλτιον δὲ τὸν δ’ ἄρ’ ὑπόδρα ἰδών· εὐθέως
book 230.5 γὰρ τὸ δυσάρεστον ἐμφαίνει διὰ τῆς ὄψεως. A.
book h239-40.1 εἴτ’ ἐπὶ δεξί’ ἴωσι πρὸς ἠῶ τ’ ἠέλιόν τε
book h239-40.2 εἴτ’ ἐπ’ ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα.
book 239.1 ἡ διπλῆ ὅτι δύο διαστάσεις οἶδεν Ὅμηρος κοσμι-
book 239.2 κάς, ἀνατολὴν καὶ δύσιν· καὶ δεξιὰ μὲν τὰ πρὸς ἀνατολάς,
book 239.3 ἀριστερὰ δὲ τὰ πρὸς δυσμὰς λέγει. A. Ar. 177.
book 239.4 ἐπὶ δὲ Ζεὺς τερπικέραυνος
book 253.1 ὦρσεν ἀπ’ Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν:
book 253.2 ἡ διπλῆ ὅτι διὰ τῶν ἀποτελουμένων φανερὸν ὅτι τὴν αἰγίδα
book 253.3 ἔσεισεν ὁ Ζεύς. A. Ar. 192.
book 254.1 ἥ ῥ’ ἰθὺς νηῶν κονίην φέρεν: ἡ διπλῆ ὅτι τὸ
book 254.2 ἰθὺς τοπικῶς τίθησιν, ἀντὶ τοῦ ἐπ’ εὐθείας καταντικρὺ τῶν
book 254.3 νεῶν. A. Ar. 103.
book 258.1 κρόσσας μὲν πύργων ἔρυον καὶ ἔρειπον
book 258.2 ἐπάλξεις: ὅτι κρόσσας ἐν μὲν τοῖς ὑπομνήμασι κεφαλίδας,
book 258.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν δὲ τοῖς περὶ τοῦ ναυστάθμου κλίμακας. Et in hoc sub-
book 258.4 stitisse putandus est: v. ad v. 375 et Ξ 35. L. καὶ τὸ πύρ-
book 258.5.1 γων ἔρυον ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς πύργους εἷλκον. (Cf. p. 24).
book 258.5.2 A. Suidas: κρόσσας κλιμακίδας. ἐν μὲν τοῖς ὑπομνήμασιν
book 258.5.3 ἀποδίδωσι τὰς τῶν ἐπάλξεων στεφάνας, οἱονεὶ κεφαλίδας,
book 258.5.4 ἐν δὲ τοῖς περὶ ναυστάθμου κλίμακας. Cf. Philoxenum in Et.
book 258.5.5 M. 540, 40. Variae quae fuerunt explicationes, optime nunc
book 258.10.1 enumerantur ap. Hesych. cujus initium ita scribendum: κρόσσας
book 258.10.2 κλίμακας, καὶ προκρόσσας ἄλλας ἐπ’ ἄλλαις. L.
book 261.1 τὰς οἵ γ’ αὖ ἔρυον: ἡ διπλῆ ὅτι εἰς τοὐπίσω
book 261.2 εἷλκον, πρὸς τὸ αὐέρυσαν μὲν πρῶτα (A 459). A.
book 280.1 ὅτε τ’ ὤρετο μητίετα Ζεύς
book 280.2 νειφέμεν, ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ
book 280.3 κῆλα: ἡ διπλῆ ὅτι κῆλα τὰ βέλη Διός, χιὼν καὶ ὑετός (Ar.
book 280.4 154). νίφειν δὲ τὸ χιονίζειν λέγει. A.
book 285.1 κῦμα δέ μιν προσπλάζον ἐρύκεται: ἡ διπλῆ
book 285.2 ὅτι ἀντὶ τοῦ ἐρύκει. A. Cf. p. 23.
book 290.1 οὐδ’ ἄν πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
book 290.2 τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα: ἡ
book 290.3 διπλῆ ὅτι πάλιν τὴν πύλην πύλας (Ar. 129), καὶ τὸν μο-
book 290 χλὸν ἕνα (v. v. 121), διὰ τῶν ἑξῆς (456) δύο παραδιδούς. A.
book 294-6.1 αὐτίκα δ’ ἀσπίδα μὲν πρόσθ’ ἔσχετο πάντος’ ἐίσην
book 294-6.2 καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεύς
book 294-6.3 ἤλασεν: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐξέλας’· ἐξ οὗ
book 294-6.4 φανερός ἐστι τὸ προκείμενον ψιλῶς ἀνεγνωκώς ἐξήλατον·
book 294-6.5 δεῖ δὲ δασέως, ἵνα ἀριθμὸς δηλωθῇ. A.
book 300.1 κέλεται δέ ἑ (leonem) θυμὸς ἀγήνωρ
book 300.2 μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν:
book 300.3 ἡ διπλῆ, ὅτι πειρήσοντα διάπειραν ληψόμενον, ἐνεδρεύσοντα·
book 300.4 καὶ ὅτι ὁ καί περισσός ἐστιν (Cf. p. 34). ὁ δὲ Διονύσιος, ὅτι
book 300.5 δύναται σημαίνειν τι πλέον, οὕτως ἐνδεὴς τροφῆς ὥστε καὶ
book 300.5.2 ἐπὶ πεπυκνωμένον καὶ ἠσφαλισμένον δόμον ἐλθεῖν. δόμον
book 300.5.3 δὲ τὴν ἔπαυλιν. A.
book 303.1 σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ
book 303.2 μῆλα: σημειοῦνταί τινες ἐνταῦθα ὅτι περισσὴ ἡ πρόθεσις
book 303.3 ἡ περί. A. Cf. p. 27.
book 328.1 ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν ἦέ τις ἡμῖν: ἡ
book 328.2 διπλῆ ὅτι ἀντὶ τοῦ ἴωμεν καὶ ὀρέξωμεν (cf. p. 13.), καὶ ὅτι
book 328.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεκδέξασθαι δεῖ τὸ ὀρέξῃ, ὅπερ οὐ συνέντες τινὲς ὑποτιθέασι στίχον· δώσει ἀποκτάμενος κλυτὰ τεύχεα καὶ δόρυ μακρόν. A.

ἐς δ’ ἐνόης’ Αἴαντε δύω (Menestheus), πολέμου
ἀκορήτω
ἑσταότας, Τεῦκρον δὲ νέον κλισίηθεν ἰόντα.

ἡ διπλῆ ὅτι ἐν τοῖς ἀριστεροῖς μέρεσι τοῦ ναυστάθμου γέγονεν ἡ μάχη, ὅπου καὶ οἱ Αἴαντες ἐσκήνουν. A. Ar. 230.

ὅτι νέον ἀντὶ τοῦ νεωστί. A. Ar. 153.

καὶ πυλέων· πάσας γὰρ ἐπώχατο: ὅτι τὸ πάσας ἀντὶ τοῦ ὅλας· οὐ γὰρ ἦσαν πολλαὶ πύλαι ἀλλὰ μία (Ar. 130). πάσας dicitur Aristarchus legisse (Did.), qui ἐπῴχατο sine dubio explicuit: ἠσφαλίσαντο κλείσαντες οἱ Ἀχαιοί (Eustath.). Neque tamen alteram lectionem—πᾶσαι γὰρ ἐπῴχατο—prorsus rejecit, siquidem sequentia aut ab Aristonico aut a Didymo profecta sunt: τὸ δὲ ἐπῴχατο διὰ τοῦ α καὶ σὺν τῷ ι, οἷον ἐπικεκλιμέναι ἦσαν, ἐπέκειντο. Ζηνόδοτος ἐπῴχετο. A.

αἶψα δ’ ἐπ’ Αἴαντα προΐει κήρυκα Θοώτην·
ἔρχεο δῖε Θοῶτα, θέων Αἴαντα κάλεσσον.

ἡ διπλῆ ὅτι οἰκεῖον ὄνομα κήρυκος, ἀπὸ τοῦ ταχύνειν, καὶ ὅτι ὀνομαθετικὸς ὁ ποιητής. Ζηνόδοτος δὲ ἐν ἀμφοτέροις τοῖς στίχοις Αἴαντε γράφει. A.

ἡ διπλῆ ὅτι παρετυμολογεῖ τὸν Θοώτην ἀπὸ τοῦ θέειν. A.

ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ
ζαχρηεῖς τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν,
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,
καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς.

ἡ διπλῆ περιεστιγμένη πρὸς Ζηνόδοτον, ὅτι ἔοικεν ἐξειληφέναι τὸ ὧδε τοπικῶς· ἑξῆς γὰρ γράφει κεῖσε γὰρ ἔβρισαν (359). ἔστι δὲ ἀντὶ τοῦ οὕτω. A. κεῖσε γὰρ ἔβρισαν scr. Lehrs. pro εἰ δέ σφιν καὶ κεῖθι. Ar. 84 cum nota.

ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει εἰ δέ σφιν κάκεῖσε· [ἔστι δὲ ἀντὶ τοῦ οὕτως]. οὐ δεῖ δέ, εἰ εἰς ἐκεῖνον τόπον ὁ πόλεμός ἐστιν, ἀλλ’ ἐν ἐκείνῳ. A. Verba inclusa

pertinent ad ὧδε (v. 346). οὐ δεῖ δέ emend. Bekk. pro δέ.
book 348.5 Cf. Ar. 139.
book 350.1 ἀθετεῖται· οὐ γὰρ πιθανὸν ὥσπερ ἐξ ἐπιτάγματος
book 350.2 παρεῖναι τὸν Τεῦκρον· [διὰ παντὸς γὰρ ὑπασπιστὴς Αἴαν-
book 350.3 τος φαίνεται.] καὶ Ἀριστοφάνης ἠθέτει. A. Verba inclusa
book 350.4 aliena esse existimat L.
book 359.1 (praeco loquitur) ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί:
book 359.2 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει κεῖσε γὰρ
book 359.3 ἔβρισαν, οὐχ ὑγιῶς εἰς ἐκεῖνον τὸν τόπον· δεῖ γὰρ ἐν
book 359.4 ἐκείνῳ τῷ τόπῳ. δεῖ δὲ γράφειν ὧδε· τὸ γὰρ λεγόμενόν
book 359.5.1 ἐστιν, οὕτως ἐπεβάρησαν ὥστε χρείαν ἔχειν ἡμᾶς συμμα-
book 359.5.2 χίας. A. Ar. 139.
book 363.1 καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς:
book 363.2 ἀθετεῖται ὁ στίχος καὶ ὑπὸ τοῦ κήρυκος λεγόμενος (item ut
book 363.3 antea 350 dictus a Menestheo) διὰ τὰ αὐτά (et ob easdem
book 363.4 causas L.). A.
book h365-8.1 αὐτίκ’ Ὀιλιάδην ἔπεα πτερόεντα προσηύδα.
book h365-8.2 Αἶαν, σφῶι μὲν αὖθι, σὺ καὶ κρατερὸς Λυκομήδης,
book h365-8.3 ἑσταότες Δαναοὺς ὀτρύνετον ἶφι μάχεσθαι·
book h365-8.4 αὐτὰρ ἐγὼ κεῖσ’ εἶμι καὶ ἀντιόω πολέμοιο.
book 365.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει αὐ-
book 365.2 τίκ’ ἄρ’ Ἰλιάδην. Οἰλιάδην δὲ διὰ παντὸς Ὅμηρος λέγει
book 365.3 (Ar. 180). καὶ ὅτι λείπει ἡ πρός (cf. p. 26). A.
book 366.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει σφῶε. τοῦτο δέ
book 366.2 ἐστιν αὐτούς, ὅπερ οὐχ ἁρμόζει. τὸ δὲ σφῶι ὑμεῖς. A.
book 368.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει κεῖθι.
book 368.2 τοῦτο δέ [σημαίνει ἐν ἐκείνῳ τῷ τόπῳ. τὸ δὲ κεῖσε, εἰς
book 368.3 ἐκεῖνον τὸν τόπον πορεύσομαι, ὅπερ νῦν ἁρμόζει. A. Ar. 139.
book h371-2.1 καί οἱ Τεῦκρος ἅμ’ ᾔε κασίγνητος καὶ ὅπατρος.
book h371-2.2 τοῖς δ’ ἅμα Πανδίων Τεύκρου φέρε κάμπυλα τόξα.
book 371.1 εἴρηται ὅτι [ἐκ τούτου] διεσκεύασται [ὁ ἐπάνω δὶς κεί-
book 371.2 μενος 350, 363]. A. Verba inclusa addidi.
book 372 ἀθετεῖται· διὰ τί γὰρ μὴ ἑαυτῷ βαστάζει; V.
book 375.1 οἱ δ’ ἐπ’ ἐπάλξεις βαῖνον: ἡ διπλῆ ὅτι εἰ μὴ νοή-
book 375.2 σωμεν κρόσσας (258) τὰς κλίμακας, πῶς ἂν ἄλλως δύναιντο
book 375.3 ἀναβαίνειν ἐπὶ τὸ τεῖχος; A.
book 394.1 ἀλλ’ ὅ γε (Sarpedon) Θεστορίδην Ἀλκμάονα
book 394.2 δουρὶ τυχήσας: ἡ διπλῆ ὅτι οὐ Κάλχαντος ἀδελφὸς Ἀλ-
book 394.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κμαίων (sic) ἀλλ’ ὁμώνυμος (sc. ὁ Θέστωρ), ἐπεὶ προσέθηκεν
book 394.4 ἄν τι εἰς διάγνωσιν. A.
book 400.1 τὸν δ’ Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ’ ὁ μὲν ἰῷ
book 400.2 βεβλήκει—ὅτι πρὸς τὸ δεύτερον πρότερον
book 400.3 ἀπήντησεν. A.
book 416.1 μέγα δέ σφισι φαίνετο ἔργον: ἡ διπλῆ ὅτι τὸ
book 416.2 σημαινόμενόν ἐστι μέγα ἤδη αὐτοῖς ἐνεδείκνυτο τῆς μάχης
book 416.3 ἔργον, οὐ κατὰ διάνοιαν. A. Cf. ad Λ 734.
book 426.1 ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα:
book 426.2 πρὸς τὸ λαισήια, ὅτι οἱ μὲν κατὰ ἀντιπαράθεσιν τῶν εὐ-
book 426.3 κύκλων παραμήκεις τὰ λαισήια, οἱ δὲ ἐλαφρά. A. Puto ab
book 426.4 Aristonico esse usque ad λαισήια, omisso οἱ μέν. L.
book 437.1 πρίν γ’ ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορι
book 437.2 δῶκεν—
book 439.1 ἤυσεν δὲ διαπρύσιον, Τρώεσσι γεγωνώς: ἡ διπλῆ
book 439.2 ὅτι ἐπὶ τοῦ Διὸς τοῦτό φησιν, οὐκ ἐπὶ τοῦ Ἕκτορος·
book 439.3 διὸ καὶ ἐπήνεγκεν, ὣς φάτ’ ἐποτρύνων, οἱ δ’ οὔασι
book 439.4 πάντες ἄκουον (v. 442). A.
book 442 ὣς φάτ’ ἐποτρύνων, οἱ δ’ οὔασι πάντες
book 442.1 ἄκουον: ὅτι διὰ τούτου εὐκρινὲς γίνεται τὸ τῆς προκειμέ-
book 442.2 νης ἀμφιβολίας. οὐ γὰρ δὴ ἄλλως ἐδύναντο πάντες ἀκού-
book 442.3 ειν, εἰ μὴ ὁ Ζεὺς ἐπεφώνησεν. A.
book 444.1 κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ’
book 444.2 ἔχοντες: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐπεὶ θεοῦ
book 444.3 ἔκλυον αὐδήν. A.
book 449-50.1 ὁ δέ μιν (lapidem) ῥέα πάλλε καὶ οἶος.
book 449-50.2 τόν οἱ ἐλαφρὸν ἔθηκε Κρόνου παῖς ἀγκυ-
book 449-50.3 λομήτεω: [ἡ διπλῆ], ὅτι ἐκλύει τὴν τοῦ βαστάζοντος δύ-
book 449-50.4 ναμιν. καὶ Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγρα-
book 449-50.5 φεν. A. In cod. huic versui obelus appictus est. —
book 455-6.1 δοιοὶ δ’ ἔντοσθεν ὀχῆες
book 455-6.2 εἶχον ἐπημοιβοί, μία δὲ κληὶς ἐπαρήρει:
book 455-6.3 ἡ διπλῆ ὅτι δύο φησὶ μοχλοὺς εἶναι ἐπὶ τῆς πύλης, ἐξ ἑκα-
book 455-6.4 τέρας φλιᾶς ἕνα, ἐπαλλασσομένους κατὰ μέσον, καὶ ἐπὶ τοῖς
book 455-6.5 ἄκροις ἐπικλειομένους διὰ τὴν συμβολὴν μιᾷ κλειδί. A. Ar. 131.
book 458.1 ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη: ἡ διπλῆ
book 458.2 ὅτι πᾶν τὸ βαλλόμενον βέλος λέγει, καὶ νῦν τὸν λίθον·
book 458.3 καὶ ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἡρμήνευκεν. A. Ar. 14.
book 463.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια: ἡ διπλῆ ὅτι
book 463.2 τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. πρὸς τὸ ὁ δ’ ἤιε νυκτὶ ἐοικώς
book 463.3 (Α 47). ὁ δὲ Ζηνόδοτος γράφει νυκτὶ ἐλυσθείς. A.
book h469-71.1 οἱ δὲ κατ’ αὐτάς
book h469-71.2 ποιητὰς ἐσέχυντο πύλας. Δαναοὶ δ’ ἐφόβηθεν
book h469-71.3 νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ’ ἀλίαστος ἐτύχθη.
book 470.1 ἡ διπλῆ ὅτι μία πύλη, πληθυντικῶς δὲ εἴρηται.
book 470.2 (Ar. 130). καὶ ὅτι ἔφευγον ὡς ἐπὶ τὰς ναῦς. διὰ ταύτης δὲ
book 470.3 εἰσέρχονται τῆς πύλης δι’ ἧς ὁ Ἕκτωρ. A.
book h1-2.1 Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ
book h1-2.2 πέλασσεν,
book h1-2.3 τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ’ ἐχέμεν καὶ ὀιζύν.
book 1.1 ἡ διπλῆ ὅτι κεχώρικε τῶν Τρώων τὸν Ἕκτορα, ὡς
book 1.2 κἀκεῖ οὐ γὰρ ἔτ’ Οἰνῆος μεγαλήτορος—οὐδέ τ’ αὐ-
book 1.3 τὸς ἔην (sic) θάνε δὲ ξανθὸς Μελέαγρος (Β 641). A.
book 2 ὅτι πόνον τὸ κατὰ πόλεμον ἔργον εἴρηκεν. A. Ar. 87.
book 12.1 Σάμου ὑληέσσης Θρηικίης: ἡ διπλῆ ὅτι οὐ-
book 12.2 δέποτε συνθέτως εἴρηκε Σαμοθρᾴκην. A. Ar. 238.
book 16.1 Τρωσὶν δαμναμένους: ὅτι ἀντὶ τοῦ ὑπὸ Τρώων.
book 16.2 A. Cf. p. 24.
book 21.1 Αἰγάς, ἔνθα τέ οἱ κλυτὰ δώματα βένθεσι
book 21.2 λίμνης: ἡ διπλῆ ὅτι κατὰ τὰς Αἰγὰς ἐν βυθῷ τὴν οἴκησιν
book 21.3 τοῦ Ποσειδῶνος ὑποτίθεται ἀόρατον ἀνθρώποις, ὥσπερ ἐπὶ
book 21.4 τοῦ Ὀλύμπου τῶν ἄλλων θεῶν. A. Ar. 188.
book 28.1 ἄταλλε δὲ κήτε’ ὑπ’ αὐτοῦ
book 28.2 παντόθεν ἐκ κευθμῶν, οὐδ’ ἠγνοίησαν ἄνακτα:
book 28.3 ἡ διπλῆ ὅτι ἠγνοίησαν γραπτέον· σύνηθες γὰρ Ὁμήρῳ οὕ-
book 28.4 τως λέγειν, ἠγνοίησαν τὰ κήτη, καὶ οὐκ ἠγνοίησεν (cf. p. 15).
book 28.5 καὶ ὅτι κευθμῶν εἴρηκεν. ἡ δὲ ὀρθή ἐστι κευθμός ὡς αὐλός. A.
book 41.1 (Trojani) ἄβρομοι αὐίαχοι: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 41.2 ἄγαν βρομοῦντες καὶ ἄγαν ἰαχοῦντες, κατ’ ἐπίτασιν τοῦ α
book 41.3 κειμένου· ἑκάστοτε γὰρ θορυβώδεις τοὺς Τρῶας παρίστησιν. A.
book 45.1 εἰσάμενος Κάλχαντι: ἡ διπλῆ ὅτι τὸ εἰσάμενος
book 45.2 πολλὰ σημαίνει, νῦν μὲν ὁμοιωθείς, ἐν ἄλλοις δὲ καί ῥ’
book 45.3 ἐπιεισαμένη (Φ 424) ἐφορμήσασα. εἴσατο δ’ ὡς ὅτε
book 45.4 ῥινόν ἀντὶ τοῦ ἐφάνη (ε 281). A. Ar. 150.
book 60.1 ἀμφοτέρω κεκοπώς: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ κόπτων.
book 60.2 A. Cf. p. 3.
book 61.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυῖα δ’ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερ-
book 61.2 θεν: ὁ ἀστερίσκος, ὅτι νῦν ὑγιῶς κεῖται ὁ στίχος, ἐπὶ δὲ
book 61.3 Ὀδυσσέως κατὰ τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα (Ψ 772) οὐκέτι. A.
book 64.1 (ὥς τ’ ἴρηξ) ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο:
book 64.2 ἡ διπλῆ ὅτι λείπει ἡ διά, διὰ πεδίου (cf. p. 26), καὶ τὸ ἄλλο
book 64.3 δοκεῖ συγκεχυκέναι ἐπὶ τοῦ ἑτέρου, εἰ μὴ ἄρα τὸ ἄλλο ἐπὶ τοῦ
book 64.4 ἀλλοιογενοῦς ἀκουσόμεθα. A. ἑτέρου scripsi pro δευτέρου.
book 66.1 τοῖιν δ’ ἔγνω πρόσθεν Ὀιλῆος ταχὺς Αἴας: ἡ
book 66.2 διπλῆ πρὸς τὸ δυικὸν σχῆμα. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ
book 66.3 τῶν Σειρήνων, νηάων, Σειρήνοιιν (μ 52) ὅτι ὁ λόγος ὡς
book 66.4 περὶ δύο. A. Vidit Lachmannus, in νηάων latere ἀδινάων ex
book 66.5.1 ψ 326. Ergo sic fere erat: —πρὸς τὰ περὶ τῶν Σειρήνων·
book 66.5.2 Σειρήνων ἀδινάων. Σειρήνοιιν δέ, ὅτι κτλ. L.
book 68.1 Αἶαν: ἡ διπλῆ ὅτι ἀναλόγως ἐκφέρει τὰ τοιαῦτα
book 68.2 ὁ ποιητής, καὶ οὐ δεόντως ὁ Ζηνόδοτος ἔγραφεν ᾧ τε αὖ
book 68 (sic pro σύ) Κάλχα (A 86) χωρὶς τοῦ ν (cf. ad v. 222). A.
book 82.1 χάρμῃ γηθόσυνοι: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ ἐπί,
book 82.2 ἵν’ ᾖ ἐπὶ χάρμῃ. A. Cf. p. 27.
book 85.1 γυῖα λέλυντο: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ὡς
book 85.2 σπάρτα λέλυνται (B 135). A. Cf. p. 15.
book 102 Excidit annotatio de significatu vocis φυζακινός: v. I 2.
book 115.1 ἀλλ’ ἀκεώμεθα θᾶσσον· ἀκεσταί τε φρένες
book 115.2 ἐσθλῶν: ὅτι ἀμφίβολον τὸ ἀκεώμεθα, πότερον ἰαθῶμεν ἢ
book 115.3 ἀκεώμεθα· ὃ καὶ ὑγιές, οἷον τὸ ἐλάττωμα ἰασώμεθα. A.
book 127.1 (φάλαγγες) ἃς οὔτ’ ἄν κεν Ἄρης ὀνόσαιτο
book 127.2 μετελθών: ἡ διπλῆ πρὸς τὴν τοῦ χρόνου ἀλλαγήν· ἔστι
book 127.3 γὰρ ἀντὶ τοῦ ὠνόσατο. καὶ ὅτι δὶς παρείληφε τὸν σύνδεσμον,
book 127.4 ἄν καὶ κέν. A. Cf. p. 7.
book h147-8.1 νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν
book h147-8.2 ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
book 147.1 ἡ διπλῆ πρὸς τὸ ἀμφιγύοισιν, ὅτι οἱ μέν, ἐπεὶ ἀμ-
book 147.2 φοτέραις ταῖς χερσὶ διερείδοντες χρῶνται, οἱ δὲ ἀπὸ τοῦ
book 147.3 γυῶσαι, ὅτι βλάπτει ἀμφοτέρωθεν· οἱ δὲ μεταφορικῶς ἀπὸ
book 147.4 τῶν γυίων, ὅτι ἑκατέρωθεν ἄκρον ἔχει· γυῖα γὰρ τὰ ἄκρα. A.
book 148.1 ὁ δὲ χασσάμενος πελεμίχθη: ἡ διπλῆ ὅτι Ζη-
book 148.2 νόδοτος γράφει ὁ δὲ χάσσατο πολλὸν ὀπίσσω. ἠγνόησε
book 148.3 δὲ ὅτι τὰ ἐμπεπηγότα δόρατα τῇ ἀσπίδι ἀναχωροῦντες δια-
book 148.4 τινάσσουσιν, ἵνα ἀποπέσῃ. A.
book 159.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μηριόνης δ’ αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ:
book 159.2 ἡ διπλῆ ὅτι παραλέλειπται πρόθεσις ἡ ἐπί καὶ ἡ γενικὴ
book 159.3 ἀντὶ τῆς αἰτιατικῆς κεῖται· τὸ γὰρ ὅλον ἀντὶ τοῦ ἐπ’ αὐ-
book 159.4 τόν, ὡς καὶ τὸ ἀλλ’ ἄγ’ ὀίστευσον Μενελάου (Δ 400).
book 159.5 A. Cf. p. 24.
book h165-6.1 ἂψ δ’ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ’ αἰνῶς
book h165-6.2 ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέαξεν.
book 165 ἡ διπλῆ ὅτι νῦν χώσατο ἀντὶ τοῦ συνεχύθη (Ar. 147). A.
book 166.1 ἡ διπλῆ ὅτι λείπουσιν αἱ προθέσεις, περὶ νίκης
book 166.2 καὶ περὶ ἔγχους. A. Cf. p. 26.
book 171.1 Ἴμβριον αἰχμητήν, πολυίππου Μέντορος υἱόν.
book 171.2 ναῖε δὲ Πήδαιον: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ὃς
book 171.3 νάε Πήδαιον, ἵνα κατάλληλον τὸν λόγον κατὰ συναφὴν
book 171.4 (cod. συναλοιφήν) ποιήσῃ. ἀγνοεῖ δὲ ὅτι Ὅμηρος διακόπτει
book 171.5 τὰς φράσεις, ἵνα μὴ μακροπερίοδος γένηται. ἄλλως τε καὶ
book 171.1 κακόμετρον τὸ ἔπος ποιεῖ. A. Est igitur verisimile Z 34 in
book 171.2 simillima causa recte servatam esse Zenodoti lectionem, ὃς
book 171.3 ναῖε non νάε, ut etiam hic videtur scripsisse. L.
book 185.1 ὁ δ’ Ἀμφίμαχον Κτεάτου υἷ’ Ἀκτορίωνος:
book 185.2 ὅτι καὶ τὸ υἷες ὁ μὲν Κτεάτου, ὁ δ’ Εὐρύτου Ἀκτο-
book 185.3 ρίωνε (B 621) ἀντὶ τοῦ Ἀκτοριώνων. V. Cf. p. 19.
book 191.1 ἀλλ’ οὔ πῃ χρόος εἴσατο: ἡ διπλῆ ὅτι διῄρηκε
book 191.2 χρόος ἀντὶ τοῦ χρώς· διὸ βαρυτονητέον. (cf. Herodian.) καὶ
book 191.3 ὅτι τὸ εἴσατο νῦν ἀντὶ τοῦ ἐφάνη (Ar. 150). A.
book 197.1 Αἴαντε, μεμάοτε θούριδος ἀλκῆς: ἡ διπλῆ
book 197.2 ὅτι συνεχῶς κέχρηται τοῖς δυικοῖς· ἡ δὲ ἀναφορὰ πρὸς τὰ
book 197.3 περὶ τῆς πατρίδος· Ἀθηναίων γὰρ ἴδιον. A. Cf. p. 15, not. 2.
book 203.1 κόψεν Ὀιλιάδης κεχολωμένος Ἀμφιμά-
book 203.2 χοιο: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ περί, περὶ Ἀμφιμάχου (cf.
book 203.3 p. 26). καὶ ὅτι Ζηνόδοτος ἄρθρον ἐνόμιζε τὸ ο, Ἰλέως τὸν
book 203.4 Αἴαντα καὶ οὐκ Ὀιλέως ἀκούων· διὸ καὶ ἔγραφε κόψε γὰρ
book 203.5 Ἰλιάδης (Ar. 180). A.
book 205.1 Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν
book 205.2 κονίῃσιν: ἡ διπλῆ ὅτι πτῶσις ἤλλακται, ἀντὶ τοῦ Ἕκτο-
book 205.3 ρος (cf. p. 22). A.
book 213.1 τὸν μὲν ἑταῖροι ἔνεικαν: ἡ διπλῆ ὅτι ἔνεικαν
book 213.2 εἴρηκεν ὡς βασταζομένου αὐτοῦ διὰ τὸ τραῦμα (Ar. 142). A.
book 217.1 ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
book 217.2

Αἰτωλοῖσιν ἄνασσε—ἡ διπλῆ ὅτι πτῶσις
book 217.3 ἤλλακται, ἀντὶ τοῦ ὃς πάσης Πλευρῶνος. A. Cf. p. 23.
book 222.1 ὦ Θόαν: ἡ διπλῆ ὅτι σὺν τῷ ν ἡ κλητική. ἡ δὲ
book 222.2 ἀναφορὰ πρὸς τὸ ὦ τε σύ, Κάλχαν (Α 86), ὅτι Ζηνόδο-
book 222.3 τος χωρὶς τοῦ ν. A. Cf. ad N 68.
book 223.1 πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν: ἡ
book 223.2 διπλῆ ὅτι ἐπιστάμεθα τὸ δυνάμεθα (Ar. 150). A.
book 226.1 μέλλει δὴ φίλον εἶναι ὑπερμενέι Κρο-
book 226.2 νίωνι: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἔοικε τὸ μέλλει (Ar. 125). A.
book 236.1 ταῦτα δ’ ἅμα χρή
book 236.2 σπεύδειν, αἴ κ’ ὄφελός τι γενώμεθα καὶ
book 236.3 δύ’ ἐόντε: ἡ διπλῆ ὅτι τὸ σπεύδειν οὐκ ἔστιν ἐπὶ τοῦ
book 236.4 ταχύνειν, ἀλλ’ ἐπὶ τοῦ ἐνεργεῖν μετὰ κακοπαθείας καὶ τα-
book 236.5 λαιπωρίας (Ar. 122). ABL.
book 252 ἦέ τευ ἀγγελίης μετ’ ἔμ’ ἤλυθες: ὀντὶ τοῦ
book 252 ἄγγελος. A. Cf. ad Γ 206.
book 256.1 ἔρχομαι, εἴ τι τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
book 256.2 οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχε-
book 256.3 σκον: ἡ διπλῆ ὅτι πληθυντικῶς κατεάξαμεν, καὶ ἑνικῶς οἰ-
book 256.4 σόμενος καὶ ἔχεσκον. A. Cf. p. 16.
book 275.1 οἶδ’ ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
book 275.2 εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες
book 275.3 ἄριστοι—
book 276.1 ἡ διπλῆ ὅτι παραλλήλως τὸ λεγοίμεθα—ABV.
book 276.2 Supplendum videtur: τῷ λέγεσθαι. Παραλλήλως saepissime
book 276.3 quidem usurpat, ubi ad unam notionem exprimendam bina vo-
book 276.4 cabula idem fere significantia juxta posita sunt (s. ubi ἐξ ἐπα-
book 276.5.1 ναλήψεως λέγεται τὸ αὐτό Π 636) ut ἀπριάτην ἀνάποινον
book 276.5.2 Α 99 τηλόθεν ἐξ ἀπίης Α 270 βάσκ’ ἴθι Β 8 ἤδη ποτέ
book 276.5.3 Γ 184, 205 δηρὸν—χρόνον Ξ 206 ἴδῃ—νοήσῃ Ω 337 ἦ δή
book 276.5.4 Φ 583 (Herod.). Item ad Π 62 πρὸς τὸν μηνιθμόν, ὅτι πα-
book 276.5.5 ραλλήλως τέταχε τῷ χόλῳ (v. Ar. 138). —Sed etiam voca-
book 276.10.1 bula diversae significationis propter παραλληλίαν notavit, ut
book 276.10.2 Δ 324 ὅτι παραλλήλως νεώτεροι μὲν ἀντὶ τοῦ νέοι, ὁπλό-
book 276.10.3 τεροι δὲ συγκριτικῶς ἀντὶ τοῦ ἐμοῦ νεώτεροι. Ε 162 πόρ-
book 276.10.4 τιος ἠὲ βοός: παραλλήλως τὸ εἶδος τῷ γένει τέταχεν. Ο 437
book 276.10.5 ὅτι παραλλήλως καὶ διδασκαλικῶς ἡ διαφορὰ τοῦ νῶιν καὶ
book 276.15.1 νῶι. Denique quod ad hunc locum proxime accedit, Q. Pal.
book 276.15.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δ 451 ὅτι τῇ αὐτῇ λέξει (λέκτο 451 et 453) παραλλήλως οὐκ
book 276.15.2 ἐπὶ τοῦ αὐτοῦ σημαινομένου κέχρηται.
book 287.1 οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας
book 287.2 ὄνοιτο: ἡ διπλῆ ὅτι ἐλλείπει τὸ τίς, ὄνοιτό τις (cf. p. 7.). A.
book 288.1 εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης:
book 288.2 ἡ διπλῆ ὅτι διέσταλκε τὸ βαλεῖν καὶ τύψαι (Ar. 62). A.
book h298-9.1 οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμον δὲ μέτεισιν,
book h298-9.2 τῷ δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ
book h298-9.3 ἀταρβής—
book h301.1 τὼ μὲν ἄρ’ ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσ-
book h301.2 σεσθον.
book 299.1 ἡ διπλῆ ὅτι ῥητῶς Ἄρεως υἱὸς Φόβος. ἡ δὲ ἀνα-
book 299.2 φορὰ πρὸς τὴν ἀμφιβολίαν τοῦ καί ῥ’ ἵππους κέλετο
book 299.3 Δεῖμόν τε Φόβον τε (O 119). A. Ar. 182.
book 301.1 ἡ διπλῆ ὅτι πόλις ἐστὶν ἐπὶ Θεσπρωτίας ἡ Ἔφυρα,
book 301.2 ἀφ’ ἧς Ἔφυροι οἱ κατοικοῦντες λέγονται. λέγει δέ ποτε καὶ
book 301.3 τὴν Κόρινθον Ἔφυραν, ἐξ ἡρωικοῦ προσώπου. A. Ar. 236 sq.
book 306.1 τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον
book 306.2 ἔειπεν: ἡ διπλῆ ὅτι περισσὸς ὁ καί σύνδεσμος (cf. p. 34.). A.
book 315.1 οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέ-
book 315.2 μοιο: ἡ διπλῆ ὅτι Ζηνόδοτος ἀγνοήσας τὸ σημαινόμενον
book 315.3 πεποίηκε καὶ ἐσσύμενον πολεμίζειν. ἔστι δὲ τὸ ἄδην
book 315.4 ἐλόωσιν ἀντὶ τοῦ κορεσθῆναι αὐτὸν ποιήσουσι τοῦ πολέμου,
book 315.5 καίπερ προθυμίαν ἔχοντα. A.
book 317.1 αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μά-
book 317.2 χεσθαι: ἡ διπλῆ ὅτι αἰπύ μεταφορικῶς ἀντὶ τοῦ δυσπρόσ-
book 317.3 βατον, δυσχερές (Ar. 169 not.), καὶ ὅτι ὁ πέρ σύνδεσμος πε-
book 317.4 ρισσός (cf. p. 35). AV.
book h326-7.1 νῶιν δ’ ὧδ’ ἐπ’ ἀριστέρ’ ἔχε στρατοῦ, ὄφρα τάχιστα
book h326-7.2 εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἦέ τις ἡμῖν.
book 326.1 ἡ διπλῆ ὅτι τὸ νῶιν δύο πτώσεις σημαίνει, γενι-
book 326.2 κὴν καὶ δοτικήν, ἡμῶν καὶ ἡμῖν· νῦν δὲ κεῖται ἀντὶ τοῦ
book 326.3 ἡμῶν ἐπ’ ἀριστερά. A.
book 327.1 ἡ διπλῆ ὅτι ἔξωθεν συνυπακοῦσαι δεῖ ὀρέξει, ἢ τις
book 327.2 ἡμῖν ὀρέξει. A. Ita cod., sed Aristonicus sine dubio utrobique
book 327.3 scripsit ὀρέξῃ: v. ad M 328.
book h343-4.1 μάλα κεν θρασυκάρδιος εἴη
book h343-4.2 ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ’ ἀκάχοιτο.
book 343.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι ἤλλακται τὸ ῥῆμα, εἴη ἀντὶ τοῦ ἦν
book 343.2 (Cf. p. 7). A.
book 344.1 ἡ διπλῆ πρὸς τὴν ἀλλαγὴν τοῦ ῥήματος, ἀντὶ τοῦ
book 344.2 ἐγήθησεν (cf. p. 7.). καὶ ὅτι πόνον τὸ ἔργον (Ar. 86). καὶ
book 344.3 ὅτι ἀντικειμένως ἀποδέδωκεν οὐδ’ ἀκάχοιτο· πρὸς τὸ σύνη-
book 344.4 θες. A. H. e. quod animadvertimus consuetudinem ejus alibi
book 344.5.1 notatam (v. ad I 77), ex qua omittit contrarium, quod ut plena
book 344.5.2 sententia fiat, supplendum diximus. Ceterum sine dubio unum
book 344.5.3 nunc amissum hic item notatum erat, quod hic diserte poeta
book 344.5.4 adjecit illud ἰδών (v. ad I 77), hoc fere modo: καὶ ὅτι πρόσ-
book 344.5.5 κειται νῦν τὸ ἰδών. L.
book 345.1 τὼ δ’ ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιώ
book 345.2 ἀνδράσιν ἡρώεσσι τετεύχετον ἄλγεα λυγρά: ἡ
book 345.3 διπλῆ ὅτι [ἀντὶ τοῦ τετευχέτην ἢ] τεύχουσι. χρόνος δὲ ἤλ-
book 345 λακται· ἔστι γὰρ ἀντὶ τοῦ ἔτευχον, ὡς ἐπὶ τοῦ [ἢ κεμάδ’ ἠὲ
book 345.5.1 λαγωὸν ἐπείγετον (K 361) ἀντὶ τοῦ ἤπειγον]. A. „Pro his
book 345.5.2 extremis scripserat Aristonicus: λαὸν ἀποτμήξαντε διώκετον.
book 345.5.3 Vide eum ad hunc versum, qui est K 364, et ad Σ 583.“
book 345.5.4 Lehrs. Herodian. 457 sq. —Inclusa aliena sunt. —Ceterum
book 345.5.5 cf. p. 4.
book 350.1 οὐδ’ ὅ γε (Ζεύς) πάμπαν
book 350.2 ἤθελε λαὸν ὀλέσθαι Ἀχαιικὸν Ἰλιόθι πρό,
book 350.3 ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον:
book 350.4 ἀθετεῖται ὅτι οὐκ ἀναγκαῖος· προείρηται γὰρ κυδαίνων
book 350.5 Ἀχιλῆα πόδας ταχύν (348). A.
book 358.1 τοὶ δ’ ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο
book 358.2 πεῖραρ ἐπαλλάξαντες ἐπ’ ἀμφοτέροισι τάνυσσαν:
book 358.3 ἡ διπλῆ ὅτι παραλληγορεῖ, δύο πέρατα ὑποτιθέμενος, ἕτε-
book 358.4 ρον μὲν ἔριδος ἕτερον δὲ πολέμου, ἐξαπτόμενα κατ’ ἀμφο-
book 358.5 τέρων τῶν στρατευμάτων. A.
book 365.1 ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
book 365.2 Κασσάνδρην ἀνάεδνον—ἡ διπλῆ ὅτι νῦν
book 365.3 μὲν τὴν Κασσάνδραν εἶδος ἀρίστην, ἐν ἄλλοις δὲ (Z 252)
book 365.4 τὴν Λαοδίκην, καὶ οὐ μάχεται. ἡ δὲ ἀναφορὰ πρὸς τοὺς
book 365.5.1 χωρίζοντας· λύεται γὰρ τοιούτοις—A. Fortasse addendum—
book 365.5.2 τὸ πρόβλημα s. τὰ ἐκείνων ἀπορήματα. Cf. Ar. 363.
book 366.1 ἡ διπλῆ ὅτι ἕδνα ἐδίδοσαν οἱ μνηστευόμενοι· διὸ
book 366.2 οὗτος ὑποσχόμενος ἐξελάσαι τοὺς Ἕλληνας ἀνάεδνον αἰτεῖ
book 366.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν Κασσάνδραν (Ar. 198). A.
book 372.1 οὐδ’ ἤρκεσε θώρηξ
book 372.2 χάλκεος: ἡ διπλῆ ὅτι χαλκοῖ οἱ θώρηκες, πρὸς τὸ
book 372.3 ὀλίγος μὲν ἔην, λινοθώρηξ (B 529). A. Ar. 194.
book 372.4 ὁ δ’ ἐπεύξατο φώνησέν τε (Idomeneus)
book 372.5 „Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ’ ἁπάντων
book 375.1 εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅς’ ὑπέστης.“ Hinc
book 375.2 apparet, Trojanorum jactationes ad Graecorum quoque aures
book 375.3 permanasse: v. ad Ξ 45.
book 382.1 ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν: ἡ διπλῆ
book 382.2 ὅτι ἕδνα ἐδίδοσαν οἱ μνηστῆρες. AB.
book 403.1 Ἀσίου ἀχνύμενος: ἡ διπλῆ ὅτι παρεῖται ἡ πρό-
book 403.2 θεσις, περὶ Ἀσίου. A. Cf. p. 26.
book 408.1 τῇ ὕπο (ἀσπίδι) πᾶς ἐάλη: ἡ διπλῆ ὅτι τὸ πᾶς
book 408.2 ἀντὶ τοῦ ὅλος. ἡ δὲ ἀναφορὰ πρὸς τὸ πᾶσαι δ’ ὠίγνυντο
book 408.3 πύλαι (Θ 58) ἀντὶ τοῦ ὅλαι (Ar. 130). A.
book 411.1 Ἱππασίδην Ὑψήνορα. Propter homonymos Hy-
book 411.2 psenoras: E 76. L.
book 415.1 εἰς Ἄιδός περ ἰόντα πυλάρταο κρατεροῖο:
book 415.2 ἡ διπλῆ, ὅτι τοῦ ἰσχυρῶς τὰς πύλας ἐπαρτῶντος, ὅ ἐστιν
book 415.3 ἁρμόζοντος. ἀμφότερα γὰρ πρὸς ἓν ληπτέον. A. Cf. ad E 289.
book 420.1 ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκά-
book 420.2 λυψεν: ἡ διπλῆ πρὸς τὴν ἐξήγησιν τοῦ ὃς Χρύσην ἀμ-
book 420.3 φιβέβηκας (A 37) ἀντὶ τοῦ ὑπερμαχεῖς, κατὰ μεταφορὰν
book 420.4 τῶν τετραπόδων. A.
book 423.1 (Hypsenorem duo amici) νῆας ἔπι γλαφυρὰς φε-
book 423.2 ρέτην βαρέα στενάχοντε: ἡ διπλῆ περιεστιγμένη, ὅτι
book 423.3 Ζηνόδοτος γράφει στενάχοντα, ἑνικῶς. A.
book 426.1 ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς:
book 426.2 ἡ διπλῆ ὅτι ἐκ παρεπομένου (cf. ad B 417) τὸ ἀπολέσθαι·
book 426.3 οἱ γὰρ ἐν πολέμῳ πίπτοντες ψόφον ἀποτελοῦσι τοῖς ὅπλοις.
book 426.4 ἡ δὲ ἀναφορὰ πρὸς τοὺς γλωσσογράφους (Ar. 45): οὗτοι γὰρ
book 426.5 ἓν ἀνθ’ ἑνὸς ἐδέξαντο δεδουπότος ἀντὶ τοῦ τεθνηκότος (Ψ 679,
book 426.5 Ar. 110). A.
book 437 Notaverat formam δένδρεον: v. ad Γ 152.
book 439.1 ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
book 439.2 χάλκεον—ἡ διπλῆ ὅτι σαφῶς τὸν θώρακα
book 439.3 χιτῶνα χαλκοῦν. A. Ar. 194.
book 456.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύ-
book 456.2 μων: ὅτι ἀντὶ τοῦ συνεργὸν λάβοι. πρὸς τὸ ἴκμενον οὖ-
book 456.3 ρον ἵει πλησίστιον (λ 7). AB. Ar. 122.
book 465.1 ἀλλ’ ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν: ἡ διπλῆ
book 465.2 ὅτι ἐπαμύνομεν ἀντὶ τοῦ ἐπαμύνωμεν. A. Cf. p. 13.
book h470-1.1 ἀλλ’ οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
book h470-1.2 ἀλλ’ ἔμεν’ ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς.
book 470 ἡ διπλῆ ὅτι σαφῶς φόβος ἀντὶ τοῦ φυγή (Ar. 89). A.
book 471.1 ἡ διπλῆ ὅτι ἀντιδιέσταλται τῷ φόβῳ τὸ ἔμενε, ἐξ
book 471.2 οὗ σαφὲς ὅτι ὁ φόβος τὴν φυγὴν σημαίνει (Ar. 89). A.
book 474.1 ὀφθαλμὼ δ’ ἄρα οἱ πυρὶ λάμπετον: ἡ διπλῆ
book 474.2 ὅτι πτῶσις ἤλλακται καὶ πρόθεσις παρεῖται, ἀντὶ τοῦ ὑπὸ
book 474 πυρὸς λάμπετον. A. Cf. p. 25.
book 477.1 ὣς μένεν Ἰδομενεὺς δουρικλυτός, οὐδ’ ὑπεχώρει
book 477.2 Αἰνείαν ἐπιόντα βοηθόον: ἡ πτῶσις ἤλλακται, ἀντὶ
book 477.3 τοῦ Αἰνείου ἐπιόντος (cf. p. 20.). A.
book 477.4 ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
book 493.1 πιόμεν’ ἐκ βοτάνης: ἡ διπλῆ ὅτι ἐκ βοτάνης
book 493.2 ἐστὶ μετὰ τὴν βόσκησιν, ὡς λέγομεν „ἐξ ἀρίστου παρέσομαι“
book 493.3 ἀντὶ τοῦ μετὰ τὸ ἄριστον. A.
book 496.1 οἱ δ’ ἀμφ’ Ἀλκαθόῳ αὐτοσχεδὸν ὁρμήθη-
book 496.2 σαν: ἡ διπλῆ πρὸς τὸ αὐτοσχεδόν, ὅτι ὡς σχέδην καὶ συ-
book 496.3 στάδην ἀγωνιούμενοι. A.
book 502.1 ἀκόντισεν Ἰδομενῆος: ἡ διπλῆ πρὸς τὸ σχῆμα,
book 502.2 ὅτι ἐλλείπει ἡ πρόθεσις καὶ πτῶσις ἤλλακται, ἀντὶ τοῦ ὡς
book 502.3 ἐπ’ Ἰδομενῆα (Cf. p. 24.). A.
book 507.1 ῥῆξε δὲ θώρηκος γύαλον: ὅτι οὐ κεχωρισμένος
book 507.2 τοῦ θώρακος τόπος τὸ γύαλον, ἀλλὰ καθόλου τὸ κύτος
book 507.3 (Ar. 114). A.
book 515.1 τρέσσαι δ’ οὐκέτι ῥίμφα πόδες φέρον ἐκ
book 515.2 πολέμοιο: ἡ διπλῆ ὅτι τρέσσαι φυγεῖν. A. De iis quae
book 515.3 sequuntur, v. Ar. 91. not.
book 546-9.1 ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
book 546-9.2 ἥ τ’ ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν’ ἱκάνει·
book 546-9.3 τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ’ ὕπτιος ἐν κονίῃσιν
book 546-9.4 κάππεσεν—ἡ διπλῆ ὅτι πᾶσαν ἀντὶ τοῦ ὅλην
book 546-9.5.1 (Ar. 130) καὶ ὅτι ἐπὶ τὴν πληγὴν πέπτωκε (cf. ad E 68) διὰ
book 546-9.5.2 τὸ παραλελύσθαι τὴν νωτιαίαν φλέβα καὶ μηκέτι εἶναι τὸ
book 546-9.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντέχον νεῦρον. A.

κυανοχαῖτα Ποσειδάων: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ κυανοχαίτης. A. Cf. p. 18.

ἡ διπλῆ ὅτι ἅπαξ τὸ σκῶλος. A. Ar. 14.

τὸν δὲ σκότος ὄσσε κάλυψεν: ἡ διπλῆ ὅτι ἡ πτῶσις ἤλλακται ἀντὶ τοῦ τοῦ δὲ σκότος ὄσσε. A. Cf. p. 20.

τὼ δ’ ἄρ’ ὁμαρτήδην ὁ μὲν ἔγχεϊ ὀξυόεντι
ἵετ’ ἀκοντίσσαι, ὁ δ’ ἀπὸ νευρῆφιν ὀιστῷ.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ.

ἡ διπλῆ ὅτι ἐπὶ τοῦ Ἑλένου ὕστερον εἰπών (sc. ὁ δ’ ἀπὸ νευρῆφιν ὀιστῷ) ἀπ’ αὐτοῦ ἤρξατο [εἰπών] Πριαμίδης μὲν ἔπειτα, πρὸς τὸ δεύτερον—A. Addendum ἀπαντῶν, et delendum alterum εἰπών.

Ibid. ἡ διπλῆ ὅτι τὸ ἔπειτά ἐστι μετὰ ταῦτα, πρὸς τὸ Φοῖνιξ μὲν πρώτιστα, αὐτὰρ ἔπειτ’ Αἴας τε μέγας (Ι 168). A. Ar. 154.

Ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει χείρεσσι μάχαιραν. ἀγνοεῖ δὲ ὅτι Ὅμηρος τὴν παραξιφίδα μάχαιραν καλεῖ, τὸ δὲ πολεμιστήριον ξίφος. A. Ar. 98.

(ὄσσε) πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν: οὕτως πέσον αἱ Ἀριστάρχου διὰ τοῦ ο, ὡς ἐκεῖ ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον (Μ 159). A. Hoc Didymi est, sed Aristonicus idem adnotaverat, v. p. 15.

ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς, ἣν ἐμὲ λωβήσασθε κακαὶ κύνες: ἡ διπλῆ ὅτι πρὸς τὴν λώβην μόνην ἀπαντήσας ἐπήνεγκεν ἣν ἐμὲ λωβήσασθε. A.

οἵ μευ (Menelaus loquitur) κουριδίην ἄλοχον καὶ κτήματα πάντα μὰψ οἴχεσθ’ ἀνάγοντες: ἡ διπλῆ πρὸς τὴν κουριδίαν, ὡς (ὅτι?) ἐκ παρθενίας αὐτὴν ἔσχεν ὁ Μενέλαος, καὶ οὐκ οἶδε τὰ περὶ τῆς Θησέως ἁρπαγῆς. A. Ar. 185.

ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει μὰψ οἴχεσθον ἄγοντες. καὶ τὸ δυικὸν συγχεῖται ἐπὶ πολλῶν τασσόμενον· καὶ ἠγνόηκεν ὅτι ἀναγωγὴν καλεῖ τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν. A. Ar. 119.

κτεῖναι δ’ ἥρωας Ἀχαιούς: ἡ διπλῆ ὅτι σαφῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντας τοὺς Ἕλληνας ἥρωας καλεῖ, πρὸς Ἴστρον λέγοντα
book 629.3 μόνους τοὺς βασιλεῖς ἥρωας λέγεσθαι ὑφ’ Ὁμήρου (Ar. 108). A.
book h643-5.1 ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
book h643-5.2 Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίζων
book h643-5.3 ἐς Τροίην, οὐδ’ αὖτις ἀφίκετο πατρίδα γαῖαν.
book 643.1 ἡ διπλῆ πρὸς τὴν περὶ τοῦ Πυλαιμένους ζήτησιν
book 643.2 (Ar. 212). A.
book 644 Hic induxit aliquem ad inserendos versus 658 sq.
book 649.1 μή τις χρόα χαλκῷ ἐπαύρῃ: ἡ διπλῆ ὅτι πτῶ-
book 649.2 σις ἤλλακται, χρόα ἀντὶ τοῦ χρωτός (cf. p. 21.). A.
book h657-9.1 ἐς δίφρον δ’ ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρήν
book h657-9.2 ἀχνύμενοι. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.
book h657-9 ποινὴ δ’ οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.
book 658-9.1 ἀθετοῦνται ἀμφότεροι, ὅτι πλανηθείς τις ἐκ
book 658-9.2 τοῦ ὅς ῥα πατρὶ φίλῳ ἕπετο (644) ἔταξεν αὐτούς (Ar. 350),
book 658-9.3 ἵνα καὶ ὁ πατὴρ τὸν υἱὸν ὀδύρηται. οὐ λέγει δὲ νῦν ἕπετο,
book 658-9.4 ἀλλ’ ὅτε τὸ πρῶτον ἐκ τῆς πατρίδος παρεγίνετο. διὸ καὶ
book 658-9.5.1 πρόσκειται τὸ ἐς Τροίην, οὐδ’ αὖτις ἀφίκετο (645).
book 658-9.5.2 εἰ δὲ μένοιεν οἱ στίχοι οὗτοι, νοητέον ὁμωνυμίαν εἶναι
book 658-9.5.3 (Ar. 363). A.
book h663-4.1 ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱός,
book h663-4.2 ἀφνειός τ’ ἀγαθός τε, Κορίνθοθι οἰκία ναίων.
book 663.1 ἡ διπλῆ ὅτι δισσὰς εἱμαρμένας ὑποτίθεται τοῦ
book 663.2 Εὐχήνορος, καθάπερ καὶ ἐπ’ Ἀχιλλέως (I 411), διχθαδίας
book 663.3 κῆρας φερέμεν. A.
book 664.1 Κορίνθοθι: ὅτε ἥρως λέγει, Ἔφυραν ὀνομάζει.
book 664.2 V. Fluxit ex Aristonico, Ar. 236.
book 681.1 ἔνθ’ ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσι-
book 681.2 λάου: ἡ διπλῆ ὅτι τοῦ Λοκροῦ λέγει Αἴαντος· οὗτος γὰρ
book 681.3 πλησίον ἐνεώλκει τοῦ Πρωτεσιλάου. πρὸς τὰ περὶ τοῦ ναυ-
book 681.4 στάθμου (Ar. 230). A.
book 687.1 (Hectorem) σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον: ἡ
book 687.2 διπλῆ ὅτι τὸ σπουδῇ ἀντὶ τοῦ μόγις καὶ δυσέργως ἀπὸ τῶν
book 687.3 νεῶν αὐτὸν ἀπεῖργον, ἐπεῖχον (Ar. 122). AB.
book h691-2 αὐτὰρ Ἐπειῶν
book h691-2.2 (ἦρχε) Φυλείδης τε Μέγης Ἀμφίων τε Δρακίος τε.
book 691.1 Dulichii quoque incolas Ἐπειοὺς nominari, sine du-
book 691.2 bio hoc loco observaverat Aristonicus, ex quo hausit auctor
book 691.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

cod. V: καὶ μὴν Ἀμφίμαχος καὶ Θάλπιος Ἠλείων ἦσαν ἡγεμόνες. Ἀρίσταρχος δὲ καὶ τοὺς ἐκ Δουλιχίου Ἐπειοὺς καλεῖ κτλ. Quod eo certius quum Epaphroditus apud Stephanum hujus observationis auctorem citet Aristarchum (Ar. 236). Nec minus Aristarchea sunt (ἐκ τῶν περὶ τοῦ ναυστάθμου) quae sequuntur in V: μεταξὺ ἦσαν Ἀθηναίων καὶ Λοκρῶν· διό φησιν Αἴαντα ταχὺν ἢ Φυλέος υἱὸν ἄνωγον (sic pro ἄνστησον—K 175). Ar. 230.

ἡ διπλῆ περιεστιγμένη, ὅτι ἐν ἄλλοις οὐ νοῶν Ζηνόδοτος ὅτι Μέγης Φυλέως ἐστί, γράφει Φυλείδην τε Μέγην τε (T 239). A.

ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο: ἡ διπλῆ ὅτι σαφῶς Ὀιλεὺς σὺν τῷ ο· πρόκειται γὰρ ἄρθρον, ὁ μὲν νόθος υἱός. πρὸς Ζηνόδοτον γράφοντα (v. 712) ἀλλ’ οὐκ Ἰλιάδῃ (cod. ην) A. et αὐτίκ’ ἄρ’ Ἰλιάδην (M 365). Ar. 180.

τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει ἱεμένω κατὰ ὦλκα: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἱεμένους· τὸ γὰρ ἱεμένω ὀρθὴν καὶ αἰτιατικὴν σημαίνει. A. In edit. scholiorum Bekk. et Villois. scripserunt ἰεμένους et ἰεμένω.

οὐδ’ ἄρ’ Ὀιλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·

οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας.

ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἀλλ’ οὐκ Ἰλιάδῃ. ὁ δὲ Ὅμηρος σὺν τῷ ο λέγει Ὀιλιάδῃ (694). A.

Sagittarios galeas non habuisse: O 480. L.

Ἴλιον ἠνεμόεσσαν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς: λείπει ἡ πρός, ἵν’ ᾖ πρὸς θρασύν. BL. Cf. p. 26.

ἀλλ’ οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι. Hoc loco recte positus, non Δ 320. Eum qui nunc est 731 (adjectus a Zenodoto Mallote: cf. V) ἄλλῳ δ’ ὀρχηστύν— ignorat Aristonicus. L.

μάλιστα δέ κ’ αὐτὸς ἀνέγνω: ἡ διπλῆ ὅτι κατὰ συναλοιφὴν ἐκληπτέον, ἵνα διαιρῆται, μάλιστα δέ κε αὐτός. A. κὲ αὐτός pro καὶ αὐτός L. Cf. ad Y 311.

πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν: ἡ διπλῆ ὅτι στέφανον ἡρωικὸν πρόσωπον ὠνόμακε·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδέποτε δὲ χρωμένους εἰσήγαγε διὰ τῶν γενομένων αὐτῶν· οὐ γὰρ οἱ τῆς Πηνελόπης μνηστῆρες οὐθ’ οἱ Φαίακες οὐθ’ οἱ ἐπὶ τῶν θυσιῶν ἐστέφοντο (haec vox fortasse delenda). ἀλλ’ ἴσως ἀπὸ τῆς κατὰ τὴν ἐμπλοκὴν στεφάνης διὰ τὸ κυκλοτερὲς εἴρηται. A. Verba οὐδέποτε—εἰσήγαγε ins. L. qui haec annotavit: In fine indicare videtur, esse fortasse στέφανος pro στεφάνη ut πύλος πύλη alia (v. scholl. E 397). Apollon. Soph. 144: ἐπὶ τούτου τοῦ στίχου πάντη γάρ σε περὶ στέφανος πολέμοιο δέδηε Κομανός φησι τὴν περὶ αὐτὸν τοῦ πολέμου καὶ τῶν ὅπλων στάσιν, ἀπὸ μεταφορᾶς τῆς στεφάνης, ἥ ἐστιν ἐπιπόλαιον γυναικείας κεφαλῆς. —Cf. Ar. 199 et 348.

ἀλλ’ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους: ἡ διπλῆ ὅτι ἀρίστους τοὺς ἀριστέας. A. Aliena sequentia: πρὸς τὸ οὕνεκ’ ἄριστος ἔην (B 580) v. Ar. 155.

δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοί: ἡ διπλῆ ὅτι μεταφορικῶς χθιζὸν χρεῖος τῷ ἴσῳ σταθμῷ ἀποκαταστήσωσι, τουτέστι μὴ ὃ ἡμεῖς ἐλάβομεν χθὲς νικῶντες, σήμερον εἰσπράξωσιν. A.

ἦ ῥα, καὶ ὁρμήθη ὄρεϊ νιφόεντι ἐοικώς: ἡ διπλῆ ὅτι νιφόεντα τὰ ὄρη. καὶ Ὄλυμπος τοιγαροῦν ὄρος· νιφόεις γὰρ λέγεται (Σ 616). A. Ar. 168.

τοὺς δ’ εὗρ’ οὐκέτι πάμπαν ἀπήμονας οὐδ’ ἀνολέθρους,
ἀλλ’ οἱ μὲν δὴ νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν
χερσὶν ὑπ’ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες
οἱ δ’ ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.

ἡ διπλῆ ὅτι συλληπτικῶς ἐπὶ τῶν τετρωμένων καὶ τῶν ἀπολωλότων. οὐ πάμπαν μὲν γὰρ ἀπήμονες οἱ τραυματίαι, οὐκ ἀνόλεθροι δὲ οἱ τετελευτηκότες. A.

κέατο ψυχὰς ὀλέσαντες: πρὸς τὸ δεύτερον ἀπήντησε, τὸ οὐδ’ ἀνολέθρους. BL. Ar. 13.

βεβλημένοι οὐτάμενοί τε: ὅτι πάλιν συλληπτικῶς· οἱ μὲν γὰρ ἐβέβληντο, οἱ δὲ οὐτάμενοι ἦσαν. A.

τὸν δὲ τάχ’ εὗρε μάχης ἐπ’ ἀριστερὰ δακρυοέσσης: ἡ διπλῆ ὅτι τοῦ ναυστάθμου τὰ ἀριστερὰ λέγει. A.

νῦν ὤλετο πᾶσα κατ’ ἄκρης Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος: ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διπλῆ ὅτι θηλυκῶς ἡ Ἴλιος, καὶ τὸ τοί παρέλκει· οὐ γὰρ
book 772.4 αὐτῷ μόνῳ ἦν ὄλεθρος, ἀλλὰ καὶ τοῖς ἄλλοις. A.
book 776.1 ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
book 776.2 μέλλω: ἡ διπλῆ ὅτι τὸ μέλλω ἀντὶ τοῦ ἔοικεν. A. Ar. 125
book 782.1 (Deiphobus et Helenus) οἴχεσθον, μακρῇσι τε-
book 782.2 τυμμένω ἐγχείῃσιν: ἡ διπλῆ ὅτι συλληπτικῶς τὸ τῷ
book 782.3 ἑτέρῳ συμβεβηκὸς ἐπ' ἀμφοτέρων τέταχεν· οὐ γὰρ ἀμφότε-
book 782.4 ροι ἐτύπησαν, ἀλλ' ὁ μὲν Ἕλενος ἐβλήθη, ὁ δὲ Δηίφοβος
book 782.5 ἐτύπη. A.
book 793.1 οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοι-
book 793.2 βοί: ἡ διπλῆ ὅτι ἀμοιβοὶ οἱ διαδεξάμενοι τοὺς ἔμπροσθεν
book 793.3 παραγενομένους ἐπικούρους, ἤτοι οἱ ἐξ ἀμοιβῆς καὶ ἐναλ-
book 793 λάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσὶν ἀντὶ τῶν
book 793.5.1 πρότερον συνεργούντων αὐτοῖς πολιτῶν· διὰ γὰρ τὸ ἐπὶ δέκα
book 793.5.2 ἔτη τὸν πόλεμον ἀνύεσθαι, οἱ πρῶτοι, κεκμηκότες κατὰ
book 793.5.3 μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων ἀπεπέμ-
book 793.5.4 ποντο, ὡς εἰκός. AB.
book 808.1 ἀλλ' οὐ σύγχει θυμὸν (Hector) ἐνὶ στήθεσ-
book 808.2 σιν Ἀχαιῶν: ἡ διπλῆ ὅτι Ζηνόδοτος ὑποτάσσει· λίην
book 808.3 γάρ σφι πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῷ. τοῦτο δὲ
book 808.4 ἐπὶ τῶν προκειμένων δηλοῦται. A. Fortasse tamen Zenodo-
book 808.5 tus illum λίην γάρ—post vs. 807 posuit.
book 820.1 κονίοντες πεδίοιο: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ διά,
book 820.2 διὰ πεδίου. A. Cf. p. 26.
book 7.1 βρότον αἱματόεντα: ἡ διπλῆ ὅτι οὐ πᾶν αἷμα
book 7.2 βρότος, ἀλλὰ τὸ ἀπὸ βροτοῦ πεφονευμένου. A. Ar. 131.
book 8.1 αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιω-
book 8.2 πήν: ἡ διπλῆ ὅτι τὸ τάχα ἀντὶ τοῦ ταχέως (Ar. 101), καὶ
book 8.3 ὅτι περιωπὴ τόπος ἐξ οὗ περιόψεταί τις ταῦτα. A.
book 13.1 στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον
book 13.2 ἀεικές: ἡ διπλῆ ὅτι οὐ κατὰ τὸ ἀκριβὲς ἐκτὸς τῆς κλισίας
book 13.3 ἔστη, ἀλλ' ἐπὶ τὴν περιωπὴν προῆλθεν. A.
book 16.1 ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι
book 16.2 κωφῷ: ἡ διπλῆ ὅτι πορφύρῃ μελανίζῃ. εἴωθε δέ, ὅταν ἀρ-
book 16.3 χὴν λαμβάνῃ κινήματος ἡ θάλασσα, μελανίζειν· διὸ μετα-
book 16.4 φέρει ἐπὶ τοὺς κατὰ ψυχὴν μεριμνῶντας καὶ ταρασσομένους.
book 16.5.1 καὶ ὅτι κωφῷ λέγει τῷ ἀφώνῳ καὶ μηδέπω καχλάζοντι καὶ
book 16.5.2 ἀποτελοῦντι ἠχήν· μηδέπω γὰρ ἀνέμου εὐκρινοῦς ὄντος τὸ
book 16.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κῦμα ἠρεμεῖ. A. Ar. 124.
book 16.5.4 οἱ δ’ ἀλλήλους ἐνάριζον
book 25.1 μαρνάμενοι· λάκε δέ σφι περὶ χροΐ χαλκὸς ἀτειρής:
book 25.2 ἡ διπλῆ ὅτι οἱ μὲν ἠλλάχθαι τὸν χρόνον, οἱ δὲ ἀντὶ τοῦ
book 25.3 ἔληκε, ἐνδείᾳ τοῦ ε [ὡς ἄνωρον (sic) κραδίην ἔχεις (sic) Φ 441]
book 25.4 καὶ Ἰωνικῇ συστολῇ τοῦ η εἰς α λάκε. (Cf. ad I 378 et de
book 25.5.1 enallage temporum p. 5). ὠνοματοπεποίηται δέ. ὅθεν καὶ
book 25.5.2 ἡ λάκις. A. Cf. Orion. 96, 27—Ar. 4. Inclusa aliena sunt.
book 28 Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
book 28.1 πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ.
book 28.2 πὰρ νηῶν: ἀπὸ τῶν πρὸς θάλασσαν ἐπὶ τὰς ἐν τῷ
book 28.3 τείχει. A. Ar. 230.? ἡ διπλῆ ὅτι συλληπτικῶς εἴρηκε βεβλήατο
book 28.5 (ins. καί Ar. 62) ἐπὶ τῶν οὐτασμένων. A.
book 31.1 τὰς γὰρ (naves) πρώτας πεδίον δέ
book 31.2 εἵρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδει-
book 31.3 μαν—ὅτι οὐκ ἐν διστιχίᾳ ἦσαν, ὥς φησι Κράτης·
book 31.4 εἶπε γὰρ ἂν προτέρας· καὶ νηῶν μὲν ἐχώρησαν καὶ
book 31.5.1 ἀνάγκῃ τῶν πρωτέων (Ο 656). BLV. Ar. 230 sq. Cod. προ-
book 31.5.2 τέρων pro πρωτέων. Corr. L.
book 35.1 τῷ ῥα προκρόσσας ἔρυσαν: ἡ διπλῆ ὅτι προκρόσ-
book 35.2 σας τὰς κλιμακηδὸν νενεωλκημένας ἑτέρας πρὸ ἑτέρων,
book 35.3 ὥστε θεατροειδὲς φαίνεσθαι τὸ νεώλκιον· κρόσσαι γὰρ αἱ
book 35.4 κλίμακες (Μ 258). AB. Ar. 231. Pro πρὸ ἑτέρων erat πρὸς
book 35.5 ἑτ. Corr. L.
book h37-8.1 τώ ῥ’ οἵ γ’ ὀψείοντες ἀυτῆς καὶ πολέμοιο
book h37-8.2 ἔγχει ἐρειδόμενοι, κίον ἁθρόοι.
book 37.1 ὅτι Ζηνόδοτος γράφει ὀψαΐοντες. εἴτε δὲ μετὰ
book 37.2 πολὺν χρόνον πορευόμενοι ἤθελεν ἀκούειν, εἴτε μετὰ πολὺν,
book 37.3 χρόνον ἀκούοντες, ψεῦδος· εὐθέως γὰρ ἀκούσαντες ὥρμησαν.
book 37.4 καὶ τὸ ὀψά ἀνελλήνιστον. οὕτω γὰρ εἴωθε λέγειν ὀψὲ δὲ
book 37.5 δὴ μετέειπε. (Η 399). A.
book 38.1 ἔγχει: ἡ διπλῆ ὅτι οὐχ ἑνὶ πάντες ἐρειδόμενοι, καὶ
book 38.2 ὅτι ἁθρόοι ἐπὶ τῶν τριῶν· ἀρχὴ γάρ ἐστι πληθυντικοῦ ἀρι-
book 38.3 θμοῦ τὰ τρία (Θ 488). A.
book 40.1 ὁ δὲ ξύμβλητο γεραιός
book 40.2 Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν
book 40.3 Ἀχαιῶν: ἀθετεῖται ὅτι καὶ ἐκ τῶν προειρημένων νοοῦμεν
book 40.4 ὅτι Νέστωρ ἐστὶν ὁ γεραιός. καὶ τὸ πτῆξε ἄκυρον· ἐπὶ γὰρ
book 40.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀπολελυμένων τῆς ἀγωνίας καὶ τοῦ τῆς ψυχῆς παλμοῦ ἁρμόζει. A. Sed hoc videtur dictum de πῆξε θυμόν (quae fuit Zenodotea) non de πτῆξε. An igitur hic quoque de vera Aristarchea lectione in errore versabatur Aristonicus? L.

δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ, ὥς ποτ’ ἐπηπείλησεν ἐνὶ Τρώεσς’ ἀγορεύων: ἡ διπλῆ ὅτι ταῦτα ἀναφέρεται ἐπ’ ἐκεῖνα ἔλπομαι εὐχόμενος Διί (Θ 526) καὶ μνημοσύνη τις ἔπειτα πυρὸς δηίοιο γενέσθω, ὡς πυρὶ νῆας (ib. 181). ἐξάκουστα δὲ ἐγίνετο παρὰ τοῖς πολεμίοις, ὡς καὶ τὰ περὶ Ὀθρυονέα (N 375). A.

οὐδέ κεν ἄλλως Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο: ἡ παρά περιττή. A.? Cf. p. 27.

οὐδ’ ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων, ὁππότερωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται—

ἡ διπλῆ ὅτι Ὁμηρικὸν τὸ ἔθος, ὥστε ἔξωθεν τὸ τίς προσλαμβάνειν, ἀντὶ τοῦ γνοίη τις ἄν· εἴωθε γὰρ καὶ μὴ ὑποκειμένου προσώπου πρὸς ὃ γίνεται ὁ λόγος, οὕτως χρῆσθαι· οὐδέ κε φαίης (Γ 392) ἀντὶ τοῦ φαίη τις ἄν. A. Cf. p. 8.

οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι: ἡ διπλῆ ὅτι πάλιν (cf. ad 28) συλληπτικῶς· οὐ γὰρ πάντες ἐβέβληντο. A.

οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι: ἡ διπλῆ ὅτι τὸ μέλλει ἀντὶ τοῦ ἔοικεν. A. Ar. 125.

νὺξ ἀβρότη: ἡ διπλῆ ὅτι ἤτοι κατὰ παράλειψιν τοῦ μ ἀντὶ τοῦ ἀμβρότη, οἷον ἀθάνατος· ἢ ἀβρότη, καθ’ ἣν βροτοὶ οὐ φοιτῶσιν. A.

οὐλόμενε (Agamemnonem compellat Ulixes): ἡ διπλῆ ὅτι τινὲς ἀποδεδώκασιν οὐλόμενε, δεινέ· οὐ γὰρ ἂν λέγοι τῷ Ἀγαμέμνονι ὁ Ὀδυσσεὺς ὀλέθρου ἄξιε. οὐ δυσωπητέον μέντοι γε, ἀλλ’ εἰς τὴν ἐνεστῶσαν περίστασιν ἀτενιστέον· ἐπ’ ὠφελείᾳ γὰρ λέγει τοῦ Ἀγαμέμνονος καὶ τῶν ἄλλων συμμάχων· διὸ καὶ ἐπιφέρει ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ ἀργαλέῃ (104). A.

νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες: ἀθετεῖται ὅτι εἰ μὲν ἀπεδέχετο αὐτὸν κατά τι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνεχώρει, νῦν δὲ μόνον ἐμέμφετο. καὶ διὰ τὸ ἐν ἄλλῳ τόπῳ
book 95.4 (P 173) δεόντως φέρεσθαι. Ζηνόδοτος δὲ γράφει νῦν δέ
book 95.5.1 σε ὠνοσάμην πάγχυ φρένας. καὶ Ἀριστοφάνης δὲ προ-
book 95.5.2 ηθέτει. A. ἐνεχώρει, quod fuit post ἐμέμφετο, transposuit L.
book 95.5.3 Idem ins. καὶ ante διὰ τὸ ἐν ἄλλῳ.
book 104.1 ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν
book 104.2 ἐνιπῇ: v. ad 84.
book 114 Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν:
book 114.1 ὅτι χυτὴ γῆ ἡ ἐπὶ τοῖς νεκροῖς ἐπιχεομένη, οὐ καθολικῶς,
book 114.2 ὡς μέλαινα καὶ φερέσβιος. Ζηνόδοτος δὲ ἠθέτει· παρὰ
book 114.3 Ἀριστοφάνει δὲ οὐκ ἦν (Ar. 109). A. In textu Veneto ad
book 114.5.1 hunc versum et diple est et obelus. —Vocabulum φερέσβιος
book 114.5.2 apud Homerum hodie non legitur. Quo quum Aristonicus etiam
book 114.5.3 ad Π 173 utatur ut exemplo, suspicio erit hoc terrae epithe-
book 114.5.4 ton ab eo in Homero inventum esse, in loco sive perdito sive
book 114.5.5 mutato. Ceterum ne aliud quidem epitheton inveni, quod cum
book 114.10.1 φερέσβιος numero moraque syllabarum ita conveniat, ut in
book 114.10.2 ejus locum substitui possit.
book 114.10.3 ὅτι οὐ κατὰ τοὺς τραγικοὺς ἐν Ἐλευσῖνι μετηνέχθησαν
book 114.10.4 οἱ περὶ τὸν Καπανέα. V. Ar. Addenda. Verba Aristonici haec
book 114.10.5 non sunt, sed rem observasse videtur. Quam veram esse
book 114.15.1 testatur Euripides in supplicibus et Plutarchus (Thes. cap. 29)
book 114.15.2 de perditis Aeschyli Eleusiniis referens. V. Hermann. Aeschyli
book 114.15.3 fragm. 54.
book 117.1 ἱππότα Οἰνεύς· ἡ διπλῆ περιεστιγμένη (?) ὅτι
book 117.2 ἐλέγχονται οἱ τὸν ἱππότην ἀποδιδόντες φυγάδα· ὁ γὰρ Οἰ-
book 117.3 νεὺς κατέμεινεν ἐπὶ τῆς πατρίδος. A. Ar. 112.
book 119.1 ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε: ὅτι ὁ Οἰνεὺς κατέ-
book 119.2 μεινεν ἐπὶ τῆς πατρίδος, ὁ δὲ ἱππότης ἄρα οὐ φυγὰς ἀλλ'
book 119.3 ἱππικός. καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν· ἰδὼν δ' ἱππη-
book 119.4 λάτα κῆρυξ (Κῆυξ? Bekk. Goettl. ed. 2. fr. CLXVIII) ἀντὶ
book 119.5 τοῦ ἱππικός. A.
book 124.1 πολλὰ δέ οἱ πρόβατ' ἔσκε: ἡ διπλῆ ὅτι πρό-
book 124.2 βατα πάντα τὰ τετράποδα. AB. His in Aristarcho (p. 108)
book 124.3 continuata sunt, quae sequuntur: διὰ τὸ ἑτέραν βάσιν ἔχειν
book 124.4 πρὸ τῆς ὀπισθίας, καθὼς καὶ Ἡσίοδός φησι (E 558) χαλε-
book 124.5.1 πὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις. Sed illa deri-
book 124.5.2 vatio ab aliena manu assuta est, locus Hesiodeus fortasse ab
book 124.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ipso Aristonico allatus.

book 125.1 τὰ δὲ μέλλετ’ ἀκουέμεν: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 125.2 ἐοίκατε ἀκηκοέναι. A. Ar. 125.
book 128.1 δεῦτ’ ἴομεν πόλεμον δέ, καὶ οὐτάμενοί περ,
book 128.2 ἀνάγκῃ: ἡ διπλῆ ὅτι συλληπτικῶς καὶ ἐπὶ τῶν βεβλημένων
book 128.3 οὐτάμενοι εἴρηκεν. ABLV. Ar. 63.
book h136-7 οὐδ’ ἀλαοσκοπίην εἶχε κλυτὸς ἐννοσίγαιος,
book h136-7 ἀλλὰ μετ’ αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς.
book 135.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος οὐδ’ ἀλαὸν σκοπιήν
book 135.2 (cf. ad K 515) A.
book 136.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος ὑποτάσσει ἀντιθέῳ Φοί-
book 136.2 νικι ὀπάονι Πηλείωνος. οὐχ ἁρμόζουσι δὲ Φοίνικι οἱ
book 136.3 ἐπιφερόμενοι λόγοι. βέλτιον οὖν καθολικώτερον γέροντι
book 136.4 ἀπεικάσθαι. A.
book 142.1 ἀλλ’ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώ-
book 142.2 σειεν: περισσὸς ὁ στίχος, καὶ ἡ λέξις νεωτέρων. V.?
book 147.1 ἐπεσσύμενος πεδίοιο: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ
book 147.2 διά, διὰ πεδίου (cf. p. 26). A.
book h153-5.1 Ἥρη δ’ εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσιν
book h153-5.2 στᾶσ’ ἐξ Οὐλύμποιο, ἀπὸ ῥίου· αὐτίκα δ’ ἔγνω
book h153-5.3 τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν,
book h157-8.1 Ζῆνα δ’ ἐπ’ ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
book h157-8.2 ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
book 154.1 ὅτι ὄρος ὁ Ὄλυμπος, καὶ ῥία ἔχει, καὶ ἀπὸ τῶν
book 154.2 ὀρῶν (ῥίων? L.) ἐπιθεωροῦσιν. A. Ar. 169.
book 155.1 ἡ διπλῆ ὅτι τὸ ποιπνύοντα ἐνεργοῦντά ἐστιν, οὐχ
book 155.2 ὡς οἱ γλωσσογράφοι (Ar. 45) ποιοῦσι τὸ ποιπνύειν διακονεῖν
book 155.3 ἐκ τοῦ ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα
book 155.4 (A 600). γέγονε δὲ παρὰ τὸ πονῶ ..... πονύω πνύω
book 155.5.1 ποιπνύω ἀναδίπλωσις. A. Ultima a πονύω (cf. Epim. H. 313)
book 155.5.2 non videntur Aristonici esse. Cf. Ar. 110, 146.
book 158.1 περισσόν· δύναται γὰρ ἀπὸ κοινοῦ τὸ ἔγνω. V.?
book 158.2 Ar. 360.
book 162.1 εὖ ἐντύνασαν ἓ αὐτήν: ἡ διπλῆ περιεστιγμένη
book 162.2 ὅτι Ζηνόδοτος γράφει ἑωυτήν. A.
book 167.1 πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν: ἡ
book 167.2 διπλῆ ὅτι πληθυντικῶς τὴν θύραν θύρας (Ar. 130 not.). AB.
book h169-74.1 ἔνθ’ ἥ γ’ εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
book h169-74.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
book h169-74.3 λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ
book h169-74.4 ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
book h169-74.5.1 τοῦ καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
book h169-74.5.2 ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.
book 169 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει θύ-
book 169.1 ρας ἐπιθεῖσα φαεινάς, ἵνα συναφὴς ὁ λόγος γένηται· ὁ
book 169.2 δὲ Ὅμηρος ἄλλας ἀρχὰς λαμβάνει, ἵνα μὴ ἀσαφὴς ἡ περίο-
book 169.3 δος γένηται ἤτοι ὑστεροπερίοδος. A. Cf. ad N 172.
book 170.1 ἡ διπλῆ ὅτι ἐκ τούτου τοῦ τόπου πλανηθέντες τι-
book 170.2 νὲς ὑπέλαβον τὴν ἀμβροσίαν εἶναι ὑγρὰν τροφήν (Ar. 193).
book 170.3 A. Scripsi ὑπέλαβον pro διέλαβον.
book 171.1 ἡ διπλῆ ὅτι μύρον μὲν οὐκ ὀνομάζει, τεθυμια-
book 171.2 μένον δὲ ἔλαιον τὸ μύρον λέγει, ὥστε εἰδέναι μὲν τὴν χρῆ-
book 171.3 σιν, τὸ δὲ ὄνομα μή. λέγει δέ που καὶ (Ψ 186) ῥοδόεντι
book 171.4 δὲ χρῖεν ἐλαίῳ καὶ (ς 191) κάλλεϊ μέν οἱ πρῶτα μύ-
book 171.5 ρου τι γένος ὀνοματοποιήσας. A. Ar. 199. 348.
book 174.1 ἡ διπλῆ πρὸς τὰ περὶ τοῦ Ὀλύμπου, ὅτι οὐκ
book 174.2 ἔστιν ὁ αὐτὸς τῷ οὐρανῷ οὐδὲ τόπος τοῦ οὐρανοῦ· ἀπ' αὐ-
book 174.3 τοῦ γάρ φησι τὴν ὀσμὴν τοῦ μύρου ὁμοίως καὶ εἰς οὐρανὸν
book 174.4 ἀφικνεῖσθαι καὶ εἰς γῆν. τοῦτο δὲ ἐπὶ τῶν ἀνωτάτω τοῦ
book 174.5 ὄρους κορυφῶν συμφωνήσει, ἴσον διάστημα ἐπὶ γῆν καὶ οὐ-
book 174.5.2 ρανὸν λαμβάνειν. AB. Ar. 170.
book 178.1 ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ
book 178.2 Ἀθήνη: ἡ διπλῆ ὅτι ἑανὸς ὁ αὐτὸς τῷ πέπλῳ. καὶ καθό-
book 178.3 λου πρὸς τὸν στολισμόν (Ar. 193). A.
book 180.1 χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο:
book 180.2 ἡ διπλῆ ὅτι κατὰ τὸ στῆθος ἐπερονῶντο, οὐχ ὡς ἡμεῖς κατὰ
book 180.3 τὴν κατάκλειδα τοῦ ὤμου (Ar. 193). A.
book 183.1 (ἕρματα) τρίγληνα μορόεντα: ἡ διπλῆ ὅτι τρί-
book 183.2 γληνα τρίκορα, ὡς τριῶν ζῳδίων ἐφ' ἑκατέρου (cod. ον) δε-
book 183.3 δημιουργημένων. μορόεντα δὲ πεπονημένα τῇ κατασκευῇ,
book 183.4 ἀπὸ τοῦ μορῆσαι, ὅ ἐστι κακοπαθῆσαι. A.
book 196.1 τελέσαι δέ με θυμὸς ἄνωγεν
book 196.2 εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον
book 196.3 ἐστίν: ἡ διπλῆ ὅτι περιώρικε· τὸν γὰρ ἐπιδεχόμενον τελέ-
book 196.4 σαι δυνατὸν εἶναι δεῖ, καὶ (cod. ἤ) αὐτὸ τὸ πρᾶγμα δυνατὸν
book 196.5 εἶναι πρὸς τελείωσιν. A.
book h205-7.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Junonis verba sunt ad Venerem) τοὺς εἶμ’ ὀψομένη καί σφ’ ἄκριτα νείκεα λύσω· ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.

ἡ διπλῆ ὅτι νῦν καλῶς λέγονται, ἐν δὲ τοῖς κάτω πρὸς τὸν Δία (303) οὐκέτι. A.

ὅτι παραλλήλως (cf. ad N 276) δηρὸν καὶ χρόνον. A.

εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι: ἡ διπλῆ ὅτι τὸ ὁμωθῆναι οὐκ ἔστιν ὁμοιωθῆναι, ἀλλ’ ὁμόσε ἐλθεῖν φιλότητι. A.

οὐκ ἔστ’ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι· Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις: ἀθετεῖται, ὅτι ἐκλύει τὴν χάριν, εἰ ἕνεκα τοῦ Διὸς δίδωσι καὶ οὐκ αὐτῆς. προηθέτει δὲ καὶ Ἀριστοφάνης. A.

ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα: ἡ διπλῆ ὅτι κεστὸς ἐκ παρεπομένου ὁ ποικίλος, ἀπὸ τοῦ διὰ τὰς ῥαφὰς κεκεντῆσθαι, ἐμπεποικιλμένης τῆς φιλότητος καὶ ἱμέρου καὶ ὀαριστύος. καὶ οὐκ ἔστι κύριον ὄνομα ὡς ἔνιοι τῶν ἀρχαίων· διὸ καὶ ἐπ’ ἄλλου λέγει· ἄγχε δέ μιν πολύκεστος ἱμάς (Γ 371). A. Ar. 193.

τόν ῥά οἱ ἔμβαλε χερσίν: ἡ διπλῆ ὅτι ἡ πτῶσις ἤλλακται, ἀντὶ τοῦ αὐτῆς ταῖς (haec vox fortasse delenda) χερσίν. A. Cf. p. 22.

τῇ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κολπῷ: ἡ διπλῆ ὅτι τὸ κατὰ τὸ στῆθος κόλπωμα τοῦ πέπλου κόλπον εἶπε (Ar. 152), καὶ ὅτι τὸ τῆ λάβε ἐστίν. A.

μειδήσασα δ’ ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ: ἡ διπλῆ ὅτι ἐπὶ τῇ φήμῃ οἰωνισαμένη ἐμείδησε· προείρηκε· γὰρ „οὐκ ἔσῃ ἄπρακτοσ“ (v. 221). καὶ ἐν Ὀδυσσείᾳ (ς 112) τὸ ὅμοιον· Ζεύς τοι δοίη ξεῖνε, ὅττι μάλιστ’ ἐθέλεις· ὣς ἄρ’ ἔφη, χαῖρεν δὲ κληδόνι δῖος Ὀδυσσεύς. A.

Ἥρη δ’ ἀίξασα λίπεν ῥίον Οὐλύμποιο, Πιερίην δ’ ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινήν—

ἡ διπλῆ ὅτι ὄρος ὁ Ὄλυμπος· τὸ γὰρ ῥίον ἰδίως ἐπ’ ὄρους τάσσεται. AB. Ar. 169.

ἡ διπλῆ ὅτι Μακεδονικὸς Ὄλυμπος θεῶν οἰκητήριον· ἡ γὰρ Πιερία τούτου ἀκρώρεια, καὶ Ἠμαθία τὸ πρό-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τερον ἡ Μακεδονία ἐκαλεῖτο. παράκειται δὲ καὶ ἡ Θρᾴκη.
book 226.4 καὶ ἐν Ὀδυσσείᾳ (ε 50) ἐπὶ τοῦ Ἑρμοῦ, Πιερίην δ’ ἐπι-
book 226.5 βὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ. A. Ar. 170.
book 235.1 πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα
book 235.2 πάντα: ἔδει ἤτοι εἰδείην, ἵν’ ᾖ τὸ ῥῆμα ἠλλαγμένον, ἢ ἐκ
book 235.3 περισσοῦ νοουμένου τοῦ κέ ἐγὼ δὲ σοὶ εἴσομαι χάριν. A.
book 235 Verba Aristonici non sunt, de re v. p. 9.
book 239.1 Ἥφαιστος δέ κ’ ἐμὸς παῖς ἀμφιγυήεις
book 239.2 τεύξει—ἡ διπλῆ ὅτι οὐκ ἐκληπτέον κατὰ συνα-
book 239.3 λοιφὴν τὸν καὶ ἀλλὰ τὸν κέ· ἔστι γὰρ Ἥφαιστος δ’ ἐμὸς
book 239.4 πᾶις τεύξει, ὥστε περισσὸν νοεῖσθαι τὸν κέ Ὁμηρικῶς. A.
book 239.5 Cf. p. 9.
book 242.1 προσεφώνεε νήδυμος ὕπνος: ἡ διπλῆ ὅτι νή-
book 242.2 δυμος σὺν τῷ ν. A. Propter eandem causam notaverat.
book 253 νήδυμος ἀμφιχυθείς: cf. ad B 2.
book 260.1 τὴν (νύκτα) ἱκόμην φεύγων: ἱκέτευσα. BL. ἱκό-
book 260.2 μην hoc loco pro ἱκέτευσα dictum esse, verisimile est notatum
book 260.3 fuisse: cf. ad X 123. L.
book 265.1 εὐρύοπα Ζῆ-
book 265.2 ν’ ὡς Ἡρακλῆος περιχώσατο: Nota fuit propter hanc
book 265.3 rationem dirimendi: Ω 331.
book 267.1 Χαρίτων μίαν ὁπλοτεράων: ἡ διπλῆ ὅτι δύο
book 267.2 γενέσεις Χαρίτων ὑποτίθεται, πρεσβυτέρας καὶ νεωτέρας·
book 267.3 διὸ συγκριτικῶς λέγει ὁπλοτεράων (Ar. 183). A.
book 272.1 χειρὶ δὲ τῇ ἑτέρῃ: ἡ διπλῆ ὅτι ἐπὶ δύο τῷ ἑτέρῳ
book 272.2 χρῆται. ABD.
book 274.1 μάρτυροι ὦς’ οἱ ἔνερθε θεοί: ἡ διπλῆ περιε-
book 274.2 στιγμένη ὅτι Ζηνόδοτος μάρτυρες γράφει, ἀγνοῶν ὅτι μάρ-
book 274.3 τυροι λέγειν δεῖ ἀκολούθως τῷ μάρτυρος (cf. ad H 76). A.
book 274.4 Cod. μάρτυρος—μάρτυροι. Corr. L.
book 279.1 θεοὺς δ’ ὀνόμηνεν ἅπαντας
book 279.2 τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέον-
book 279.3 ται: ἡ διπλῆ ὅτι τοὺς περὶ Κρόνον θεοὺς ὑποταρταρίους
book 279.4 προσαγορεύει (Ar. 176). πρὸς τὸ ὀππότε μιν ξυνδῆσαι
book 279.5 Ὀλύμπιοι (A 399), ὅτι οὐ τοὺς περὶ Κρόνον λέγει Ὀλυμ-
book 279.5 πίους. A. Ar. 191 et Addenda.
book 283.1 Ἴδην δ’ ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
book 283.2 Λεκτόν: ἡ διπλῆ ὅτι ἰδίως εἴρηκεν ἀντὶ τοῦ Ἴδης εἰς
book 283.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λεκτόν· καὶ Ἴδην δ’ ἵκανε πολυπίδακα Γάργαρον
book 283.4 (Θ 47) καὶ ἐν Ὀδυσσείᾳ (θ 363) τὸ ὅμοιον· ἡ δ’ ἄρα Κύ-
book 283.5.1 προν ἵκανε φιλομμειδὴς Ἀφροδίτη ἐς Πάφον. A.
book 283.5.2 De accusativo pro genetivo v. p. 26., de omissa εἰς p. 26.
book 288.1 μακροτάτη πεφυυῖα (ἐλάτη) δι’ ἠέρος αἰθέρ’
book 288.2 ἵκανεν: ἡ διπλῆ ὅτι καθ’ Ὅμηρον ἀὴρ ὁ ἀπὸ γῆς μέχρι
book 288.1 νεφῶν τόπος· ὁ δὲ ὑπὲρ τὰ νέφη τόπος αἰθὴρ, καὶ ὁμωνύ-
book 288.2 μως τῷ στερεμνίῳ οὐρανός. διὸ τὰ νέφη λέγει πύλας οὐ-
book 288.5 ρανοῦ (Ar. 167). A.
book 301sqq.1 ἔρχομαι ὀψομένη κτλ. (repetiti ex 200—202)
book 301sqq.2 in BL. dicuntur ἀθετεῖσθαι. Quod si verum est, certe non
book 301sqq.3 ob hanc causam rejecti fuerunt quam hi tradunt, ὡς ἀμβλύνον-
book 301sqq.4 τες τὴν ἐπιθυμίαν Διός.
book 304-6.1 τοὺς εἶμ’ ὀψομένη κτλ. —ἀθετοῦνται
book 304-6.2 στίχοι γ′, καὶ ἀστερίσκοι παράκεινται, ὅτι πρὸς μὲν Ἀφρο-
book 304-6.3 δίτην δεόντως λέγονται (205—7), πρὸς δὲ τὸν Δία οὐκέτι·
book 304-6.4 οὐ γὰρ προσεδεῖτο προφάσεως, ἔχουσα τὸν κεστὸν ἱμάντα.
book 304-6.5.1 καὶ τάχ’ ἂν συνεφώρμησεν αὐτῇ· οὐ δεῖ οὖν παρακινδυ-
book 304-6.5.2 νεύειν. A.
book h315-7.1 οὐ γάρ πώ ποτέ μ’ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικός
book h315-7.2 θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
book h315-7.3 οὐδ’ ὁπότ’ ἠρασάμην Ἰξιονίης ἀλόχοιο κτλ.
book h327 οὐδ’ ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς.
book 315.1 ἡ διπλῆ ὅτι ἐξαρκεῖ τὸ κεφαλαιωδῶς εἰπεῖν· τὸ δὲ
book 315.2 ἐξ ὀνόματος ἐπιφέρειν ἐνέκοπτε μᾶλλον ἢ ἔπειθεν. A.
book 317.1 ἀπὸ τούτου ἕως τοῦ οὐδ’ ὁπότε Λητοῦς ἐρι-
book 317.2 κυδέος (327) ἀθετοῦνται στίχοι ια′, ὅτι ἄκαιρος ἡ ἀπα-
book 317.3 ρίθμησις τῶν ὀνομάτων· μᾶλλον γὰρ ἀλλοτριοῖ τὴν Ἥραν
book 317.4 ἢ προσάγεται. καὶ ὁ ἐπειγόμενος συγκοιμηθῆναι διὰ τὴν τοῦ
book 317.5 κεστοῦ δύναμιν πολυλογεῖ. καὶ Ἀριστοφάνης προηθέτει. A.
book 324.1 οὐδ’ ὅτε περ Σεμέλης οὐδ’ Ἀλκμήνης ἐνὶ Θήβῃ,
book 324.2 ἥ ῥ’ Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα: ὅτι
book 324.3 ἔχει τι Ὁμηρικόν· πρὸς γὰρ τὸ δεύτερον πρότερον ἀπήντηκε. A.
book 338.1 ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
book 338.2 Ἥφαιστος—ἡ διπλῆ ὅτι ἐκ Διὸς καὶ Ἥρας
book 338.3 καθ’ Ὅμηρον ὁ Ἥφαιστος. καὶ νῦν μὲν ἴσως τις ἐρεῖ ἀμ-
book 338.4 φιβολίαν εἶναι· ἐν Ὀδυσσείᾳ δὲ (θ 312) σαφῶς λέγει ὁ
book 338.5 Ἥφαιστος, ὁ δὲ Ἡσίοδος ἐκ μόνης Ἥρας. A. Ar. 186.
book 354.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος
book 354.2 ὕπνος: ἡ διπλῆ ὅτι σὺν τῷ ν νήδυμος. A. Cf. ad v. 242, 253.
book 366.1 ἀλλ’ ὁ μὲν (Hector) οὕτω φησὶ καὶ εὔχεται: ἡ
book 366.2 διπλῆ ὅτι Ζηνόδοτος γράφει καὶ ἔλπεται. ἁρμόζει δὲ τῷ
book 366.3 προσώπῳ τὸ εὔχεται, καυχᾶται. A.
book h376-7 ὃς δέ κ’ ἀνὴρ μενέχαρμος, ἔχει δ’ ὀλίγον σάκος ὤμῳ
book h376-7 χείρονι φωτὶ δότω, ὁ δ’ ἐν ἀσπίδι μείζονι δύτω.
book 376.1 οὗτος καὶ ὁ ἑξῆς ἀθετοῦνται, ὅτι γελοῖον μὴ τὰ
book 376.2 ἁρμόζοντα ἀναλαμβάνειν, ἀλλὰ μείζονα εἰς ἐμποδισμὸν τῆς
book 376.3 χρήσεως. τό τε μενεχαρμός φησιν οὐκ οἶδεν ὁ ποιητής [τὶ
book 376.4 οὖν ἐστὶ τὸ τοῦ δ’ Ἀντίλοχος μενεχάρμης (N 396);].
book 376.5.1 Ζηνόδοτος δὲ προηθέτει. (Cf. ad 382). A. Verba inclusa de-
book 376.5.2 sunt apud Villoisonem.
book h379-80.1 τοὺς δ’ αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ
book h379-80.2 Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων.
book 379.1 συλληπτικῶς τὸ οὐτάμενοι· Διομήδης γὰρ βέβλη-
book 379.2 ται (Ar. 63). V.
book 382.1 ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηα δὲ χείρονι
book 382.2 δόσκεν: ἡ διπλῆ ὅτι οὗτος ὁ στίχος τοὺς προκειμένους ἀναι-
book 382.3 ρεῖ (376, 377)· βελτίονα μὲν γὰρ τῇ κατασκευῇ ἐνδέχεται
book 382.4 ἀναλαμβάνειν, μείζονα δὲ οὔ. A.
book h389-91.1 δὴ ῥα τότ’ αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
book h389-91.2 κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ.
book h389-91.3 ἤτοι ὁ μὲν Τρώεσσιν ὁ δ’ Ἀργείοισιν ἀρήγων.
book 389.1 οὕτως διὰ τοῦ α γραπτέον τάνυσσαν. A. Ari-
book 389.2 stonico hoc tribuimus propter γραπτέον. Et dixerat sine dubio
book 389.3 cur haec lectio ab Aristarcho praelata esset.
book 391.1 ἡ διπλῆ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντη-
book 391.2 κεν (Ar. 13). A.
book h394 οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
book h396 οὔτε πυρὸς τόσσος γε πέλει βρόμος αἰθομένοιο,
book h398 οὔτ’ ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν—
book 394.1 ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος τούτων τῶν
book 394.2 ὁμοιώσεων τὴν πρώτην τρίτην τέταχεν. ὁ δὲ Ὅμηρος τὰ
book 394.3 ἐπιτατικώτερα ὕστερα λέγει· πάντων δὲ ἐπιτατικώτερον ἀνέ-
book 394.4 μου φορά, ἥτις καὶ τὰ ἄλλα κινεῖ, θάλασσαν καὶ πῦρ. A.
book 394.5 ὕστερα inseruimus.
book 402.1 Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕ-
book 402.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κτωρ: ὅτι πρόθεσις παρεῖται καὶ πτῶσις ἤλλακται, ἀντὶ τοῦ
book 402.3 ἐπ’ Αἴαντα. A. Cf. p. 24.
book h404-6.1 τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
book h404-6.2 ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου
book h404-6.3 τὼ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ’ Ἕκτωρ.
book 405 ὅτι καὶ τὰ ξίφη καὶ τὰς ἀσπίδας ἐκ τελαμώνων
book 405 ἀνῆπτον· διὸ δύο. A. Ar. 194.
book 406.1 ἡ διπλῆ ὅτι χώσατο νῦν συνεχύθη (Ar. 147), καὶ
book 406.2 ὅτι οὐκ ἄτρωτος ὁ Αἴας καθ’ Ὅμηρον· εἰ γὰρ μὴ οἱ τελα-
book 406.3 μῶνες ἐσκέπαζον, ἐτρώθη ἄν. A. Cf. V. ad 404, Ar. 180.
book 416.1 τὸν δ’ οὔπερ ἔχει θράσος, ὅς κεν ἴδηται:
book 416.2 ἡ διπλῆ ὅτι τὸ ἀντικείμενον δεῖ ὑπακούειν, ἀλλὰ δέος
book 416.3 (Ar. 14). A.
book 418.1 ὣς ἔπες’ Ἕκτορος ὠκὺ χαμαὶ μένος ἐν κο-
book 418.2 νίῃσιν: ἡ διπλῆ ὅτι ὠκύ γραπτέον εἴτε ἐπιθετικῶς εἴτε
book 418.3 κατὰ μεσότητα ἀντὶ τοῦ ὠκέως, ὡς ὀξὺ δὲ κωκύσασα
book 418.4 (Σ 71). A. Cf. p. 29.
book 421.1 οἱ δὲ μέγα ἰάχοντες: ἡ διπλῆ ὅτι τὸ ἰάχοντες
book 421.2 ὡς ὀρέγοντες. ὅθεν βαρυτονεῖν δεῖ ἰάχων ὡς ὀρέγων. A. Ar. 315.
book 424.1 οὐτάσαι οὐδὲ βαλεῖν: ἡ διπλῆ ὅτι διαστέλλει
book 424.2 τὸ οὐτάσαι καὶ βαλεῖν. A. Ar. 62.
book 434.1 ἀλλ’ ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο
book 434.2 Ξάνθου δινήεντος: ἡ διπλῆ ὅτι μὴ προσυστήσας εἰ
book 434.3 ὁ Σκάμανδρος Ξάνθος καλεῖται, ὡς πρὸς εἰδότας κέχρηται
book 434.4 τῷ ὀνόματι. A.
book 439.1 βέλος δ’ ἔτι θυμὸν ἐδάμνα: ὅτι βέλος τὸν βε-
book 439.2 βλημένον τόπον. A. Ar. 70.
book 442.1 ἔνθα πολὺ πρώτιστος Ὀιλῆος ταχὺς Αἴας:
book 442.2 ἡ διπλῆ ὅτι οἱ τοιοῦτοι τόποι ἐπλάνησαν τὸν Ζηνόδοτον,
book 442.3 ὥστε δέξασθαι χωρὶς τοῦ ο Ἰλῆος. A. Ar. 180.
book 463.1 λικριφὶς ἀίξας: ἡ διπλῆ ὅτι δὶς κέχρηται τῇ λέξει,
book 463.2 νῦν καὶ ἐν Ὀδυσσείᾳ (τ 451). σημαίνει δὲ πλάγιος ὁρμήσας,
book 463.3 ἀπὸ τοῦ λέχριος, κατὰ κοινωνίαν τῶν συμφώνων. A.
book 477.1 ἀμφὶ κασιγνήτῳ βεβαώς: ἡ διπλῆ πρὸς τὸ
book 477.2 ὃς Χρύσην ἀμφιβέβηκας (A 37) ὅτι ἐστὶν ὑπερμαχεῖς.
book 477.3 A. ὅτι L. pro ὅ.
book 485.1 ἵνα μή τι κασιγνήτοιό γε ποινή
book 485.2 δηρὸν ἄτιτος ἔῃ. τῷ καί κέ τις εὔχεται ἀνήρ
book 485.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι:
book 485.4 ἡ διπλῆ ὅτι ἀντιπέφρακε τὸν γνωτὸν τῷ κασιγνήτῳ σαφῶς·
book 485.5 ἐστὶ γὰρ ἀδελφός (Ar. 152). A.
book 500.1 ὁ δὲ φῆ κώδειαν ἀνασχών,
book 500.2 πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα: ἡ
book 500.3 διπλῆ ὅτι ἀναγνόντες τινὲς φη κώδειαν ὑφ’ ἕν, ἵν’ ᾖ ὡς
book 500 κώδειαν, προσεπέταξαν τὸν ἠθετημένον. οὐδέποτε δὲ Ὅμη-
book 500.5.1 ρος τὸ φη ἀντὶ τοῦ ὥς τέταχεν. ἴσως δὲ καὶ Ἀντίμαχος
book 500.5.2 ἐντεῦθεν ἐπλανήθη φη γέρων οἷσιν (γεράνοισιν? Bekk.)
book 500.5.3 εἰπών. δεῖ δὲ ἔξωθεν προσλαμβάνειν τὸ ὡς, καὶ ἀθετεῖν
book 500.5.4 τὸν στίχον· ταυτολογίαν γὰρ περιέχει. A. Et propter signi-
book 500.5.5 ficationem verbi φράζειν cf. Apoll. lex 165 ubi l. 12 cum l. 10
book 500.10 conjungenda Ar. 93 L.
book 509.1 ἀνδράγρι’ Ἀχαιῶν: ἡ διπλῆ ὅτι νῦν καὶ ἐν
book 509.2 Ὀδυσσείᾳ (?) ἅπαξ εἴρηκεν ἀνδράγρια. A.
book 516.1 Ἀτρείδης δ’ ἄρ’ ἔπειθ’ Ὑπερήνορα ποιμένα λαῶν
book 516.2 οὖτα κατὰ λαπάρην—ἡ διπλῆ ὅτι οὗτος ἴσως
book 516.3 ἐστὶν Ὑπερήνωρ, οὗ μέμνηται κατὰ τὴν πρὸς Εὔφορβον
book 516.4 σύστασιν Μενέλαος· οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος
book 516.5.1 ἱπποδάμοιο ἧς ἥβης ἀπόνηθ’ ὅτε (P 24). ἀλλὰ νῦν
book 516.5.2 τούτων τῶν λόγων οὐ μέμνηται, κατ’ ἐπιδρομὴν ἐκφέρων
book 516.5.3 τοὺς ἀνῃρημένους. A.
book 518.1 κατ’ οὐταμένην ὠτειλήν: ἡ διπλῆ ὅτι παρε-
book 518.2 τυμολογεῖ τὴν ὠτειλὴν ἀπὸ τοῦ οὔτασε. ABL. Ar. 69, 70.
book 522.1 ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον
book 522.2 ὄρσῃ: ὅτι οὐ λέγει τρεσσάντων δεισάντων, ἀλλὰ φυγόντων·
book 522.3 τρέσσαι δ’ οὐκέτι ῥίμφα πόδες (N 515). A. Ar. 91.
book 1.1 αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβη-
book 1.2 σαν: ἀντὶ τοῦ διὰ σκολόπων καὶ τάφρου, ὡς τὸ διά τ’ ἔν-
book 1.3 τεα καὶ μέλαν αἷμα (K 298). AD. Cf. p. 21.
book 8.1 τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπι-
book 8.2 σθεν
book 8.3 Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα: ἡ
book 8.4 διπλῆ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν. ἕνεκα δὲ
book 8.5 σαφηνείας ἐπανέλαβε τοὺς Ἀργείους. A. Ar. 13.
book h10-1.1 ὁ δ’ ἀργαλέῳ ἔχετ’ ἄσθματι κῆρ ἀπινύσσων
book h10-1.2 (Hector)
book h10-1.3 αἷμ’ ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ’ Ἀχαιῶν.
book 10.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι κατὰ τὸ πλῆρες ἐκληπτέον κῆρ, εἶτα
book 10.2 ἀπινύσσων, τὸ κέαρ ἀπινυτῶν. A.
book 11 αἶμ’ ἐμέων: ἡ διπλῆ—πρὸς τὸ αἶμ’ ἀπέμασ-
book 11.1 σεν (Ξ 437) τοῦτο ἄν τις σημειώσαιτο. A.
book 11.2 οὔ μιν ἀφαυρότατος: ὅτι τὸ ἐναντίον ὑπακουστέον,
book 11.3 ἀλλ’ ἰσχυρότατος (Ar. 14): οὐ γὰρ ἐκ πλήρους ἀποδέδωκεν,
book 11.5.1 ὡς ἐπὶ τοῦ δὸς φίλος, οὐ γάρ μοι δοκέεις ὁ κάκιστος
book 11.5.2 Ἀχαιῶν ἔμμεναι ἀλλ’ ὤριστος (ρ 415). A.
book h14-5.1 ἦ μάλα δὴ κακότεχνος ἀμήχανε, σὸς δόλος, Ἥρη,
book h14-5.2 Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
book 14.1 ἀμήχανε: ἡ διπλῆ ὅτι δύο σημαίνει ἡ λέξις, ἤτοι
book 14.2 μὴ δυναμένη μηχανὴν εὑρεῖν, ἢ πρὸς ἣν οὐκ ἔστι μηχανή-
book 14.3 σασθαι· ὅπερ καὶ θέλει εἰπεῖν. A. Ar. 149.
book 15.1 ἡ διπλῆ ὅτι ἀφ’ ἑαυτοῦ ὁ Ζεὺς δῖον τὸν Ἕκτορα
book 15.2 καὶ ἑξῆς τὴν θάλασσαν ἢ εἰς ἅλα δῖαν (161), πρὸς τὸ μὴ
book 15.3 ὑποπτεύειν τὰ ἐν Ὀδυσσείᾳ (α 65) πῶς ἂν ἔπειτ’ Ὀδυ-
book 15.4 σῆος ἐγὼ θείοιο λαθοίμην; A.
book 21.1 σὺ δ’ ἐν αἰθέρι καὶ νεφέλησιν
book 21.2 ἐκρέμω. ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμ-
book 21.3 πον: ἡ διπλῆ ὅτι ἐκ δυεῖν τόπων, τούτου τε καὶ τοῦ κατὰ
book 21.4 τὴν A ῥαψῳδίαν (587), ὁ ποιητὴς τῆς Ἡφαίστου ῥίψεως
book 21.5.1 καὶ τῶν Ἥρας δεσμῶν πληροῦται μῦθον A. Ar. 168.
book 21.5.2 ἡ διπλῆ ὅτι μακρὸς ὁ Ὄλυμπος ὡς ὄρος· τὸν δὲ οὐρα-
book 21.5.3 νὸν εὐρὺν καλεῖ. B (etiam Vill. —potius, opinor, A. L.).
book 21.5.4 ὃν δὲ λάβοιμι
book 23.1 ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ: ἡ διπλῆ ὅτι
book 23.2 ταῖς αὐταῖς λέξεσι κέχρηται κατ’ ἀμφοτέρους τοὺς τόπους
book 23.3 (cl. A 591). A.
book h36 ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
book h41-2.1 μὴ δι’ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
book h41-2.2 πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ’ ἀρήγει.
book 41.1 ἡ διπλῆ ὅτι παρακέκρουσται τὸν ὅρκον· οὐ γὰρ διὰ
book 41.2 τὴν αὐτῆς βούλησιν ὁ Ποσειδῶν τοῖς Ἕλλησι βοηθεῖ (cf. V
book 41.3 ad Ξ 241, BL ad Ξ 355 L.), αὐτὴ μέντοι συνεργεῖ κοιμή-
book 41.4 σασα τὸν Δία. καὶ ὅτι ἡ ἀπαγόρευσις ἡ μή ἀντὶ ἀρνήσεως
book 41.5 τῆς οὔ (cf. p. 35.). A. καὶ ante κοιμήσασα delevi. L.
book h55-7.1 Ἶρίν τ’ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
book h55-7.2 ὄφρ’ ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
book h55-7.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλθῃ κτλ.

ἀπὸ τούτου ἕως τοῦ λισσομένη τιμῆσαι (77) ἀθετοῦνται στίχοι κβʹ, ὅτι οὐκ ἀναγκαίως παλιλλογεῖται περὶ τῶν ἑξῆς ἐπεισαχθησομένων, καὶ κατὰ τὴν σύνθεσίν εἰσιν εὐτελεῖς· καὶ ὅτι ὡς ἐπίπαν πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷ, νῦν δὲ πρὸς τὸ πρότερον ἀπήντηκεν ὄφρ’ ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν. (Ar. 13). ψεῦδος δὲ καὶ τὸ φεύγοντες δ’ ἐν νηυσὶ πολυκλήισι πέσωσι Πηλείδεω Ἀχιλῆος (63)· οὔτε γὰρ παραγεγόνασιν ἕως τῶν Ἀχιλλέως νεῶν, οὔτε τὸν Πάτροκλον ἀνέστησεν ἐπὶ τὸν πόλεμον ὁ Ἀχιλλεύς. καὶ τὸ πέσωσιν οὐχ Ὁμηρικόν· μᾶλλον γὰρ ἐκεῖνος (non ἐκείνοις ut edd. L.) τὸ ἐμπεσεῖν ἐπὶ τοῦ ἐνσεῖσαι τίθησιν· ἔφαντο γὰρ οὐκέτ’ Ἀχαιοὺς σχήσεσθ’ ἀλλ’ ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι (Μ 125—cf. ad Ι 235 Λ 284 Μ 107 Ρ 639 L.). ἡ δὲ παλίωξις οὐχ Ὁμηρικῶς παρείληπται· οὐ γὰρ λέγεται οὕτως ψιλῶς παρ’ αὐτῷ ἡ φυγή, ἀλλ’ ὅταν ἐκ μεταβολῆς οἱ πρότερον φεύγοντες διώκωσι· σαφῶς γὰρ ἐν ἄλλοις φησὶν εἰ δέ χ’ ὑποτρέψω καὶ (sic pro ὑποστρέψωσι) παλίωξις δὲ γένηται (ib. 71). ἀσύνηθες δὲ καὶ οὐδετέρως τὸ Ἴλιον νῦν ῥηθέν Ἴλιον αἰπὺ ἕλοιεν. (71)· πάντοτε γὰρ θηλυκῶς λέγει (Ar. 242). ἔν τε τῷ λισσομένη τιμῆσαι (77), φησὶν ὁ Ἀρίσταρχος ὅτι οὐδαμῇ τὸν Ἀχιλλέα πτολίπορθον εἴρηκεν, ἀλλὰ ποδάρκη καὶ ποδώκη. A. Vix videtur extricari posse ex his reliquiis, quid Aristarchus de πτολίπορθος Ἀχιλλεύς docuerit. Nunc πτ. Ἀχ. est Θ 372 Ο 77 Φ 550 Ω 108. Ex his locis duos Θ 372 et Ο 77 (utrobique est hic versus λισσομένη τιμῆσαι Ἀχ. πτ.) aliis accidentibus indiciis pro spuriis habuit. Restabant igitur duo. Quomodo igitur ad Φ 550 Aristonicus observat: ἡ διπλῆ ὅτι πλεονάζει ἐπ’ Ὀδυσσέως τὸ πτολίπορθος (cf. ad Β 278)—νῦν δὲ ἅπαξ ἐπ’ Ἀχιλλέως, et hic οὐδαμῇ, quod jam Eustathius hoc loco legit? Non poterit dubitari quin οὐδαμῇ falsum sit, per errorem ortum, eo opinor quod Aristarchus dixerat: οὐδ’ Ὁμηρικὸν ἔθος τὸ εἰπεῖν πτολίπορθον τὸν Ἀχιλλέα; quo non excludebatur semel vel iterum tamen inveniri. Praeterea autem suspicio oritur, Ω 108 secundam partem versus illa aetate aliter lectam esse; nam nota Φ 556 ita expressa videtur ut ad semel dictum πτολίπορθον Ἀχιλλέα. L.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φεύγοντες δ’ ἐν νηυσὶ πολυκλήισι πέσωσιν
book h63-4.2 Πηλείδεω Ἀχιλῆος. ὁ δ’ ἀνστήσει ὃν ἑταῖρον.
book 63-64 ἀθετοῦνται ὅτι ψεῦδος. A. V. ad 56.
book 69.1 ἐκ τοῦ δ’ ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
book 69.2 αἰὲν ἐγὼ τεύχοιμι—ἡ διπλῆ σὺν ἀστερίσκῳ, ὅτι
book 69.3 οὐχ Ὁμηρικῶς ἡ παλίωξις. A. V. ad M 71. ἡ διπλῆ σὺν
book 69.4 ἀστερίσκῳ falsum est. Aut ἡ διπλῆ σὺν ὀβελῷ (et haec signa
book 69.5.1 textui apposita sunt) aut ἡ διπλῆ σὺν ὀβελῷ καὶ ἀστερίσκῳ,
book 69.5.2 quod verisimile. Tum simul significatum erat, hunc versum
book 69.5.3 expressum esse ex Ο 601, etiamsi non omnibus isdem verbis.
book 69.5.4 Sed ea ratio inter alios etiam versus est asterisco et contra
book 69.5.5 obelo et asterisco notatos. L.
book 71.1 Ἴλιον αἰπύ: σημείωσαι τοῦτο ὅτι οὐδετέρως τὸ
book 71.2 Ἴλιον ἐνθάδε φησὶ μόνον. διὸ καὶ ἀθετεῖται ὁ στίχος οὗ-
book 71.3 τος. D. Verba Aristonici paullulum mutata. L.
book 79.1 βῆ δ’ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον:
book 79.2 Ζηνόδοτος βῆ δ’ ἐξ Ἰδαίων· ἀπὸ ἴσου γὰρ ἐπὶ τὸ ἴσον ἡ
book 79.3 διόδος. V. Sunt haec ex Aristarcheo fonte. Aristarchus, non
book 79.4 Zenodotus, scripsit ἔξ: v. Λ 196 et Ο 169. L. Ceterum Juno
book 79.5.1 (nam de ea sermo est) postea in Idam redit: quod non diserte
book 79.5.2 dicitur, sed ex consequenti cognoscitur: Π 431 (Ar. 356 sq.).
book h80 ὡς δ’ ὅτ’ ἂν ἀίξῃ νόος ἀνέρος—
book h83 ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη.
book 80.1 ἡ διπλῆ ὅτι τὸ θεῖον τάχος τῆς ἐπιπτήσεως τῶν
book 80.2 τόπων τῇ κατὰ διάνοιαν κινήσει ἀντιπαρέθηκεν ὑπερβολι-
book 80.3 κῶς, καὶ ὅτι τὸ παροιμιακόν, τὸ „διέπτατο δ’ ὥστε νόημα“
book 80.4 ἔκ τε τούτων καὶ τῶν κατὰ τὴν Ὀδύσσειαν (η 36) σύγκει-
book 80.5.1 ται· τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα, οὐκ ὂν
book 80.5.2 παρ’ οὐδενὶ ποιητῇ. A. An noverat scut. Herculis 222? Cf.
book 80.5.3 hymn. Apoll. 186, 448. L. Ceterum initium sic scriptum fuit:
book 80.5.4 ὅτι τὸ κατὰ διάνοιαν θεῖον τάχος τῆς ἐπιπτήσεως τῶν τό-
book 80.5.5 πων τὸ κατὰ κίνησιν ἀντιπαρέθηκεν κτλ. Corr. L.
book 86.1 πάντες ἀνήιξαν καὶ δεικανόωντο δέπασσιν:
book 86.2 Ἀρίσταρχος σημειοῦται ὅτι οὕτως μόνως γραπτέον δέπασ-
book 86.3 σιν· φησὶ γοῦν ἐν τοῖς ἑξῆς· Θέμιστι δὲ καλλιπαρῄῳ
book 86.4 δέκτο δέπας (87). ἐν ἐνίοις δὲ κάλεόν τέ μιν εἰς ἓ
book 86.5.1 ἕκαστος, οὐκ εὖ· ἰδίαν γὰρ ἔχει καθέδραν· πῶς οὖν πρὸς
book 86.5.2 ἑαυτὸν ἕκαστος καλεῖ; ἐπὶ μὲν τῆς Ἴριδος ἁρμόζει τῆς πρὸς
book 86.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ἀνέμους παραγεγονυίας (Ψ 203). ἀλλὰ μὴν οὐδ’ ἐπέεσσι γραπτέον· ἐπιδίδωσι γὰρ ἡ Θέμις αὐτῇ τὸ ποτήριον. ὁ δὲ Θρᾷξ Διονύσιος παρακεῖσθαί φησι τὸ σημεῖον ὅτι διὰ παντὸς τοὺς θεοὺς συνίστησι πίνοντας καὶ ταύτην ἀρίστην διαγωγὴν ἔχοντας, πρὸς τὸ ἐν Ὀδυσσείᾳ οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ (ι 5). —ταὐτὰ ὁ Δίδυμος τῷ Ἀριστονίκῳ (Bekk. ταῦτα ὁ Δ. ὁ Ἀ.) λέγει περὶ τῆς γραφῆς δέπασσι (nam illud de causa diples et Dionysio Thrace Didymus ut decet non tangit L.) A. Hoc totum posuimus, quia quid utrique debeatur distingui non potest.

Θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας—ὅτι πτῶσις ἤλλακται καὶ πρόθεσις παρεῖται, ἀντὶ τοῦ παρὰ Θέμιδος. A. Cf. p. 25.

οἷος ἐκείνου (Jovis) θυμὸς ὑπερφίαλος καὶ ἀπηνής: ἡ διπλῆ ὅτι τὸ ὑπερφίαλος νῦν μὲν ἐπὶ ψόγου, ὁ ὑπέρσπονδος, βέλτιον δὲ ὁ ὑπέρμετρος· ἐν ἄλλοις δὲ ἐν τάξει ἐγκωμίου· οὐκ ἀγαπᾷς ὃ ἕκηλος ὑπερφιάλοισι μεθ’ ἡμῖν (φ 289), ἀντὶ τοῦ ἀγαθοῖς. A. Ar. 148.

ὣς φάτο (Mars) καί ῥ’ ἵππους κέλετο Δεῖμόν τε Φόβον τε ζευγνύμεν—ἡ διπλῆ ὅτι ἀντὶ τοῦ Δείμῳ καὶ Φόβῳ (cf. p. 24), καὶ ὅτι ἐντεῦθεν ἡ πλάνη γέγονε τοῖς δεξαμένοις Δεῖμον καὶ Φόβον ἵππων ὀνόματα. εἰσὶ δὲ Ἄρεως υἱοί· ἐν ἄλλοις γὰρ ῥητῶς φησί, τῷ δὲ Φόβος φίλος υἱός (Ν 299). —τὸ δὲ γένος τῆς ἀμφιβολίας ἔστιν εὑρεῖν καὶ ἀλλαχῇ· τὸν δέ τ’ ἄνδρα ἑλεῖν καὶ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν (Ε 118): καὶ ἐν Ὀδυσσείᾳ (γ 24) αἰδὼς δ’ αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι, ὅπερ ἀγνοήσαντές τινες ἔγραψαν νέῳ ἀνδρί. A. Ab τὸ δὲ γένος jam non videtur Aristonici cum propter colorem: quod redit fusius ad id quod intelligentibus significaverat, ὅτι ἀντὶ τοῦ Δείμῳ καὶ Φόβῳ; tum propter lectionem, nam pro Aristarchea lectione potius valebit δὸς δέ τ’ ἔμ’ ἄνδρα ἑλεῖν propter Apollonium constr. p. 243, cui major fides habenda quam scholio obscuro A ad E 118. L. —De Martis filiis v. Ar. 181 sq.

(ἔνθα κ’ ἔτι μείζων—)χόλος καὶ μῆνις ἐτύχθη: ἡ διπλῆ ὅτι ἐκ παραλλήλου (cf. ad N 276) ὡς ἰσοδυναμοῦντα τὸν χόλον καὶ τὴν μῆνιν. A. Ar. 138.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ μὴ Ἀθήνη πᾶσι περιδδείσασα θεοῖσιν
book 124 ὦρτο διὲκ προθύρου—
book 127 —ἡ δ᾽ ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα: ἡ διπλῆ
book 127.1 ὅτι ἐξ ἐπαναλήψεως τὰ ἄρθρα λαμβάνει. ὅμοιον δέ ἐστι
book 127.2 τοῦτο τῷ αὐτὰρ Ἀθηναίη κούρη Διός, εἶτα, ἡ δὲ χι-
book 127.3 τῶν᾽ ἐνδῦσα Διός (Ε 733, 736, ubi v.). A. Villois. ἐξ ἐπα-
book 127.5 ναλήψεως recte, Bekk. ἐξ ἀναλ.
book 138.1 τῷ ς᾽ αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος
book 138.2 ἑῆος: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει υἷος ἑοῖο. τοῦτο δὲ
book 138.3 ἐν τῷ περί τινος λόγῳ τίθεται· νῦν δὲ πρὸς πρόσωπόν ἐστι,
book 138.4 καὶ δεῖ γράφειν ἑῆος. ἠγνόηκε δὲ τὴν λέξιν· ἔστι γὰρ ἑῆος
book 138.5 ἀγαθοῦ, καὶ δοτῆρες ἑάων (θ 325). A. Ar. 121.
book h146-8.1 Ζεὺς σφὼ εἰς Ἴδην κέλετ᾽ ἐλθέμεν ὅττι τάχιστα·
book h146-8.2 αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ᾽ εἰς ὦπα ἴδησθε,
book h146-8.3 ἔρδειν ὅττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.
book 147-8.1 ἀθετοῦνται ἀμφότεροι, ὅτι ἀνηθοποιητοί εἰσι·
book 147-8.2 καὶ γὰρ εἰ μὴ ἐνετείλατο ἡ Ἥρα, ὤφειλον ὑπακούειν τῷ
book 147-8.3 Διί. καὶ λόγον ἂν εἶχεν ἡ ἐντολή, εἰ κεχαρισμένον τι αὐτῇ
book 147-8.4 ἐπετέλουν καὶ μὴ ἐναντίον, ὥστ᾽ ἔδει μᾶλλον παρακαλεῖν
book 147-8.5 εἰς τὸ παριδεῖν τι τῶν ὑπὸ Διὸς προστασσομένων. A.
book 153.1 ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο: ἡ διπλῆ
book 153.2 ὅτι—Quae sequuntur non sunt Aristonici. Diple fortasse
book 153.3 pertinebat ad ἐστεφάνωτο. Eustath.: ἰστέον δὲ ὅτι σημειοῦν-
book 153.4 ται οἱ παλαιοί, ὡς Ὅμηρος τῷ ἐκ μεταφορᾶς ὁμοιώματι ση-
book 153.5.1 μαινόμενος εἰδέναι τὸν στέφανον—affert κ 195 et N 736
book 153.5.2 ubi v. —ὅμως οὐδέ τινας εἰσήγαγεν ἐστεφανωμένους. L.
book 155.1 οὐδέ σφωιν ἰδὼν ἐχολώσατο θυμῷ: ἡ διπλῆ
book 155.2 ὅτι τὸ ἐναντίον ὑπακοῦσαι δεῖ, ἀλλ᾽ ἀπεδέξατο. A. Ar. 14.
book 158.1 βάσκ᾽ ἴθι Ἶρι ταχεῖα: ἡ διπλῆ ὅτι οὐκ ἔστιν
book 158.2 ἐπίθετον τὸ ταχεῖα, ἀλλ᾽ ἀντὶ τοῦ ταχέως. A. Cf. p. 29.
book 161.1 ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν: ἡ
book 161.2 διπλῆ ὅτι ἀφ᾽ ἑαυτοῦ ὁ Ζεὺς τὴν θάλασσαν δῖαν εἴρηκεν.
book 161.3 A. Cf. ad v. 15.
book h165-7.1 ἐπεί ἑό φημι βίῃ πολὺ φέρτερος εἶναι
book h165-7.2 καὶ γενεῇ πρότερος. τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
book h165-7.3 ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
book 166.1 ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται,
book 166.2 ὅτι τοὺς ὕστερον (182) λεγομένους ὑπὸ τῆς Ἴριδος δι᾽ ἐπιεί-
book 166.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κειαν ἐνθάδε τις μετενήνοχεν· ἀναρμόστως γὰρ ὁ Ζεύς, ὥσπερ δεδοικὼς καὶ συλλυθῆναι βουλόμενος, εἰξάτω μοι, φησί, καθόσον εἰμὶ προγενέστερος· τὰ γὰρ τοιαῦτα τῶν δεομένων· καί μοι ὑποστήτω ὅσον βασιλεύτερός εἰμι ἠδ’ ὅσον γενεῇ προγενέστερος. (I 160). A. Cf. ad 204.

βῆ δὲ κατ’ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἐξ Ἰδαίων. ἁρμόζει δὲ μᾶλλον κατ’ Ἰδαίων· κατάβασιν γὰρ δηλοῖ (Cf. ad Λ 196). A.

ὡς δ’ ὅτ’ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα: ὅτι διέσταλκε νιφάδα καὶ χάλαζαν. A. Cf. ad K 6.

ἶσόν οἱ φάσθαι τόν τε στυγέουσι καὶ ἄλλοι: ἡ διπλῆ ὅτι τὸ στυγέουσιν ἀπὸ μιᾶς ἀρχῆς ἐν διαφορᾷ μετάγεται, νῦν μὲν δεδίασιν, ὅταν δὲ εἴπῃ σμερδαλέ’ εὐρώεντα, τά τε στυγέουσι θεοί περ (Υ 65) ἀντὶ τοῦ μισοῦσιν· κατὰ δ’ ἔστυγε μῦθον ἀκούσας (Ρ 694) καπεστύγνασεν [ἀπὸ τῆς κατὰ τὸ πρόσωπον στυγνότητος]. οἱ δὲ ἀστερίσκοι ὅτι ἐντεῦθεν μετάκεινται ἄνω (166) οὐχ ὑγιῶς. A. ἐν διαφορᾷ μετάγεται est diversis rationibus flectitur in varias significationes. Erunt fortasse qui malint ἐς διαφοράν sc. σημασίας. Verba ἀπὸ τῆς—στυγνότητος aliena sunt. L.

τριχθὰ δὲ πάντα δέδασται: ὅτι τὸ πάντα κατὰ παρολκήν, ὡς οἱ δ’ ἐννέα πάντες ἀνέσταν (Η 161). A. Cf. ad Σ 373 Ω 232.

Ζεὺς δ’ ἔλαχ’ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.

γαῖα δ’ ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

εὐρύν: ἡ διπλῆ ὅτι Ζηνόδοτος αἰπύν. τοῦτο δὲ ὄρεος ἐπίθετον. A. Ar. 168 not.

ἡ διπλῆ ὅτι συναφὴς τῇ γῇ ὁ Ὄλυμπος, ὢς ἂν ὄρος (cf. ad Υ 58). τὸ δὲ ὅμοιον πεποίηκε καὶ ἐν Ὀδυσσείᾳ· ναιετάω δ’ Ἰθάκην εὐδείελον· ἐν δ’ ὄρος αὐτῇ (ι 21): κεχώρικε γὰρ τὸ ὄρος τῆς Ἰθάκης, οὐχ ὡς μὴ ὂν ἐπ’ αὐτῆς, καθάπερ καὶ τὸν Ὄλυμπον ἐπίγειον ὄντα τῆς γῆς· εἰ γὰρ ὁ αὐτὸς τῷ οὐρανῷ ἢ μέρος ἐπουράνιον, οὐκ ἂν κοινὸς ἀλλ’ ἴδιος τοῦ Διός. AB. Ar. 169.

οἶσθ’ ὡς πρεσβυτέροισιν ἐρινύες αἰὲν ἕπονται: ἡ διπλῆ ὅτι τοῦτο παρ’ ἑαυτῆς προσέθηκεν ἡ Ἶρις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ ἐν τοῖς ἐπάνω οὖν οὐχ ὑπὸ τοῦ Διὸς εἴρηται καὶ γενεῇ πρότερος (166). A.

ἄλλο δέ τοι ἐρέω καὶ ἀπειλήσω τό γε θυμῷ.
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ’ ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἴστω τοῦθ’, ὅτι νῶιν ἀνήκεστος χόλος ἔσται.

ἀπὸ τούτου ἕως τοῦ ἴστω τοῦθ’ ὅθι νῶιν (217) ἀθετοῦνται στίχοι ἕξ, ὅτι εὐτελῆ τὰ κατὰ τὴν σύνθεσιν καὶ τὰ κατὰ τὴν διάνοιαν. προειπὼν γὰρ νεμεσσηθεὶς ὑποείξω οἱονεὶ μεταμεληθεὶς ἐπιφέρει ἀπειλήσω. ὅ τε Ποσειδῶν ἐπίσταται ὅτι οὐκ εἰς τέλος φείσεται τῆς πόλεως, ἀλλ’ ὅσον μόνον ἕνεκα τοῦ τιμῆσαι τὸν Ἀχιλλέα ἐπαμύνει τοῖς Τρωσίν. τά τε τῶν θεῶν ὀνόματα μετενήνοχέ τις ἀπὸ τῆς θεομαχίας (Υ 33—36), συναθροίσας τῶν ἐναντιουμένων τοῖς βαρβάροις θεοῖς, οὐκέτι ἐπιστήσας ὡς οὔτε τῷ Ἑρμῇ οὔτε τῷ Ἡφαίστῳ ἔμελεν ἰδίᾳ τὰ τῆς πορθήσεως, ἀλλ’ ἕνεκα τῆς ἀντικαταστάσεως μόνον παρείληφεν αὐτούς. A.

οἵπερ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες: ὅτι Ζηνόδοτος γράφει οἵπερ νέρτατοι. πρὸς οὐδὲν δὲ τὸ ὑπερθετικὸν μετάκειται· τούτων γὰρ τῶν κατωτέρων κατώτερος οὐδείς ἐστιν. ἐνερτέρους δὲ καλεῖ καὶ οὐρανίωνας καὶ ὑποταρταρίους καὶ Τιτᾶνας τοὺς περὶ Κρόνον θεούς. A. τούτων γὰρ τῶν κατωτέρων scripsi pro eo quod erat: τοῦ γὰρ κατωτέρου. Ceterum etiam dii superi Οὐρανίωνες audiunt P 195. —Cf. Ar. 176. 191 et Add.

ἀλλὰ σύ γ’ ἐν χείρεσσι λάβ’ αἰγίδα θυσσανόεσσαν· ὅτι τοῦ Διὸς ἡ αἰγὶς ὅπλον· Ἀπόλλωνι γοῦν δίδωσιν. A. Ar. 192.

τὴν μάλ’ ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς.
σοὶ δ’ αὐτῷ μελέτω ἑκατηβόλε φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, τόφρ’ ἂν Ἀχαιοί
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ’ αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
ὥς κε καὶ αὖθις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.

ἥρωας καλεῖ, καὶ οὐ μόνον τοὺς βασιλέας, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἴστρος. A. Ar. 108.
book 231 ἀπὸ τούτου ἕως τοῦ (235) ὥς κε καὶ αὖτις
book 231.1 Ἀχαιοί ἀθετοῦνται στίχοι πέντε, ὅτι ἄκαιροι οἱ λόγοι, ἐπὶ
book 231.2 τοσοῦτον ἔγειρε τὸν Ἕκτορα ἕως ἐπὶ τὰς ναῦς φύγωσι· μετὰ
book 231.3 δὲ ταῦτα ἐγὼ βουλεύσομαι ὡς δεῖ τοὺς φεύγοντας ἀναπνεῦ-
book 231.5.1 σαι. καὶ ἄκαιρος ἡ πρόρρησις καὶ οὐ κεχαρισμένη τῷ Ἀπόλ-
book 231.5.2 λωνι. καὶ παρὰ Ἀριστοφάνει ἠθετοῦντο. A.
book 241.1 νέον δ’ ἐσαγείρετο θυμόν,
book 241.2 ἀμφὶ ἓ γινώσκων ἑτάρους: ἡ διπλῆ ὅτι τὸ
book 241.3 γινώσκων ἴσον ἐστὶ τῷ ἀναλεγόμενος καὶ ἀναμιμνησκόμενος
book 241.4 τῆς ἑκάστου ὄψεως, οὐκ ἐκ προχείρου γινώσκων, ἀλλ’ οἷον
book 241.5 ἀναγνωρίζων. A.
book 252.1 ἐπεὶ φίλον ἄιον ἦτορ: ἡ διπλῆ ὅτι ἄιον ἀντὶ
book 252.2 τοῦ ἐπῃσθόμην, τοῦτο δέ ἐστι, τῆς ψυχῆς μου ἥψατο. καὶ
book 252.3 ἐν ἄλλοις (Λ 532) τοὶ δὲ πληγῆς ἀίοντες, ἐπαισθόμενοι
book 252.4 τῆς πληγῆς· τῷ εἴδει τὸ γένος. A. Ar. 150.
book 259.1 νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας
book 259.2 ἵππους: δοτικὴ ἀντὶ αἰτιατικῆς, ὡς τὸ ἐπ’ ἄνθεσιν εἰα-
book 259.3 ρινοῖσιν (B 89). L. Cf. p. 23.
book h263-9.1 ὡς δ’ ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ
book h263-9.2 δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
book h263-9.3 εἰωθὼς λούεσθαι ἐυρρεῖος ποταμοῖο,
book h263-9.4 κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
book h263-9.5.1 ὤμοις ἀίσσονται· ὁ δ’ ἀγλαΐηφι πεποιθώς,
book h263-9.5.2 ῥίμφα ἑ γοῦνα φέρει μετά τ’ ἤθεα καὶ νομὸν
book h263-9.5.3 ἵππων·
book h263-9.5.4 ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ’ ἐνώμα.
book 265.1 ἀπὸ τούτου ἕως τοῦ ῥίμφα ἑ γοῦνα φέρει
book 265.2 (268) ἀθετοῦνται στίχοι δ’, καὶ ἀστερίσκοι παράκεινται, ὅτι
book 265.3 οἰκειότερον ἐπ’ Ἀλεξάνδρου (Z 508): καὶ τὸ τῆς καλλονῆς
book 265.4 καὶ τὸ τῆς ὅλης μορφῆς καὶ τὸ τῆς στάσεως τοῦ ἵππου πρὸς
book 265.5.1 τὸν ἐν θαλάμῳ διατετριφότα ἀντιπαράκειται, ἥ τε κατὰ τὴν
book 265.5.2 αἰφνίδιον ἐξόρμησιν ὁμοιότης. καὶ τὸ κυδιόων, ὑψοῦ δὲ
book 265.5.3 κάρη ἔχει (266) ἐφ’ Ἕκτορος τοῦ ἀρτίως ἑαυτὸν ἀνιστῶν-
book 265.5.4 τος ἐκ τῆς λιποθυμίας οὐχ ἁρμόζει. τοὺς μέντοι προκειμέ-
book 265.5.5 νους τῶν ἠθετημένων δύο στίχους δεῖ μένειν, πρὸς οὓς καὶ
book 265.10 ἡ ἀνταπόδοσις γίνεται. A.
book 288.1 ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου—:
book 288.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τὸ θήν ἀντὶ τοῦ ὄντως που. A.? Diple est ad textum.
book 293 οὐ γὰρ ἄτερ γε
book 293.1 Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται (Hector)
book 293.2 ὧδε μενοινῶν: ὅτι πρόμος σαφῶς ὁ πρόμαχος. A.
book 293.3 Ar. 109.
book 305.1 ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο: ἡ
book 305.2 διπλῆ πρὸς τὸ σχῆμα ὅτι πληθυντικῶς ἀπήντηκεν. A. Cf. p. 16.
book 310.1 (αἰγίδα) Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς
book 310.2 φόβον ἀνδρῶν: ἡ διπλῆ ὅτι σαφῶς Διὶ ἐσκεύασται ἡ αἰ-
book 310.3 γίς, καὶ οὐκ ἔστιν Ἀθηνᾶς, καθὼς οἱ νεώτεροι ποιηταὶ λέ-
book 310.4 γουσιν. A. Ar. 192.
book 316.1 πάρος χρόα λευκὸν ἐπαυρεῖν: ἡ διπλῆ ὅτι
book 316.2 ἀντὶ τοῦ χροὸς λευκοῦ. A. Cf. p. 21.
book 330.1 Ἕκτωρ μὲν Στιχίον καὶ Ἀρκεσίλαον ἔπεφνεν,
book 330.2 τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων: ἡ διπλῆ
book 330.3 ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν· ὁ γὰρ Ἀρκεσί-
book 330.4 λαός ἐστι Βοιωτός. A. Ar. 13.
book 333.1 Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν.
book 333.2 ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο
book 333.3 ἔσκε Μέδων: ἡ διπλῆ, ὅτι τὸ Ὀιλεύς σὺν τῷ ο, καὶ
book 333.4 ὅτι πρὸς τὸ πρότερον ἀπήντηκε παρὰ τὸ ἔθος, καὶ ἐξ ὀνό-
book 333.5 ματος ἐπανέλαβεν. A. Ar. 180.
book 336.1 γνωτὸν μητρυιῆς Ἐριώπιδος: ἡ διπλῆ ὅτι
book 336.2 γνωτὸς ὁ ἀδελφός (Ar. 152), καὶ Ἐρίωπις ὄνομα κύριον. A.
book 347.1 Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
book 347.2 „νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ’ ἔναρα βροτόεντα:
book 347.3 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐπισσεύεσθον. συγχεῖται
book 347.4 δὲ τὸ δυικὸν κατὰ πλειόνων τασσόμενον. A. Cf. p. 15 not.
book h349-51.1 οὐδέ νυ τόν γε
book h349-51.2 γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
book h349-51.3 ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
book 350.1 λελάχωσι: ἀντὶ τοῦ λαχεῖν ποιήσωσιν. ABV. V
book 350.2 ad E 37 Θ 328 K 343.
book 351.1 ἡ διπλῆ ὅτι ἐνεστῶτι ἀντὶ μέλλοντος κέχρηται,
book 351.2 ἐρύουσιν ἀντὶ τοῦ ἐρύσουσιν. AB. Cf. p. 6.
book 356.1 προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
book 356.2 ῥεῖ’ ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων:
book 356.3 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει χερσίν. εὐλογώτερον δὲ μὴ
book 356.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατακύπτειν τὸν θεόν, ἀλλὰ τοῖς ποσὶ συγχεῖν. A.

μηδ’ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς: ἡ διπλῆ ὅτι πτῶσις ἤλλακται καὶ πρόθεσις παρεῖται ἀντὶ τοῦ ὑπὸ Τρώων. A. Cf. p. 24.

ὣς ἔφατ’ εὐχόμενος, μέγα δ’ ἔκτυπε μητίετα Ζεύς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει μέγα δ’ ἔκλυε. οὐχ ὑπήκουσε δὲ αὐτοῖς ὥστε πεισθῆναι, ἀλλὰ κατ’ αὐτῶν ἐγένετο—A. Excidit ut videtur ἡ βροντή vel τὸ τέρας.

ἵππους δ’ εἰσελάσαντες, ἐπὶ πρύμνῃσι μάχοντο
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἱ μὲν ἀφ’ ἵππων,
οἱ δ’ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες.

ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς μάχης ὅτι οἱ μὲν ἐπιβεβηκότες ταῖς πρύμναις τῶν νεῶν, οἱ δὲ ἀποστρέψαντες τὰ ἅρματα ἐπὶ τῶν δίφρων, ἵν’ ᾖ ἀπ’ ἴσου (v. ad 449). A.

ἧστό τε καὶ τὸν ἔτερπε λόγοις: ἅπαξ ἐνταῦθα ἐν τῇ Ἰλιάδι τὸ λόγοις. A. Sine dubio addiderat: καὶ ἅπαξ ἐν τῇ Ὀδυσσείᾳ (α 56).

τίς δ’ οἶδ’ εἰ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω: ἡ διπλῆ ὅτι οὕτως εἴρηκεν, αὐτῷ τὸν θυμὸν ὀρίνω, ἀντὶ τοῦ εἰ αὐτοῦ τὸν θυμὸν ὀρίναιμι. A. παρέλκει δὲ ὁ κέν. V. Cf. p. 12 et de dativo pro genitivo p. 22.

τὸν μὲν ἄρ’ ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοί
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδ’ ἐδύναντο
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν.

ἡ διπλῆ ὅτι οἱ πόδες αὐτὸν ἔφερον, οὐκ αὐτὸς τοὺς πόδας. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον γράφοντα (Z 511) ῥίμφ’ ἑὰ γοῦνα φέρει. A.

ἡ διπλῆ ὅτι σαφῶς οἱ Τρῶες ἐλάττονες συνίστανται τῶν Ἑλλήνων, καὶ τῶν ἐπικούρων ἐξεληλυθότων. A.

ἄλλοι δ’ ἀμφ’ ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν: ἡ διπλῆ ὅτι ἐκ τούτου διεσκεύασται (Ar. 351) ὁ τῆς τειχομαχίας στίχος (M 175) ἄλλοι δ’ ἀμφ’ ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν. A. Ar. 130 not.

τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον—Et hinc et ex v. 494 apparet, tenebris oculos pugnantium nequaquam

Eulogikon public reading copy · View original HTML at eulogikon.org

offusos esse: unde ii versus reiciendi (vss. 668 sqq.) quibus
book 416 Minerva dicitur caliginem removere.
book 419.1 ἔνθ’ υἷα Κλυτίοιο Καλήτορα φαίδιμος
book 419.2 Αἴας: ἡ διπλῆ ὅτι οὗτος ὁ Κλυτίος ἐστὶν ἀδελφὸς Πριά-
book 419.3 μου· Λαομέδων δ’ ἄρα Τιθωνὸν τέκετο Πρίαμον
book 419.4 Λάμπον τε Κλυτίον τε (Υ 238). A.
book 428.1 νεῶν ἐν ἀγῶνι πεσόντα: ἡ διπλῆ ὅτι ἀγῶνι τῷ
book 428.2 ἀθροίσματι τῶν νεῶν, ὅ ἐστι τῷ ναυστάθμῳ (Ar. 152). A.
book 432.1 ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν: ἡ
book 432.2 διπλῆ ὅτι ἐλλείπει ἡ ἔν (cf. p. 25): ἔστι γὰρ ἐν Κυθήροις.
book 432.3 καὶ ὅτι ἀπόδειξις τοῦ συνεσταλμένως ἐκφέρειν τὸ κατέκτα·
book 432.4 καὶ ἐν Ὀδυσσείᾳ (λ 409) ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ. A.
book h437-9.1 Τεῦκρε πέπον, δὴ νῶιν ἀπέκτατο πιστὸς ἑταῖρος
book h437-9.2 Μαστορίδης, ὃν νῶι Κυθηρόθεν ἔνδον ἐόντα
book h437-9.3 ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισιν.
book 437-8.1 ἡ διπλῆ ὅτι παραλλήλως καὶ διδασκαλικῶς ἡ
book 437-8.2 διαφορὰ τοῦ νῶιν καὶ νῶι. A. Cf. ad N 276.
book 439.1 τοκεῦσιν: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος
book 439.2 γράφει τέκεσσιν, οὐχ ἁρμόζει δὲ τοὺς περὶ τὸν Αἴαντα
book 439.3 νέους ὄντας λέγειν τέκεσσιν· πρὶν γὰρ παιδοποιῆσαι (cod.
book 439.4 παιδοποιήσουσιν) ἐστρατεύσαντο. A.
book 441.1 τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων: ἡ διπλῆ
book 441.2 ὅτι τόξον λέγει οὐ τὸ σκεῦος τὸ πολεμικόν, ἀλλὰ τὴν τοξι-
book 441.3 κὴν τέχνην. A. Cf. ad B 827 Δ 110.
book h445 καί ῥ’ ἔβαλε Κλεῖτον Πεισήνορος ἀγλαὸν υἱόν,
book h448-51.1 τῇ γὰρ ἔχ’ ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φά-
book h448-51.2 λαγγες,
book h448-51.3 Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ’ αὐτῷ
book h448-51.4 ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
book h448-51.5 αὐχένι γὰρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός.
book 449-51.1 ἀθετοῦνται στίχοι γʹ, καὶ ἀστερίσκοι παρά-
book 449-51.2 κεινται, ὅτι ἐπὶ Ἱπποθόου τοῦ ἐπικούρου ἁρμόζει ἐν τῇ
book 449-51.3 Ρ (291) Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος, ἐπὶ δὲ τού-
book 449-51.4 του καθάπερ νῦν, οὐχ ἁρμόζει· οὐ γὰρ Ἕκτορι χαριζόμε-
book 449-51.5.1 νος ἀλλ’ ἑαυτῷ καὶ πατρί. καὶ τὰ τῆς πληγῆς ἀνακόλουθα·
book 449-51.5.2 πῶς γὰρ ὁ ἀντίον ἡνιοχῶν ἐπὶ τὰ ὄπισθε κατὰ τὸν αὐχένα
book 449-51.5.3 τύπτεται; —ὕστερον δὲ (ἐν τοῖς περὶ τοῦ ναυστάθμου)
book 449-51.5.4 ἀπολογεῖται (sc. Aristarchus): τὸν γὰρ ἡνίοχόν φησιν (cod.
book 449-51.5.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασιν) ἀπεστράφθαι πρὸς τὸ πεδίον καὶ τοὺς ἵππους, τὸν δὲ παραιβάτην πρὸς τὰς ναῦς ἐπὶ τοῦ δίφρου, ἵνα ἀπὸ τοῦ ἴσου γένηται ἡ μάχη (v. ad 385). ἔστι δὲ καὶ ἀλλαγὴν πτώσεως νοῆσαι, ἀντὶ τοῦ αὐχένος ὄπισθεν (cf. p. 23). A. Ceterum duobus prioribus tantum (449, 450) recte appositi sunt asterisci, nam hi repetuntur P 291, 292, tertius non.

Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα: ἡ διπλῆ ὅτι ἐνήλλακται ἡ πτῶσις, Τεῦκρον ἀντὶ τοῦ Τεύκρου. A. Cf. p. 21.

ὅς οἱ ἐυστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ ῥῆξ’ ἐπὶ τῷ ἐρύοντι: ὅτι πτώσεως γέγονεν ἐναλλαγή, δοτικὴ ἀντὶ γενικῆς, ἐρύοντι ἀντὶ τοῦ ἐρύοντος τὴν νευρὰν ἐπὶ τούτῳ. A. Cf. p. 22 et de τῷ pro τούτῳ p. 30.

νευρὴν δ’ ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα πρώιον, ὄφρ’ ἀνέχοιτο θαμὰ θρώσκοντας ὀιστούς: ὅτι Ζηνόδοτος γράφει πρῴην· ἔμφασις δὲ γίνεται πλείονος χρόνου. τὸ δὲ πρώιόν ἐστι πρωίας· καὶ γὰρ γέγονεν οὕτως· τῇ πρὸ ταύτης ἡμέρᾳ ῥῆξε δέ οἱ νευρήν, νάρκησε δέ (Θ 328, ubi v.) ὥστε εὔλογον τῇ ἑξῆς ἐκείνης πρωίας (i. e. mane) ἐνῆφθαι. A. Ceterum Aristonicus l. l. citabat νεοστρεφέα. Et. M. 692, 23: νευρὴν δ’ ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα πρώιον ἀντὶ τοῦ ἕωθεν, ὄρθρου· ἢ πρόσφατον, νεωστὶ ἐστραμμένην, καινήν. L.

μὴ μὰν ἀσπουδί γε, δαμασσάμενοί περ, ἕλοιεν νῆας ἐυσσέλμους—ἡ διπλῆ ὅτι ἀσπουδί χωρὶς κακοπαθείας. A. Ar. 122.

αὐτὰρ ὅ γ’ ἀμφ’ ὤμοισι σάκος θέτο τετραθέλυμνον, κρατὶ δ’ ἐπ’ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν: ἡ διπλῆ ὅτι πρότερον τὴν ἀσπίδα εἴληφεν, εἶτα τὴν περικεφαλαίαν· ὁ δὲ Ζηνόδοτος ἐνήλλαχεν ἐπὶ τῆς Ἀλεξάνδρου μονομαχίας (Γ 334). καὶ ὅτι οὐκ εἶχον κόρυθας οἱ τοξόται. καὶ ἐπὶ τῶν Λοκρῶν οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας (Ν 714). A. Ar. 194 sq.

ἀλλὰ μάχεσθ’ ἐπὶ νηυσὶν ἀολλέες. Cf. ad v. 416. Et dixit de ἐπί pro παρά posito: Χ 97.

βλήμενος ἠὲ τυπείς: ἡ διπλῆ ὅτι διαστέλλει τὸ βαλεῖν καὶ τύψαι. AB. Ar. 62.

book 505

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ ἔλπεσθ’, ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
book 505.1 ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος: ἡ
book 505.2 διπλῆ ὅτι ἤτοι ἠθικῶς λέγει ἐλπίζετε ἐμβήσεσθαι ἐπὶ τὰς
book 505.3 καησομένας ναῦς, ἢ καὶ ἐλπίζετε ἐμβάντες ἐπὶ τὴν θάλασ-
book 505.5.1 σαν ἀφίξεσθαι ἐπὶ τὰς πατρίδας, ὅ ἐστι βάδην ἐπὶ τῆς θα-
book 505.5.2 λάσσης πορευόμενοι. A.
book h511-3.1 βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι
book h511-3.2 ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηιοτῆτι
book h511-3.3 ὧδ’ αὔτως παρὰ νηυσὶν ὑπ’ ἀνδράσι χειροτέ-
book h511-3.4 ροισιν.
book 511.1 ἡ διπλῆ ὅτι οὐκ ἐκληπτέον τρεῖς διαστολάς, ἀλλὰ
book 511.2 τὸ ἐκ τοῦ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι περὶ ἓν μέ-
book 511.3 ρος, πρὸς ἕτερον δὲ τὸ ἢ δηθὰ στρεύγεσθαι. ὁ γὰρ λό-
book 511.4 γος, βέλτιον καθ’ ἕνα χρόνον συντόμως ἀπολέσθαι ἢ πολὺν
book 511.5.1 χρόνον φθείρεσθαι· τὸ γὰρ στρεύγεσθαί ἐστι στραγγίζεσθαι
book 511.5.2 κατ’ ὀλίγον ἐκλείποντας. A. Ita hoc restituit Lehrs. Herodian.
book 511.5.3 p. 458. In cod. sic est: ἡ διπλῆ—διαστολάς, ἀλλ’ ἐκ τοῦ
book 511.5.4 ἢ αὐτοσχεδίῃ, βέλτερον ἢ ἀπολέσθαι καθ’ ἕνα χρόνον περὶ
book 511.5.5 ἓν μέρος, πρότερον δὲ τὸ ἠὲ βιῶναι. ὁ γὰρ λόγος κτλ.
book 513.1 ἡ διπλῆ ὅτι τὸ ὧδ’ ἀντὶ τοῦ οὕτως. A. οὐ τοπι-
book 513.2 κῶς. V. Ar. 84.
book 515.1 ἔνθ’ Ἕκτωρ μὲν ἕλε Σχεδίον Περιμήδεος υἱόν,
book 515.2 ἀρχὸν Φωκήων—ἡ διπλῆ ὅτι οὗτός ἐστι Σχε-
book 515.3 δίος ὁμώνυμος τῷ ἐν καταλόγῳ (B 518): καὶ ἀμφότεροι ὑφ’
book 515.4 Ἕκτορος ἀνῄρηνται· ἀλλ’ ἐκεῖνος μὲν Ἰφίτου πατρός· οὗτος
book 515.5 δὲ Περιμήδους. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ Πυλαιμένους. A.
book h518-9.1 Πουλυδάμας δ’ Ὦτον Κυλλήνιον ἐξενάριξεν,
book h518-9.2 Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
book 518.1 ἡ διπλῆ ὅτι οὐκ ἀπὸ Κυλλήνης τοῦ ἐν Ἀρκαδίᾳ
book 518.2 ὄρους, ἀλλ’ ἐπίνειόν ἐστιν Ἠλείων Κυλλήνη. οὗτοι δέ εἰσιν
book 518.3 Ἐπειοί. A. cod. Ἠλεῖοι. Emend. L. Ar. 235.
book 525.1 —Δόλοψ—
book 525.2 Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατος
book 525.3 ἀνδρῶν,
book 525.4 Λαομεδοντιάδης—ἡ διπλῆ ὅτι οὗτος Τρωι-
book 525.5.1 κὸς Δόλοψ, Λάμπου υἱὸς τοῦ ἀδελφοῦ Πριάμου, ὁμώνυμος
book 525.5.2 τῷ ἐν τῇ Λ (302) Δόλοπι· καὶ Δόλοπα Κλυτίδην καὶ
book 525.5.3 Ὀφέλτιον. A.
book h529-31

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
book h529-31.1 τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεύς
book h529-31.2 ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἀπὸ Σελλήεντος—
book h534 ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκες' ὄλεθρον.
book 530.1 ἡ διπλῆ ὅτι τὰ κύτη καὶ τὰ κοιλώματα τοῦ θώ-
book 530.2 ρακος γύαλα, οὐχ ὡρισμένος τόπος. A. Ar. 114.
book 531.1 ἡ διπλῆ ὅτι τῆς Θεσπρωτιακῆς Ἐφύρας λέγει, οὐκ
book 531.2 ἐκ τῆς Κορίνθου. δῆλον δὲ ἐκ τοῦ Σελλήεντος, ἀφ' οὗ καὶ
book 531.3 Σελλοὶ οἱ περίοικοι. καὶ ὅτι ἕτερός ἐστι Σελλήεις ποταμός
book 531.4 (B 839). A. Ar. 239.
book 534.1 περιττὸς ὁ στίχος· ἤδη γὰρ εἶπεν ἀνωτέρω (529)
book 534.2 πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ. V.?
book 538.1 (λόφος) νέον φοίνικι φαεινός: ἡ διπλῆ ὅτι τὸ
book 538.2 σημαινόμενόν ἐστι νεωστὶ πεφοινιγμένος. A. Ar. 153.
book h544-5.1 τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
book h544-5.2 συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσεν.
book 544.1 ἐεισάσθην: ἡ διπλῆ ὅτι ἀμφίβολόν ἐστι πότερον
book 544.2 ἐφώρμησαν, ἀπὸ τοῦ ἰέναι, ἢ ἔδοξαν, φαντασίαν ἔλαβον τοῦ
book 544.3 συλῆσαι τὸν νεκρόν. A. Ar. 150.
book 545.1 ἡ διπλῆ ὅτι κασίγνητοι κοινότερον οἱ συγγενεῖς.
book 545.2 AD. V. Ω 47 et Ar. 152.
book 558 Ἴλιον αἰπεινήν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 571.1 εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βά-
book 571.2 λοισθα: ὅτι τὸ βαλεῖν προέμενόν ἐστιν ἐπιτυχεῖν. A. Ar. 73.
book 582.1 ὣς ἐπὶ σοὶ Μελάνιππε θόρ' Ἀντίλοχος με-
book 582.2 νεχάρμης: ἡ διπλῆ πρὸς τὴν ἀποστροφήν. A. Cf. p. 16.
book h587-8.1 (θηρί) ὅς τε κύνα κτείνας ἢ βούκολον ἀμφὶ βόεσσιν
book h587-8.2 φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν.
book 587.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἀμφί οἱ αὐτῷ.
book 587.2 γίνεται δὲ τὸ ὑπερβατὸν οὐ καθ' Ὅμηρον, ὅστε κύνα κτεί-
book 587.3 νας ἢ βούκολον φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀν-
book 587.4 δρῶν ἀμφί οἱ αὐτῷ. A.
book 601.1 ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
book 601.2 θησέμεναι Τρώων—ἡ διπλῆ ὅτι ὑγιῶς παλί-
book 601.3 ωξιν, πάλιν δίωξιν, ὅταν ἐξ ὑποστροφῆς διώκωσιν οἱ διω-
book 601.4 κόμενοι. καὶ πρὸς τὸ ἔμελλεν ὅτι ἀντὶ τοῦ ἐῴκει (Ar. 125). A.
book 603 V. ad 610.
book 609 (ἀμφὶ) κροτάφοισι τινάσσετο μαινομένοιο. Sic
book 609

Eulogikon public reading copy · View original HTML at eulogikon.org

scribendum esse, non μαρναμένοιο: Φ 5.

Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ’ αἰθέρος ἦλθεν
ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ’ ἀνδράσι μοῦνον
ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ’· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφιν.

ἀθετοῦνται στίχοι ε′· ἐπιστάμεθα γὰρ ὅτι περὶ Ἕκτορός ἐστιν ὁ λόγος. καὶ τὴν ἔνθουν ὁρμὴν τοῦ Ἕκτορος ταῦτα παρενειρμένα ἐκλύει· συναπτόμενα γοῦν τὰ γνήσια τὴν δεινότητα σώζει. καὶ κυκλικῶς ταυτολογεῖται· προείρηται γὰρ τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν Ἕκτορα Πριαμίδην (603)· πρὸς τί οὖν παλιλλογεῖται Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ’ αἰθέρος ἦλθεν ἀμύντωρ. A. κυκλικῶς est negligenter. Eodem sensu, quo καταχρηστικῶς, usurpavit ad Z 325. Quod etiam luculentius apparet collatis adnn. ad I 222 et Ω 628, quae spectant ad eundem versum utroque loco abusive positum. Illic dixit κυκλικώτερον κατακέχρηται τῷ στίχῳ, hic nihil nisi κατακέχρηται τῷ στίχῳ. Idem significat in sch. ad η 115. Sed in sch. Q ad δ 248 pro οὐ κυκλικῶς τὸ δέκτῃ ὀνομαστικῶς δ’ ἀκούει scribendum ὁ κυκλικός τὸ δέκτῃ ὀνόματικῶς ἀκούει, ut rectissime Eustathius. Errat enim Prellerus (ad Polemon. 17), quem sequuntur editores Stephani Paris. —Ceterum apud Eustathium κυκλικὸν σχῆμα vel κύκλου σχῆμα vel oratio κυκλικῶς conformata ea est, quae eodem verbo terminatur a quo exorsa est. V. Eustathium ad B 149 H 132 Θ 248 (unde hausit Lips.) I 388 K 466 cett.

κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν· (πέτραν)
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδ’ ἐφέβοντο.

ἡ διπλῆ ὅτι ἔν τισι γράφεται ἐξ ἁλός, ὣς Δαναοί. αἵρεται δὲ τὸ κινοῦν τὴν ἔμφασιν τῆς ἐμμόνου στάσεως· μένον γὰρ ἔμπεδόν φησιν, ὡς πέτρα ἐναρηρυῖα τῷ πεδίῳ. A.

ἡ δέ τε πᾶσα (navis)
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη
ἱστίῳ ἐμβρέμεται.

ἡ διπλῆ ὅτι Ζηνόδοτος χωρὶς τοῦ ι ἄχνη. A.
book 626.2 ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ’ οὐ δεινή, ὡς κλυ-
book 626.3 τὸς Ἱπποδάμεια (B 742). ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι
book 626.4 δεινὸς ἀήτης. A. Cf. p. 31.
book 640.1 ὃς Εὐρυσθῆος ἄνακτος
book 640.2 ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ: ἡ διπλῆ
book 640.3 περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀγγελίην: γίνεται
book 640.4 δὲ τὸ οἴχνεσκε κρεμάμενον. καὶ νῦν δὲ ἀγγελίης ἀντὶ τοῦ
book 640.5 ἄγγελος. A. Cf. ad Γ 206.
book 646.1 (ἀσπίδος) τὴν αὐτὸς φορέεσκε ποδηνεκέ’, ἕρ-
book 646.2 κος ἀκόντων: ἡ διπλῆ ὅτι ἀνδρομήκεις αἱ ἀσπίδες. A.
book 646.3 Ar. 194.
book 651.1 ἀχνύμενοί περ ἑταίρου: ἡ διπλῆ ὅτι ἐλλείπει
book 651.2 ἡ περί, περὶ ἑταίρου (cf. p. 26). Fortasse etiam sequentia
book 651.3 Aristonici sunt: Ἑλλάνικος δὲ Αἰολικῶς νομίζει τὴν περί πέρ
book 651.4 εἰρῆσθαι. A.
book 655.1 Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
book 655.2 τῶν πρώτεων. Apparet plures navium ordines fuisse, non
book 655.3 duos: Ξ 31.
book 665.1 τῶν ὕπερ ἐνθάδ’ ἐγὼ γουνάζομαι οὐ παρεόντων
book 665.2 ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβον δέ:
book 665.3 ἡ διπλῆ πρὸς τὸ ἀκατάλληλον τῆς φράσεως· ἔδει γάρ, μὴ
book 665.4 τρωπᾶσθαι (cod. τρωπᾶσθε) δέ. καὶ ὅτι φόβον δέ εἰς φυγήν
book 665.5 (Ar. 89). A.
book h668-73.1 τοῖσι δ’ ἀπ’ ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
book h668-73.2 θεσπέσιον· μάλα δέ σφι φόως γένετ’ ἀμφοτέ-
book h668-73.3 ρωθεν,
book h668-73.4 ἠμὲν πρὸς νηῶν καὶ ὁμοιίου πολέμοιο.
book h668-73.5.1 Ἕκτορα δὲ φράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
book h668-73.5.2 ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ’ ἐμάχοντο,
book h668-73.5.3 ἠδ’ ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
book 668.1 ἀπὸ τούτου ἕως τοῦ ἠδ’ ὅσσοι παρὰ νηυσίν
book 668.2 (673) ἀθετοῦνται στίχοι ϛ′, ὅτι οὐ προσυνίσταται ἀχλύς, ἀλλὰ
book 668.3 συνεχῶς μάχονται. νῦν δέ φησιν Ἕκτορα δὲ φράσσαντο
book 668.4 βοὴν ἀγαθὸν καὶ ἑταίρους· πρότερον δὲ οὐ καθεώρων,
book 668.5.1 ὅτε ἔλεγε τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον (416) καὶ
book 668.5.2 ὅτε παρεκάλει αὐτούς ἀλλὰ μάχεσθ’ ἐπὶ νηυσὶν ἀολλέες
book 668.5.3 (494); πῶς δὲ καὶ ἔφυγον σκότους ὄντος; ἥ τε Ἀθηνᾶ οὐ

book 668

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάρεστι διὰ τὴν τοῦ Διὸς ἀπειλήν. A.
book 679.1 ὡς δ’ ὅτ’ ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς:
book 679.2 ἡ διπλῆ ὅτι κέλητα αὐτὸς μὲν οἶδε, χρωμένους δὲ τοὺς
book 679.3 ἥρωας οὐ συνίστησιν. A. Ar. 198 et 343.
book 697.1 φαίης κ’ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
book 697.2 ἄντεσθ’ ἐν πολέμῳ—ὅτι ὡς πρός τινα διαλέ-
book 697.3 γεται. οὐκ ἔστι δέ· ἀλλ’ ἔστι φαίη τις ἄν. A. Cf. p. 8.
book h711-2.1 ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
book h711-2.2 καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισιν.
book 712.1 ἀθετεῖται ὅτι εὐτελὴς ὁ στίχος καὶ (ins. ἡ) ἰδιότης
book 712.2 τῆς μάχης οὐ σώζεται· ξίφεσι μὲν γὰρ καὶ ἔγχεσι πάντοτε
book 712.3 μάχονται, νῦν δὲ πελέκεσι καὶ ἀξίναις. ὁ δὲ Διονύσιος, πῶς
book 712.4 οὖν ἐπιφέρει, πολλὰ δὲ φάσγανα—ἄλλα μὲν ἐκ χει-
book 712.5 ρῶν χαμάδις πέσον, εἰ μὴ εἶχον ξίφη; A. V. ad 714.
book 714.1 πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
book 714.2 ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ’ ἀπ’
book 714.3 ὤμων: ἡ διπλῆ ὅτι οὐ χρωμένων τοῖς ξίφεσι πρὸς μάχην
book 714.4 χαμάδις ἔπιπτον, ἀλλὰ τῶν ὤμων κοπτομένων τοῖς πελέ-
book 714.5.1 κεσι—καὶ τῶν καρπῶν σὺν τοῖς ξίφεσι. A. Extrema ob-
book 714.5.2 scura. Qui enim manus decisae cadere potuerunt una cum gla-
book 714.5.3 diis, qui e vaginis non erant educti?
book 716.1 Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ
book 716.2 μεθίει: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει οὐκ
book 716.3 ἐμεθίει. A. His continuaremus ea quae sunt in V: ὥστε
book 716.4 βαρβαρίζειν τὸν Ὅμηρον (ubi suppl. ποιεῖ)—nisi transitu
book 716.5 per particulam ὥστε facto offenderemur.
book 718.1 οἴσετε πῦρ: ἡ διπλῆ ὅτι οἴσετε ἀντὶ τοῦ φέρετε·
book 718.2 οὐ γὰρ τὸν μέλλοντα δηλοῖ τὸ οἴσετε, ἀλλ’ ἀπὸ τοῦ οἶσε
book 718.3 θεεῖον (χ 481) ἐστὶν ἀνάλογον τῷ φέρε. A. Cf. p. 6.
book 722.1 οἵ μ’ ἐθέλοντα: ἡ διπλῆ ὅτι δεῖ κατὰ τὸ τέλειον
book 722.2 προφέρεσθαι ἐθέλοντα. A.
book 730.1 ἔνθ’ ἄρ’ ὅ γ’ ἑστήκει δεδοκημένος: ἡ διπλῆ
book 730.2 ὅτι παθητικῶς δεδοκημένος ἀντὶ τοῦ δοκεύων, ἐπιτηρῶν, ὡς
book 730.3 ῥάβδῳ πεπληγυῖα (κ 238). A. Cf. p. 3.
book 743 ὅς τις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο:
book 743 ἀντὶ τοῦ ἐπὶ ναῦς. V. Cf. p. 23.
book 9.1 (κούρη) ἥ θ’ ἅμα μητρὶ θέους’ ἀνελέσθαι ἀνώγει,
book 9.2 είανοῦ ἁπτομένη: ἡ διπλῆ ὅτι ἑανὸς καὶ πέπλος
book 9.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἔνδυμα—A. Addendum γυναικῶν. Apollon. in lex.
book 9.4 utrumque vocabulum explicat per ἔνδυμα γυναικεῖον. L. Ar. 193.
book 17.1 ἦε σύ γ’ Ἀργείων ὀλοφύρεαι: ἡ διπλῆ ὅτι ἐλ-
book 17.2 λείπει ἡ περί, περὶ Ἀργείων. A. Cf. p. 26.
book 20.1 τὸν δὲ βαρὺ στενάχων προσέφης Πατρόκλεις
book 20.2 ἱππεῦ: ἡ διπλῆ πρὸς τὴν τοῦ λόγου ἀποστροφήν. A. Cf. p. 16.
book 24.1 ὅσοι πάρος ἦσαν ἄριστοι
book 24.2 ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί
book 24.3 τε: ἡ διπλῆ πρὸς τὴν σύλληψιν· οἱ μὲν γὰρ βεβλημένοι
book 24.4 ἦσαν, οἱ δὲ οὐτασμένοι. A. Ar. 63, 73.
book 28.1 τοὺς μέν τ’ ἰητροὶ πολυφάρμακοι ἀμφιπέ-
book 28.2 νονται: ἡ διπλῆ ὅτι οὐ μόνον οἱ περὶ Μαχάονα καὶ Πο-
book 28.3 δαλείριον συνεπεπλεύκεισαν ἰατροί, ἀλλὰ καὶ ἄλλοι πλείονες. A.
book 29.1 σὺ δ’ ἀμήχανος ἔπλευ Ἀχιλλεῦ: ἡ διπλῆ ὅτι
book 29.2 νῦν ἀμήχανος, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι, οὐκ αὐτὸς
book 29.3 μὴ δυνάμενος μηχανήσασθαι. A. Ar. 149.
book h30-1.1 μὴ ἔμεγ’ οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυ-
book h30-1.2 λάσσεις
book h30-1.3 αἰναρέτη. τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ;
book 30.1 ἡ διπλῆ ὅτι ὁ χόλος ἀντιμετείληπται (Ar. 23), ὡς
book 30.2 ἰσοδυναμῶν τῇ μήνιδι (Ar. 138). A.
book 31.1 ἡ διπλῆ ὅτι τινὲς γράφουσιν αἴν’ ἀρετῆς, καὶ ἐκ-
book 31.2 φέρουσι κατὰ τὸ περισπώμενον, ἵν’ ᾖ πρότερον αἰνέ, εἶτα
book 31.3 πρὸς τὰ κάτω τὸ ἀρετῆς, ἀρετῆς τί σευ ἄλλος ὀνήσεται. πι-
book 31.4 θανώτερον δὲ συνθέτως αἰναρέτη, ἐπὶ κακῷ τὴν ἀρετὴν
book 31.5 ἔχων. A. Inserui τὸ ἀρετῆς.
book 34.1 γλαυκὴ δέ ς’ ἔτικτε θάλασσα: ἡ διπλῆ ὅτι νῦν
book 34.2 ἅπαξ τὴν θάλασσαν ἐπιθετικῶς γλαυκὴν εἶπεν. A.
book 41.1 αἴ κ’ ἐμὲ σοὶ εἴσκοντες ἀπόσχωνται πολέ-
book 41.2 μοιο: ἡ διπλῆ ὅτι τὸ εἴσκοντες (cod. ἴσκοντες) ἀνάλογόν
book 41.3 ἐστι τῷ κατὰ διαίρεσιν ἐίσκοντες, ὁμοιοῦντες· ἔικτο δὲ
book 41.4 θέσκελον αὐτῷ (Ψ 107). ἡ δὲ ἀναφορὰ πρὸς τοὺς ἀπεκ-
book 41.5 δεξαμένους τὸ ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν
book 41.1 (τ 203): τὸ γὰρ ἴσκεν ὑπολαμβάνουσι κεῖσθαι ἀντὶ τοῦ
book 41.2 ἔλεγεν οὐκ ὀρθῶς (Ar. 105). A. De ἀπεκδέχεσθαι dixi ad
book 41.3 Nican. Ξ 500.
book 45.1 ῥεῖα δέ κ’ ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
book 45.2 ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων: οἱ
book 45.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀστερίσκοι, ὅτι ὑπὸ Νέστορος οὐκ ὀρθῶς λέγονται (Λ 801). A.
book h46-7.1 ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
book h46-7.2 οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι
book 46.1 ἡ διπλῆ ὅτι καὶ νῦν τὸ ἔμελλε σαφῶς οὐκ ἐπὶ χρό-
book 46.2 νου· οὐ γὰρ ἔμελλε λιτανεύσειν, ἀλλ' ἐλιτάνευσεν. ἔστι δὲ
book 46.3 ἀντὶ τοῦ ἐῴκει (Ar. 124). καὶ ὅτι διὰ μέσου ἀναπεφώνηται
book 46.4 τὸ ἦ γὰρ ἔμελλεν οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ
book 46.5.1 κῆρα λιτέσθαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ (α 18) οὐδ' ἔνθα
book 46.5.2 πεφυγμένος ἦεν ἀέθλων καὶ μετὰ οἷσι φίλοισι. A.
book 57.1 δουρὶ δ' ἐμῷ κτεάτισσα πόλιν εὐτείχεα πέρ-
book 57.2 σας: ἡ διπλῆ ὅτι ἰδίως καὶ παρὰ τὴν ἡμετέραν συνήθειαν
book 57.3 κτεάτισσα κατὰ τὸ ἐνεργητικόν, ἀντὶ τοῦ ἐκτησάμην. καὶ
book 57.4 ἐν Ὀδυσσείᾳ (β 102) πολλὰ κτεατίσσας ἀντὶ τοῦ κτη-
book 57.5.1 σάμενος. A. Cf. p. 2.
book 57.5.2 σημειωτέον τοῦτο πρὸς τὸ δῷσι πόλιν Τροίης εὐ-
book 57.5.3 τείχεος (sic Bekk. —A 129) ὅτι οὐ μόνον Τροία εὐτειχής. A.
book 57.5.4 τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
book 59.1 Ἀτρείδης ὡς εἴ τιν' ἀτίμητον μετανάστην: ἡ
book 59.2 διπλῆ ὅτι ἀντὶ τοῦ ἀτιμήτου μετανάστου, ὡς τὸ ἐπεί μ'
book 59.3 ἀφελέσθε γε δόντες (A 299) ἀντὶ τοῦ ἐμοῦ. A. Cf. p. 21.
book h60-2.1 ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα
book h60-2.2 πως ἦν
book h60-2.3 ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
book h60-2.4 οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν.
book 60 ἡ διπλῆ ὅτι τὸ ἐάσομεν ἀντὶ τοῦ ἐάσωμεν. A. Cf. p. 13.
book 61 ὅτι τὸ ἔφην γε ἀντὶ τοῦ διενοήθην. A.
book 62.1 πρὸς τὸ μηνιθμόν, ὅτι παραλλήλως (cf. ad N 276)
book 62.2 τέταχε τῷ χόλῳ (Ar. 138). A.
book 62.3 Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκεν
book 70.1 θάρσυνος: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ τεθαρσηκυῖα. A.
book 70.2 οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσιν
book 75 μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι.
book 74 ἡ διπλῆ ὅτι ἔοικεν ἀκηκοότι τὰ εἰρημένα ὑπὸ Διο-
book 74 μήδους μετὰ τὴν πρεσβείαν. A. Cf. ad I 709.
book 81.1 μὴ δὴ πυρὸς αἰθομένοιο
book 81.2 νῆας ἐνιπρήσωσι—ἡ διπλῆ ὅτι παθητικὸν
book 81.3 ἀντὶ τοῦ ἐνεργητικοῦ, αἰθομένοιο ἀντὶ τοῦ αἴθοντος (cf.
book 81.4 p. 3): καὶ ὅτι ἡ ὑπό πρόθεσις ἐλλείπει, ὑπὸ πυρός. (Cf.
book 81.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

p. 21). A.
book h89-93 μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
book h89-93.2 Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
book h89-93.3 μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι,
book h89-93.4 Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
book h89-93.5 μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων κτλ.
book 89.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος τοῦτον καὶ
book 89.2 τὸν ἑξῆς ἦρκεν, πεποίηκε δὲ οὕτως μὴ σύ γ' ἀγαλλόμε-
book 89.3 νος πολέμῳ καὶ δηιοτῆτι, ἵν' ἐπιβάλλῃ ἡ συνέπεια,
book 89.4 ἀναγκαῖοι δέ εἰσι· σκοπὸς γὰρ τῷ Ἀχιλλεῖ μὴ ἀτιμωθῆναι
book 89.5 τούτου κατευημερήσαντος (Ar. 354). A.
book 92.1 ὅτι Ζηνόδοτος προτὶ Ἴλιον αἰπὺ δίεσθαι. A.
book 92.2 Ar. 242.
book 93.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος κατὰ τὸ ἑξῆς
book 93.2 τέσσαρας ἀπὸ τούτου ἦρκε, γράφει δὲ ἀντὶ αὐτῶν τοῦτον
book 93.3 μή ς' ἀπομουνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ.
book 93.4 ἔστι δὲ εὐτελὴς καὶ τῇ συνθέσει καὶ τῇ διανοίᾳ. A.
book h97-100.1 αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
book h97-100.2 μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,
book h97-100.3 μήτε τις Ἀργείων, νῶιν δ' ἐκδύμεν ὄλεθρον,
book h97-100.4 ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.
book 97-100 ἀθετοῦνται στίχοι τέσσαρες, διότι κατὰ δια-
book 97-100.2 σκευὴν (Ar. 349) ἐμφαίνουσι γεγράφθαι ὑπό τινος τῶν νο-
book 97-100.3 μιζόντων ἐρᾶν τὸν Ἀχιλλέα τοῦ Πατρόκλου· τοιοῦτοι γὰρ
book 97-100.4 οἱ λόγοι, πάντες ἀπόλοιντο πλὴν ἡμῶν. καὶ ὁ Ἀχιλλεὺς
book 97-100.5 οὐ (cod. ὁ, corr. Bekk.) τοιοῦτος, συμπαθὴς δέ. A. Ar. 188.
book 102.1 Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσ-
book 102.2 σιν: τρωτὸς ἦν ἄρα. καὶ ὅσσον ἐμῇ κεφαλῇ περιδείδια
book 102.3 μή τι πάθῃσι (P 242). V. Fluxit ex Aristonico. Cf. Ar. 180.
book h105-6.1 πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεί
book h105-6.2 καὶ φάλαρ' εὐποίηθ'. ὁ δ' ἀριστερὸν ὦμον
book h105-6.3 ἔκαμνεν.
book 105 ἡ διπλῆ ὅτι τινὲς γράφουσι τύπτετο δ' αἰεί.
book 105.1 προείρηκε δὲ βαλλομένην (sic) καὶ βάλλοντες (v. 104). τὸ
book 105.2 δὲ βαλεῖν ἐστὶ [πόρρωθεν, τὸ δὲ] ἐκ χειρός, τύψαι. A. Verba
book 105.3 inclusa addidit Lehrs. Ar. 65.
book 106.1 ἡ διπλῆ ὅτι ἔν τισι γράφεται καπφάλαρα. ὑπερ-
book 106.2 βατὸν δέ ἐστι· δεινὴν δὲ καναχὴν ἡ πήληξ ἔσχε καὶ τὰ φά-
book 106.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαρα, ἐβάλλετο δὲ συνεχῶς. φάλαρα δὲ τὰ κατὰ τὸ μέσον
book 106.4 τῆς περικεφαλαίας μικρὰ ἀσπιδίσκια, ἅτινα κόσμου χάριν
book 106.5.1 ἐντίθεται. A. δέ post ἐβάλλετο ins. L.
book 106.5.2 ὁ δέ: ὡς περὶ ἑτέρου. ὅμοιον δέ ἐστι τῷ ὁ δ’ ἐρεύ-
book 106.5.3 γετο οἰνοβαρείων (ι 374). V.
book h116-8.1 (Hector Ajacis hastam cecidit) ἀντικρὺ δ’ ἀπάραξε· τὸ
book h116-8.2 μὲν Τελαμώνιος Αἴας
book h116-8.3 πῆλ’ αὔτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ’ ἀπ’ αὐτοῦ
book h116-8.4 αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
book 116.1 ἡ διπλῆ ὅτι δοκεῖ μάχεσθαι· εἰ γὰρ ἀπήραξε κατὰ
book 116.2 συμπέρασμα, ὅ ἐστιν ἀπέθραυσεν, πῶς ἐπιφέρει, τῆλε δ’
book 116.3 ἀπ’ αὐτοῦ αἰχμὴ χαλκείη χαμάδις, ὡς πρότερον μὴ
book 116.4 ἀποκεκομμένου, ἀλλ’ ὅτε διέσεισεν ὁ Αἴας ἀποπεπτωκότος;
book 116.5.1 ὁ μὲν οὖν Ἀρίσταρχος τὸ συμπέρασμα λέγει προειρῆσθαι,
book 116.5.2 εἶτα κατὰ μέρος ἐπηκριβῶσθαι, ὡς εἴ τις λέγοι· „ὅδε τις
book 116.5.3 τόνδε εἰς τὰ σπλάγχνα δόρατι παίσας ἀπέκτεινεν· ἐκσπασθέν-
book 116.5.4 τος δὲ τοῦ δόρατος ἀπέθανεν“, ὡς ἐγένετο ὕστερον ἐπιδιη-
book 116.5.5 γούμενος. οὕτως ἀπάραξε καὶ κόλον δόρυ λέγει κατὰ συμ-
book 116.10.1 πέρασμα· ὡς δὲ ἀπέπεσεν ὕστερον ἡ αἰχμὴ διακραδαθέντος
book 116.10.2 τοῦ δόρατος, ἐπεξηγεῖται. φαίνεται γὰρ ὁ Αἴας μικροῦ τι-
book 116.10.3 νὸς ἔτι διακρατοῦντος τὴν ἐπιδορατίδα πειράζων κραδᾶναι,
book 116.10.4 ἀποπεσούσης δὲ ταύτης παντελῶς ἀπεγνωκέναι ὅτι ἠχρείω-
book 116.10.5 ται τὸ δόρυ. διὸ καὶ τὸ αὔτως πρόσκειται, ὅτι κατὰ κενὸν
book 116.15.1 ἐκράδανεν, οὐ δυνάμενος αὐτῷ χρῆσθαι. τινὲς δὲ καὶ τὸν
book 116.15.2 δέ ἀντὶ τοῦ γάρ λαμβάνουσιν· τῆλε γὰρ ἀπ’ αὐτοῦ (cf. p. 35).
book 116.15.3 A. Cod. τὸν γάρ ἀντὶ τοῦ δέ.
book 123.1 νηὶ θοῇ· τῆς δ’ αἶψα κατ’ ἀσβέστη κέχυτο
book 123.2 φλόξ: ἡ διπλῆ ὅτι ἔστι μὲν ἐκ πλήρους λαβεῖν κατά, εἶτα
book 123.3 σβεστή τὸ συμβαῖνον ἐπιθετικῶς· ἔστι δὲ καὶ κατὰ συνα-
book 123.4 λοιφὴν ἀσβέστη, οἷον ἀκατάσβεστος, ὅ ἐστι δυσκόλως σβεστή.
book 123.5.1 ὃ καὶ μᾶλλον· οὕτως γὰρ εἴωθε λέγειν· ἄσβεστος δ’ ἄρ’
book 123.5.2 ἐνῶρτο γέλως (A 599). τὸ δὲ σβεστή ἀνέμφατον. καὶ τὸ
book 123.5.3 σχῆμα Ὁμηρικόν, ἀσβέστη, καθάπερ ῥεῖα δ’ ἀριγνώτη
book 123 πέλεται (ζ 108) ἀντὶ τοῦ ἀρίγνωτος (cf. p. 32). A.
book 124.1 ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν: πρὸς
book 124.2 τὴν φράσιν, ὅτι οὕτως εἴρηκε τὴν μὲν πρύμνην ἀντὶ τοῦ
book 124.3 τῆς μὲν τὴν πρύμνην. A. Cf. p. 20.
book 128.1 μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλων-
book 128.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ται: ἡ διπλῆ ὅτι οὕτως εἴρηκε πληθυντικῶς πέλωνται καὶ
book 128.3 οὐ πέληται, ὁμοίως τῷ σπάρτα λέλυνται (B 135). A.
book 128.4 Cf. p. 15.
book 129.1 δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω:
book 129.2 ὅτι ἀντὶ τοῦ ἀγείραιμι. A. Cf. p. 9.
book 140.1 ἔγχος δ’ οὐχ ἕλετ’ οἶον ἀμύμονος Αἰακίδαο:
book 140.2 Ζηνόδοτος τοῦτον ἀθετήσας τοὺς ἑξῆς τέσσαρας οὐκ ἔγραφεν.
book 140.3 A. Sed h. l. recte habent hi versus, contra rejiciendi T 387,
book 140.4 ubi v. Inde asterisci ad 141—144. L.
book 142.1 ἀλλά μιν (ἔγχος) οἶος ἐπίστατο πῆλαι Ἀχιλ-
book 142.2 λεύς: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἐδύνατο, μόνος ἐδύνατο χρή-
book 142.3 σασθαι τῷ δόρατι (Ar. 150): τὸ γὰρ πῆλαι ἐκ παρεπομένου
book 142.4 (v. ad B 417) τὴν χρῆσιν σημαίνει. A.
book 144.1 (μελίην) Πηλίου ἐκ κορυφῆς. Hanc fraxinum
book 144.2 ideo in monte Pelio caesam dicit, quia mons ventosus est, ar-
book 144.3 borum autem vento exercitarum ligna roborantur: v. ad Λ 256.
book 146.1 (Automedontem) τὸν μετ’ Ἀχιλλῆα ῥηξήνορα
book 146.2 τῖε μάλιστα: ἡ διπλῆ ὅτι Πάτροκλος μὲν Ἀχιλλέως ἡνίο-
book 146.3 χος, Πατρόκλου δὲ Αὐτομέδων. A.
book 150.1 τοὺς (Ξάνθον καὶ Βαλίον) ἔτεκε Ζεφύρῳ
book 150.2 ἀνέμῳ ἅρπυια Ποδάργη: ἡ διπλῆ περιεστιγμένη ὅτι
book 150.3 Ζηνόδοτος γράφει Ἅρπυια πόδαργος, ὡς ἐπιθετικόν,
book 150.4 ἵν’ ᾖ ποδώκης. ἔστι δὲ τὸ κύριον ὄνομα Ποδάργη. σαφὲς
book 150.5.1 δὲ καὶ ἐκ τούτων (T 400) Ξάνθε τε καὶ Βαλίε, τηλε-
book 150.5.2 κλυτὰ τέκνα Ποδάργης. A.
book 160.1 καί τ’ ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου
book 160.2 λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ: ἡ
book 160.3 διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει λάψαντες διὰ
book 160.4 τοῦ α. ἔσονται δὲ ἤδη πεπωκότες, καὶ ἐκλέλυται ἡ ἔμφασις·
book 160.5.1 οἱ μὲν γὰρ αἵματος ἐμπεφορημένοι καὶ διὰ δίψαν ὁρμῶντες
book 160.5.2 ἐπὶ τὴν κρήνην σώζουσι τὸ παράστημα. ἐπλάνησε δὲ τὸν
book 160.5.3 Ζηνόδοτον τὸ ἑξῆς, δεξάμενον ἀπὸ κρήνης ἴασιν· οὐκ ἔδει
book 160.5.4 δέ, ἀλλ’ εἰς κρήνην πιόμενοι πορεύονται. A.
book 163.1 περιστένεται δέ τε γαστήρ: ἡ διπλῆ ὅτι ἔστι
book 163.2 μὲν ἐκδέξασθαι καὶ τὸ στενοχωρεῖται (στεινόμενος νε-
book 163.3 κύεσσιν Φ 220) ὥστε καταστρέφειν εἰς τὸ βαρύνεται· βέλ-
book 163.4 τιον δὲ παρεμπεπτωκέναι τὸ ς ὡς ἐπὶ τῆς φερεσβίου, ὥστε
book 163.5.1 εἶναι καὶ τὸ περιστένεται ἀντὶ τοῦ περιτείνεται, διὰ τὸ ἐμ-
book 163.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλησθῆναι τοῦ αἵματος. A. „Quae Aristonicus scripsit com-
book 163.5.3 parans cum Apollon. lex. (145, 1) vix dubito, quin de suis
book 163.5.4 Aristonicus largitus sit magistro haud gratiam habituro. (Cf. ad
book 163.5.5 στεινόμενος Φ 220).“ Ar. 155. —καταστρέφειν εἰς—non
book 163.10.1 recte explicatur μεταλαμβάνειν Ar. 157 not. Significat (et
book 163.10.2 hic et A Ψ 531, cf. EQ δ 367 Vulg. μ 417): eo redire si-
book 163.10.3 gnificationem, ut vox idem valeat ac βαρύνεται. Sed hac de
book 163.10.4 re jam dixit Bekker. ad Apollon. de pronom. 44 B 9.
book 175.1 (Menesthius) ὃν τέκε Πηλῆος θυγάτηρ καλὴ
book 175.2 Πολυδώρη: ἡ διπλῆ ὅτι Φερεκύδης τὴν Πολυδώραν φησὶν
book 175.3 ἀδελφὴν Ἀχιλλέως· οὐκ ἔστι δὲ καθ’ Ὅμηρον διαβεβαιώ-
book 175.4 σασθαι. πιθανώτερον οὖν ὁμωνυμίαν εἶναι, ὥσπερ καὶ ἐπ’
book 175.5 ἄλλων. A. Ar. 178.
book 178.1 ὅς ῥ’ ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια
book 178.2 ἕδνα: ὅτι ἕδνα τὰ ὑπὸ τῶν γαμούντων διδόμενα ταῖς γα-
book 178.3 μουμέναις. A.
book 180.1 παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη:
book 180.2 ἡ διπλῆ ὅτι παρθένιος λέγεται ὁ ἐξ ἔτι παρθένου νομιζο-
book 180.3 μένης γεννώμενος, σκότιος δὲ ὁ κατὰ λαθραίαν μίξιν καὶ
book 180.4 οὐκ ἀπὸ νομίμου γάμου (Ar. 136). καὶ ὅτι τὸ χορῷ καλή
book 180.5.1 πρὸς ἓν ἐκληπτέον, καλλίχορος, διαπρέπουσα ἐν τῷ χορεύειν.
book 180.5.2 A. ἕν ins. L.
book 184.1 αὐτίκα δ’ εἰς ὑπερῷ’ ἀναβὰς παρελέξατο λάθρῃ
book 184.2 Ἑρμείας ἀκάκητα—ἡ διπλῆ ὅτι οἱ τῶν θη-
book 184.3 λειῶν θάλαμοι ὑπερῷοι, ἵνα μὴ εὐδίοπτοι ὦσιν. A. Ar. 198.
book 185.1 ἡ διπλῆ ὅτι τῇ προσαγορευτικῇ ἀντὶ τῆς ὀρθῆς
book 185.2 κέχρηται, ἀντὶ τοῦ ἀκακήτης, ὡς κυανοχαῖτα ἀντὶ τοῦ κυ-
book 185.3 ανοχαίτης, A. Cf. p. 18. et Ar. 186, 269.
book 188.1 (εἰλείθυια) ἐξάγαγεν φόως δέ: ἡ διπλῆ περιεστι-
book 188.2 γμένη ὅτι Ζηνόδοτος γράφει πρὸ φόως (i. e. πρὸ φόως δέ:
book 188.3 v. Did.). ἀγνοεῖ δὲ ὅτι ἐπὶ μὲν Εὐρυσθέως (T 118) οὕτως
book 188.4 γράφειν ἐγχωρεῖ· πρὸ γὰρ τοῦ τεταγμένου ταῖς τικτούσαις
book 188.5 χρόνου ἐγεννήθη, διὸ καὶ ἠλιτόμηνος εἴρηται· ἐπὶ δὲ τῶν
book 188 ἄλλων οὐκέτι. A.
book 197.1 Ἀλκιμέδων Λαέρκεος υἱὸς ἀμύμων: ὁμώνυ-
book 197.2 μος αὐτῷ (sc. Λαέρκεϊ) ὁ Πύλιος χρυσοχόος (γ 425). V. Hic
book 197.3 Alcimedon postea Alcimus vocatur: T 392.
book h201-3.1 ἀπειλεῖτε Τρώεσσιν
book h201-3.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάνθ’ ὑπὸ μηνιθμόν, καί μ’ ᾐτιάασθε ἕκαστος
book h201-3.3 „σχέτλιε Πηλέος υἱέ, χόλῳ ἄρα ς’ ἔτρεφε μήτηρ.“
book 202.1 μ’ ᾐτιάασθε: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνό-
book 202.2 δοτος ἓν ποιῶν γράφει χωρὶς τοῦ ι μητιάασθε, λαμβάνων
book 202.3 ἀπὸ τῆς μήτιδος, οἷον ἐβουλεύεσθε. γίνεται δὲ ἀδιανόητον·
book 202.4 διὸ δεῖ σὺν τῷ ι γράφειν ᾐτιάασθε. καὶ ὅτι πάνθ’ ὑπὸ
book 202.5.1 μηνιθμόν ἤτοι μετὰ πάσης μήνιδος καὶ χόλου, ἢ κατὰ
book 202.5.2 πάντα τὸν τῆς μήνιδος χρόνον. A.
book 203.1 ἡ διπλῆ ὅτι ἀπέστροφε τὸν λόγον ἀπὸ τοῦ διηγη-
book 203.2 ματικοῦ ἐπὶ τὸ μιμητικόν, καὶ ἐλλείπει τὸ τάδε λέγων
book 203.3 ἕκαστος ἐμὲ ᾐτιάασθε (Cf. p. 17.). καὶ ὅτι χόλῳ ἀρσενικῶς
book 203.4 ἀντὶ τοῦ χολῇ. ὑπερβολικῶς οὐ γάλακτι, ἀλλὰ χολῇ. A.
book 206.1 κακὸς χόλος ἔμπεσε θυμῷ: νῦν ὁμοίως ἡμῖν
book 206.2 τὸ περὶ ψυχὴν πάθος φησίν. V. Cf. ad 203.
book 222.1 (χηλοῦ) τήν οἱ Θέτις ἀργυρόπεζα
book 222.2 θῆκ’ ἐπὶ νηὸς ἄγεσθαι—ἡ διπλῆ ὅτι οὐ δω-
book 222.3 δεκαταῖον ἀπέλιπε τὸν Ἀχιλλέα γεννήσασα ἡ Θέτις, καθά-
book 222.4 περ οἱ νεώτεροι ποιηταί, ἀλλὰ συνεβίου Πηλεῖ. ἐκπέμπει
book 222.5.1 γοῦν ἐπὶ τὸν πόλεμον Ἀχιλλέα, καί φησιν (Σ 59) τὸν δ’
book 222.5.2 οὐχ ὑποδέξομαι αὖτις οἴκαδε νοστήσαντα δώμοιο
book 222.5.3 πηλ—(l. δόμον Πηλήιον εἴσω), ὡς ἂν ἐπὶ τοῦ οἴκου
book 222.5.4 μένουσα. A. Ar. 190.
book 234.1 Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελ-
book 234.2 λοί: ἡ διπλῆ πρὸς τὸ τῆς γραφῆς ἀμφίβολον· οἱ μὲν γὰρ
book 234.3 Σελλούς, οἱ δὲ Ἑλλοὺς ἐξεδέξαντο. δεῖ δὲ νοεῖν ὡς
book 234.4 ἔστιν ἐκ πλήρους Σελλοί· καὶ γὰρ ὁ συνορίζων τοῖς τόποις
book 234.5.1 ποταμὸς Σελλήεις, ἀφ’ οὗ εἰκὸς τοὺς παροίκους Σελλοὺς κα-
book 234.5.2 λεῖσθαι. A. Ar. 239.
book h236-7.1 ἠμὲν δή ποτ’ ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
book h236-7.2 τιμήσας μὲν ἐμέ, μέγα δ’ ἴψαο λαὸν Ἀχαιῶν.
book 236.1 ἡ διπλῆ ὅτι οὐ προσυνέσταται περὶ τῆς τῶν
book 236.2 Ἀχαιῶν κακώσεως εὐχόμενος οὐδὲ κατ’ εὐχὴν τετίμηται,
book 236.1 ἀλλὰ διὰ τὰς τῆς Θέτιδος λιτάς. διὸ ἀθετητέον τὸν ἑξῆς
book 236.2 τιμήσας μὲν ἐμέ. καθολικῶς γὰρ λέγει, καὶ οὐκ (εἰς
book 236.5 ins. L.) ἀφωρισμένον ἀναφέρει καιρὸν τὸν τῆς μήνιδος. A.
book 237.1 ὁ μὲν ὀβελὸς πρὸς τὴν προειρημένην (236) ἀθέ-
book 237.2 τησιν, ὁ δὲ ἀστερίσκος, ὅτι ἐκ τῆς τοῦ Χρύσου εὐχῆς (A 454)
book 237.3 μετενήνεκται. A. Cf. V. ad O 75.
book 239.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μενέω νηῶν ἐν ἀγῶνι: ὅτι νηῶν ἀγῶνι τῷ
book 239.2 ἀθροίσματι καὶ ναυστάθμῳ (Ar. 152). A.
book 243.1 εἴσεται ἤ ῥα καὶ οἷος ἐπίστηται πολεμί-
book 243.2 ζειν: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἐπιστέα-
book 243.3 ται. ἀγνοεῖ δὲ ὅτι τὰ τοιαῦτα ῥήματα πληθυντικά ἐστι,
book 243.4 καὶ νῦν ἀνάλογον ἕξει τὸ ἐπιστέαται τῷ ἐπίστανται, ὅπερ
book 243.5.1 οὐ συμφωνεῖ. ἔστιν οὖν ἀντὶ τοῦ ἐπίσταται, καὶ μετείλη-
book 243.5.2 πται τὸ α εἰς τὸ η. A. Hic versus et sq. facere videbantur ad
book 243.5.3 firmandam athetesin X 393 sq.
book h260-1.1 (σφήκεσσι) εἰνοδίοις οὓς παῖδες ἐριδμαίνωσιν
book h260-1.2 ἔθοντες,
book h260-1.3 αἰεὶ κερτομέοντες ὁδῷ ἔπι οἰκί’ ἔχοντας.
book 260.1 ἡ διπλῆ ὅτι τὴν αὐτὴν διάνοιαν ἔχει τῷ ἑξῆς καὶ
book 260.2 ὑγιέστερον εἴρηται. A.
book 261.1 ἀθετεῖται. τὸ κερτομεῖν οὐ τίθησιν ἐπὶ τοῦ δι’
book 261.2 ἔργων ἐρεθίζειν, ἀλλὰ διὰ λόγων (Ar. 120). καὶ ὅτι διὰ τοῦ
book 261.3 προειρημένου στίχου ταὐτὸν εἴρηται· τὸ γὰρ εἰνοδίοις ταὐ-
book 261.4 τόν ἐστι τῷ ὁδῷ ἔπι οἰκί’ ἔχοντας, καὶ τὸ ἐριδμαίνωσιν τῷ
book 261.5.1 κερτομέοντες, καὶ τὸ ἀεί τῷ ἔθοντες, ἐξ ἔθους συνεχῶς ἐπι-
book 261.5.2 φοιτῶντες. ἠθέτει καὶ Ἀριστοφάνης. A.
book 261.5.3 οἱ δ’ ἄλκιμον ἦτορ ἔχοντες
book 265.1 πρόσσω πᾶς πέτεται: ἡ διπλῆ ὅτι πληθυντικῶς
book 265.2 εἰπών οἱ δ’ ἄλκιμον ἦτορ ἔχοντες ἑνικὸν ἐπιφέρει πᾶς
book 265.3 πέτεται, διὰ τὸ τὴν ἔννοιαν τοῦ πᾶς πληθυντικὴν εἶναι,
book 265.4 μόνον δὲ τὸ σχῆμα ἑνικόν, ὅμοιον τῷ ἀγρόμενοι πᾶς
book 265.5 δῆμος (Υ 166). A. Cf. p. 16.
book 274.1 ὅτ’ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν: ἡ διπλῆ
book 274.2 ὅτι τὸ δεν παρέλκεται· ἔστι γὰρ ὅτι τὸν ἄριστον τῶν Ἀχαιῶν
book 274.3 οὐκ ἔτισεν (Ar. 322). A.
book 280.1 ἐκίνηθεν δὲ φάλαγγες Ἐλπόμενοι: ἡ διπλῆ
book 280.2 ὅτι ἰδίως εἴρηκε φάλαγγες ἐλπόμενοι πρὸς τὸ νοητόν· σύ-
book 280.1 στημα γὰρ ἀνδρῶν εἰσὶν αἱ φάλαγγες. (Cf. p. 32). Fortasse
book 280.2 his continuanda sunt sequentia: ἢ δεῖ τὴν πτῶσιν μεταλαβεῖν,
book 280.5 ἐλπόμενοι—(ita Vill. Bekk. οις) A. —ἀντὶ τοῦ ἐλπομένων. V.
book h297-300.1 ὡς δ’ ὅτ’ ἀφ’ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
book h297-300.2 κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
book h297-300.3 ἔκ τ’ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
book h297-300.4 καὶ νάπαι, οὐρανόθεν δ’ ἄρ’ ὑπερράγη ἄσπετος
book h297-300.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰθήρ.
book 297.1 Ut hic nubila congesta de montis cacumine depellun-
book 297.2 tur, ita v. 364 ab Olympo dicitur nubes in coelum recedere;
book 297.3 mons igitur Olympus.
book 299-300.1 ὅτι ἐνταῦθα οἰκείως κεῖνται. ἐν δὲ τῇ Θ (557)
book 299-300.2 κακῶς. V.
book 311.1 Μενέλαος ἀρήιος οὖτα Θόαντα: ἡ διπλῆ πρὸς
book 311.2 τὴν ὁμωνυμίαν, ὅτι Τρωικὸς ὁ Θόας οὗτος. A.
book 317.1 Νεστορίδαι δ’ ὁ μὲν οὔτας’ Ἀτύμνιον ὀξέι
book 317.2 δουρί: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ Νεστοριδῶν
book 317.3 ὁ μὲν Ἀντίλοχος οὔτασεν Ἀτύμνιον, ὁ δὲ Θρασυμήδης Μά-
book 317.4 ριν (319 sqq.). A. Cf. p. 19.
book 326.1 ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε:
book 326.2 ἡ διπλῆ ὅτι πτῶσις ἤλλακται, δοτικὴ ἀντὶ γενικῆς, καὶ ἡ
book 326.3 ὑπό πρόθεσις παρεῖται· ἔστι γὰρ ἀντὶ τοῦ ὣς τὼ μὲν ὑπὸ
book 326.4 δοιῶν κασιγνήτων δαμέντε. A. Cf. p. 24.
book 333.1 πᾶν δ’ ὑπεθερμάνθη ξίφος αἵματι: ἀντὶ
book 333.2 τοῦ ὅλον. A. Ar. 130.
book 336.1 μέλεον δ’ ἠκόντισαν ἄμφω: ἡ διπλῆ ὅτι μέ-
book 336.2 λεον ἀντὶ τοῦ μελέως, ματαίως. καὶ διὰ παντὸς οὕτως
book 336.3 Ὅμηρος χρῆται· οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ καὶ τάλα-
book 336.4 νος, καὶ ἡ συνήθεια. πρὸς οὓς (l. ὅ) καὶ ἡ σημείωσις. A.
book 336.5 Ar. 103.
book h352-4.1 ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισιν
book h352-4.2 σίνται, ὑπὲκ μήλων αἱρεύμενοι, αἵ τ’ ἐν ὄρεσσιν
book h352-4.3 ποιμένος ἀφραδίῃσι διέτμαγεν.
book 353.1 μήλων: προβάτων καὶ αἰγῶν. ἐν ἄλλοις μῆλ’,
book 353.2 ὄϊές τε καὶ αἶγες (ι 184). AB. „Non puto Aristonicum
book 353.3 scripsisse ἐν ἄλλοις: sed observatio Aristarchea est.“ Lehrs.
book 353.4 Ar. 108.
book 354.1 ἡ διπλῆ ὅτι οὕτως δεῖ γράφειν διέτμαγεν ὡς
book 354.2 κόσμηθεν, ἵν’ ᾖ διετμάγησαν, παθητικῶς· τὸ γὰρ διέτμα-
book 354.3 γον ἐνεργητικόν ἐστιν. A. Cf. ad 507 et p. 3 not. 2.
book 358.1 Αἴας δ’ ὁ μέγας: ἡ διπλῆ ὅτι συγκριτικῶς λέγε-
book 358.2 ται πρὸς τὸν ἕτερον Αἴαντα ὁ μέγας, ὁ Τελαμώνιος, ἐπεὶ
book 358.3 ἐκεῖνος μείων. A. Ar. 9. Cf. p. 30.
book 361.1 σκέπτετ’ ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόν-
book 361.2 των: ἡ διπλῆ ὅτι σκέπτετο ἴσον τῷ οἶον ἀπεσκόπευε καὶ
book 361.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρετήρει εἰς τὸ μὴ πληγῆναι. A.

ὡς δ’ ὅτ’ ἀπ’ Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω
αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ.

ἡ διπλῆ ὅτι σαφῶς οὐκ ἔστιν Ὄλυμπος καὶ οὐρανὸς ὁ αὐτός· ὡς γὰρ ἀφ’ ἑτέρου ἐφ’ ἕτερόν φησι τὸ νέφος ἔρχεσθαι. οὐδὲ μὴν τόπος ἐπουράνιος· ὁ γὰρ Ὅμηρος ἀπὸ τῶν γινωσκομένων πᾶσι ποιεῖται τὰς ὁμοιώσεις. καταλείπεται τοίνυν τὸ ὄρος σημαίνεσθαι· καὶ γὰρ ἀπὸ τῶν ὀρῶν λέγει τὰ συνεστῶτα νέφη μεταχωρεῖν· ὡς δ’ ὅτ’ ἀφ’ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο κινήσῃ πυκινὸν νέφος (297). τοιγαροῦν καὶ ὅταν λέγῃ ὡς δ’ ὅτ’ ἀπ’ Οὐλύμπου νέφος ἔρχεται, ἀπὸ ὄρους σημαίνει. A. Ar. 172 sq.

Aristarchus de hoc ex Lehrsii sententia tantum dixerat: τάχα οὖν συγχεῖται ὁ ἀήρ πρὸς τὸν αἰθέρα. Ar. 173.

(ἵπποι) ἄξαντ’ ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ’ ἀνάκτων: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἄκρῳ, καὶ οὐχ ὡς δευτέρου ὄντος ῥυμοῦ· εἷς γάρ ἐστι. πρώτησιν δὲ πύλῃσιν (Θ 411) ἀντὶ τοῦ ἄκραις. A.

Praeterea in BL. adnotationis Aristarcheae haec sunt reliquiae: πρὸς τὰς συνωρίδας αἷς ἐχρῶντο Τρῶες (sic pro ἥρωες) τὸ δυικόν. Cf. Ar. p. 196 not.

οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας: ὅτι θέμιστας ἀντὶ τοῦ δίκας. A.

(χάραδραι—ῥέουσαι) ἐξ ὀρέων ἐπὶ κάρ: ἡ διπλῆ ὅτι ἐπὶ κάρα ἐστὶ κατ’ ἀποκοπήν. σημαίνει δὲ τὴν ἄνωθεν καταφορὰν τοῦ ὕδατος. A.

ἔνθ’ ἤτοι (Patroclus) Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ—

δούπησεν δὲ πεσών. ὁ δὲ Θέστορα Ἤνοπος υἱόν—: ἡ διπλῆ ὅτι ὡς περὶ ἄλλου ἐπήνεγκεν ὁ δὲ Θέστορα, τοῦ λόγου ὄντος περὶ τοῦ αὐτοῦ. A. Cf. ad E 736.

ἐκ γὰρ πλήγη φρένας: ἡ διπλῆ ὅτι τὸ ἐκ γὰρ πλήγη ἀντὶ τοῦ ἐξεπλάγη γάρ, κατὰ μετάληψιν τοῦ η εἰς τὸ α. A. Cf. ad Γ 31.

ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς
πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθύν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι οὐκ ἐπί τι εἶδος ἰχθύος φερόμενος
book 407.2 εἴρηκε ἱερὸν ἰχθύν, καθάπερ τινὲς ἀποδεδώκασι τὸν πομπί-
book 407.3 λον, οἱ δὲ τὸν κάλλιχθυν· ἀλλὰ κοινότερον τὸν ἀνετὸν καὶ
book 407.4 εὐτραφῆ, ὡς ἱερὸν βοῦν λέγομεν τὸν ἀνειμένον. A.
book 408.1 λινῷ: αἱ γὰρ ὁρμιαὶ λιναῖ περὶ ἃς ἧπτον συρίγ-
book 408.2 για κεράτινα, ἵνα μὴ ἀποτρώγωσιν οἱ ἰχθύες τὸ λίνον. A.
book 408.3 Cf. ad Ω 81.
book 432.1 Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε
book 432.2 (Jupiter): ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος καθόλου πε-
book 432.3 ριγράφει τὴν ὁμιλίαν τοῦ Διὸς καὶ τῆς Ἥρας, οὐκ αἰσθό-
book 432.4 μενος ὅτι πολλὰ κατὰ συμπέρασμα λέγει ὁ ποιητὴς σιωπω-
book 432.5.1 μένως γεγονότα, καὶ οὐ δέον ἐπιζητεῖν, πῶς ἡ μικρὸν ἔμ-
book 432.5.2 προσθεν (O 79) ἐπὶ τὸν Ὄλυμπον παρακεχωρηκυῖα νῦν ἐπὶ
book 432.5.3 τῆς Ἴδης ἐστίν. A. Ar. 356.
book 454.1 πέμπειν μιν θάνατόν τε φέρειν καὶ νή-
book 454.2 δυμον ὕπνον: ἡ διπλῆ ὅτι σαφῶς νήδυμον μετὰ τοῦ ν.
book 454.3 καὶ ἐπὶ τῶν ἀμφιβόλων ἄρα τόπων σὺν τῷ ν ἐκληπτέον (v.
book 454.4 ad B 2). καὶ ὅτι τῷ ἀπαρεμφάτῳ κέχρηται ἀντὶ προστακτι-
book 454.5 κοῦ τοῦ πέμπε (cf. p. 14). A.
book 466.1 Σαρπηδὼν δ’ αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
book 466.2 δεύτερος ὁρμηθείς, ὁ δὲ Πήδασον οὔτασεν ἵπ-
book 466.3 πον: ἡ διπλῆ ὅτι ἐξ ἐπαναλήψεως τὸ ἄρθρον εἴληφε κατὰ
book 466.4 τοῦ αὐτοῦ προσώπου καὶ οὐ περὶ ἑτέρου λέγει, ἀντὶ τοῦ Πή-
book 466.5.1 δασον δὲ οὔτασεν (v. ad E 736). καὶ ὅτι δοκεῖ συγκεχύσθαι
book 466.5.2 τὸ οὔτασε· βεβλήκει γὰρ τὸ δόρυ. A. Ar. 63.
book 481.1 ἀλλ’ ἔβαλ’ ἔνθ’ ἄρα τε φρένες ἔρχαται ἀμφ’
book 481.2 ἀδινὸν κῆρ: ἡ διπλῆ ὅτι σαφῶς διὰ τοῦ ἔβαλε σημαίνει
book 481.3 τὸ ἔτυχεν (Ar. 73) εἰς ἐκεῖνον τὸν τόπον, ὅπου αἱ φρένες
book 481.4 ἐγκαθειργμέναι εἰσὶ περὶ τὴν ψυχήν (καρδίαν? L.). A.
book 491.1 κτεινόμενος μενέαινε: ἡ διπλῆ ὅτι τὸ μενέ-
book 491.2 αινεν ἐνθάδε μὲν ἐλιποθύμει, ἐν ἄλλοις δὲ προεθυμεῖτο,
book 491.3 ὡς τὸ μενέαινε κῦδος ἀρέσθαι (Φ 543). ἢ ἐθυμοῦτο. A.
book 495.1 πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας
book 495.2 πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι:
book 495.3 ἡ διπλῆ ὅτι ἤτοι ἀπέστροφε τὸν λόγον, ὡς περὶ ἑτέρου λέ-
book 495.4 γων Σαρπηδόνος ἀντὶ τοῦ ἐμοῦ· ἢ ἐλλείπει τὸ τάδε λέγων
book 495.5.1 καὶ τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ κεῖται, ἵν’ ᾖ ὄτρυ-
book 495.5.2 νον Λυκίων ἡγήτορας ἄνδρας τάδε λέγων, Σαρπηδόνος ἀμφι-
book 495.5.3

μάχεσθαι. A. Cf. p. 17.
book 500.1 νεῶν ἐν ἀγῶνι: ἡ διπλῆ ὅτι νεῶν ἀγῶνα τὸ
book 500.2 ἄθροισμα, τὸ ναύσταθμον, καὶ ἐν ἄλλοις εἴ που δύσον-
book 500.3 ται ἀγῶνα (Η 298), τὴν συναγωγὴν τῶν θεῶν. A. Ar. 152.
book 507.1 (ἵππους) ἐπεὶ λίπεν ἅρματ᾽ ἀνάκτων: ὅτι Ζη-
book 507.2 νόδοτος γράφει ἐπεὶ λίπον, ἀγνοῶν ὅτι τὸ λίπεν νῦν οὐκ
book 507.3 ἔστιν ἑνικόν, ἀλλὰ ἀνάλογον τῷ ἐλείφθησαν τὰ ἅρματα,
book 507.4 ὥσπερ κόσμηθεν καὶ ποιμένος ἀφραδίῃσι διέτμαγεν
book 507.5.1 (354) ἀντὶ τοῦ διετμάγησαν. εἴωθε γὰρ τοῖς οὐδετέροις πλη-
book 507.5.2 θυντικοῖς πληθυντικὰ ῥήματα συντάσσειν, ὡς σπάρτα λέ-
book 507.5.3 λυνται (Β 135). A. Cf. p. 15.
book 515.1 δύνασαι δὲ σὺ πάντος᾽ ἀκούειν: ἡ διπλῆ ὅτι
book 515.2 οὕτως εἴωθε λέγειν πάντοσε ἀκούειν, εἰς πάντα τόπον ἀκού-
book 515.3 ειν ἐπὶ τῶν ἐκ τόπου εἰς τόπον ἀφικνουμένων· πεύθετο
book 515.4 γὰρ Κύπρον δὲ μέγα κλέος (Λ 21) εἰς Κύπρον ἠκούετο
book 515.5.1 (cf. ad Κ 268). διὸ καὶ νῦν κατὰ συναλοιφὴν ἀκουστέον,
book 515.5.2 ἵν᾽ ᾖ τὸ πλῆρες πάντοσε ἀκούειν. A. Ar. 140.
book 522.1 ὁ δ᾽ οὐδ᾽ οὗ παιδὸς ἀμύνει: ἡ διπλῆ ὅτι ἐλλεί-
book 522.2 πει ἡ περί· ἔστι γάρ, οὐδὲ περὶ τοῦ οὗ παιδὸς ἀμύνει (Ean-
book 522.3 dem constructionem v. ad 561 et Σ 171 Didym. L.). οἱ δὲ
book 522.4 ἀγνοήσαντες γράφουσιν ὁ δ᾽ οὐδ᾽ ᾧ παιδὶ ἀμύνει. A.
book 522.5 Cf. p. 26.
book 546.1 Δαναῶν κεχολωμένοι: ἡ διπλῆ ὅτι ἐλλείπει ἡ
book 546.2 περί πρόθεσις, περὶ Δαναῶν. A. Cf. p. 26.
book 553.1 Ἕκτωρ χωόμενος Σαρπηδόνος: ὅτι ἐλλείπει
book 553.2 ἡ περί (p. 26), καὶ ὅτι τὸ χωόμενος ἀντὶ τοῦ συγχεόμενος
book 553.3 (Ar. 147). A.
book 559.1 ἀλλ᾽ εἴ μιν ἀεικισσαίμεθ᾽ ἑλόντες: ἡ διπλῆ
book 559.2 ὅτι ἔξωθεν προσυπακουστέον τὸ καλῶς ἂν ἔχοι· εἰ αὐτὸν
book 559.1 ἀνελόντες ἀεικισαίμεθα, καλῶς ἂν ἔχοι. καὶ ἐν Ὀδυσσείᾳ
book 559.2 ἀτὰρ πελέκεάς γε καὶ εἴ κ᾽ εἰῶμεν ἅπαντας (φ 260).
book 559.5 A. Cod. πελέκεα αἰεὶ κείωμεν.
book 560.1 καί τιν᾽ ἑταίρων Αὐτοῦ ἀμυνομένων: ἡ
book 560.2 διπλῆ ὅτι ἀμφίβολον εἰ λείπει ἡ περί, ἵν᾽ ᾖ περὶ αὐτοῦ (cf.
book 560.3 ad 522), ἢ τοπικῶς ἐκληπτέον τὸ αὐτοῦ, ἐν τῷδε τῷ τόπῳ.
book 560.4 A. Cf. p. 26.
book 574.1 ἐς Πηλῆ᾽ ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπε-
book 574.2 ζαν: ἡ διπλῆ ὅτι οὐκ ἀπολελοίπει ἡ Θέτις τὸν Πηλέως οἶ-
book 574.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κον ὡς οἱ νεώτεροι, ἀλλὰ συνῴκει αὐτῷ. A. Ar. 190.

ὧς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο. καί ῥ' ἔβαλε Σθενέλαον: ἡ διπλῆ ὅτι μεταβέβηκεν ἐκ τοῦ πρὸς τὸν Πάτροκλον λόγου [καὶ] εἰς τὸν περὶ αὐτοῦ· εἴρηκε γὰρ ἔβαλε καὶ οὐχὶ ἔβαλες ὦ Πάτροκλε (cf. p. 16). A. καί alienum est.

αἰγανέης—ταναοῖο: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ταναοῖο εἴρηκεν ἀρσενικῶς ἀντὶ τοῦ ταναῆς (cf. p. 31). A.

τῶν δ' ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει
οὔρεος ἐν βήσσῃς· ἕκαθεν δέ τε γίγνετ' ἀκουή.
ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' εὐποιητάων.

ἡ διπλῆ ὅτι ἀμφιβόλως κεῖται τὸ ὀρώρει, πότερον ἐπὶ τῶν μαχομένων λέγεται, τούτων ὀρώρει ὀρυμαγδὸς ὡς δρυτόμων, ἢ ἐπὶ τῶν δρυτόμων, ὡς δρυτόμων ἀνδρῶν ὀρυμαγδός, οὕτως καὶ τῶν μαχομένων, ὅπερ καὶ βούλεται, ὥστε τὸ ὀρώρει (cod. ὄρωρε) τὸν ἐνεστῶτα χρόνον σημαίνει. A.

ἡ διπλῆ ὅτι προειπὼν ῥινοῦ τε, ὡς ἕτερόν τι διάφορον συμπλέκει βοῶν τε· καὶ ἤτοι ἐξ ἐπαναλήψεως νοητέον λέγεσθαι τὸ αὐτό, ὡς πυκνοὶ καὶ θαμέες (μ 92) καὶ πόλεμόν τε μάχην τε (251)· ἢ τὸν τέ σύνδεσμον περιττὸν νομιστέον, ἵν' ᾖ ῥινοῦ βοῶν, τουτέστι τῶν ἀσπίδων. A. Cf. p. 34 et Ar. 164, 376.

καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος καὶ ἐνταῦθα διεσκεύακε (Ar. 349) γράφων καὶ τότ' ἄρ' ἐξ Ἴδης προσέφη Ζεὺς ὃν φίλον υἱόν, ἵν' ἐκ τῆς Ἴδης προσφωνῇ τὸν ἐν τῷ πεδίῳ Ἀπόλλωνα. γελοῖον δὲ τὸ κραυγάζειν ἀπὸ τῆς Ἴδης τὸν Δία. οὐ νενόηκεν οὖν ὅτι τὰ τοιαῦτα κατὰ τὸ σιωπώμενον ἐνεργούμενα δεῖ παραδέχεσθαι, καθάπερ καὶ ἐν τοῖς ἐπάνω περὶ τῆς Ἥρας (v. 432). A.

βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν (Apollo): ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος καὶ τοῦτον περιῄρηκε, τηρῶν τὸ σύμφωνον ἑαυτῷ (666). A.

Διὸς κρείσσων νόος: ἡ διπλῆ ὅτι τινὲς χωρὶς τοῦ ν γράφουσι κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς σὺν τῷ ν λέγεται. καὶ τὸ κρεῖσσον ἐπὶ τοῦ κατὰ δύ-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναμιν τίθησιν ὁ ποιητής (Ar. 123). A.

ἔνθα τίνα πρῶτον, τίνα δ’ ὕστατον ἐξενάριξας,
Πατρόκλεις—
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον

τοὺς ἕλεν: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει τοὺς ἕλες. ἀγνοεῖ δὲ ὅτι ἀπέστροφε (cod. εφε) τὸν λόγον ἐκ τοῦ πρὸς αὐτὸν ἐπὶ τὸν περὶ αὐτοῦ καὶ πολλάκις ἀποστροφὰς ποιεῖται (cf. p. 16.). A.

Πατρόκλου ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν. Huic asteriscus videtur appositus fuisse propter Λ 180: quod tamen nequaquam pro explorato habendum est. v. ibi.

τρὶς μὲν ἐπ’ ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο: ἡ διπλῆ ὅτι ἀγκῶνος τῆς γωνίας λέγει. A.

ὣς φάτο, Πάτροκλος δ’ ἀνεχάζετο πολλὸν ὀπίσσω: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει τυτθόν. ὁ δὲ αὐτὸς στίχος καὶ ἐπὶ τοῦ Διομήδους κεῖται (E 443). καὶ εὐλόγως ἐκεῖ μὲν γράφεται τυτθόν· συμπάρεστι γὰρ ἡ Ἀθηνᾶ προτρεπομένη θεομαχεῖν· ἐνθάδε δὲ πολλόν· προεντέταλται γὰρ ὁ Ἀχιλλεύς μάλα τόν γε (sic pro τούς γε) φιλεῖ ἑκάεργος Ἀπόλλων (94). A.

αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίῃ ναίεσκε.

ἡ διπλῆ ὅτι Ὅμηρος τὴν Ἑκάβην Δύμαντος, ὁ δὲ Εὐριπίδης Κισσέως (Ar. 185). A.

ἡ διπλῆ ὅτι Ὅμηρος ἑτέραν τὴν Φρυγίαν τῆς Τροίας οἶδεν (Ar. 238). A.

πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη.

τήθεα: ἡ διπλῆ ὅτι ἅπαξ εἴρηκε τήθεα (Ar. 14).

ἔστι δὲ εἶδος θαλασσίων ὀστρέων. πρὸς τοὺς χωρίζοντας· φασὶ γὰρ ὅτι ὁ τῆς Ἰλιάδος ποιητὴς οὐ παρεισάγει τοὺς ἥρωας χρωμένους ἰχθύσιν, ὁ δὲ τῆς Ὀδυσσείας. φανερὸν δὲ ὅτι εἰ καὶ μὴ παράγει χρωμένους, ἴσασιν, ἐκ τοῦ τὸν Πάτροκλον ὀνομάζειν τήθεα. νοητέον δὲ τὸν ποιητὴν διὰ τὸ μικροπρεπὲς παρῃτῆσθαι. καὶ μὴν οὐδὲ λαχάνοις παρεισάγει χρωμένους· ἀλλ’ ὅμως φησὶ δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες (ρ 299). A.

ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ δυσπέμφελοι εἶεν, ὥστε ἐπὶ τῶν ἀνδρῶν εἶναι, οἷον εἰ καὶ δυσάρεστοι εἶεν οἱ συνεσθίοντες, ὡς καὶ Ἡσίοδος πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι (E. 720). βέλτιον δὲ ἐπὶ τῆς θαλάσσης, εἰ καὶ δυσχείμερος εἴη καὶ τραχεῖα· τὴν γὰρ τοῦ κολυμβητοῦ ἐντρέχειαν ἀντιπαρατίθησι τῷ ἀπὸ τοῦ δίφρου κεκυβιστηκότι. καὶ Ἡσίοδος δὲ ἐπὶ τῆς θαλάσσης τέταχε καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται (Θ. 440). AV.

τανυήκεας ὄζους: ἡ διπλῆ ὅτι οὐκ ἐντέτακται ἡ ἀκή, καθάπερ ἐπὶ τοῦ ξίφους τανύηκες ἄορ (473) ἀλλὰ κατὰ παραγωγὴν τανυήκεας ὄζους, οἷον ταναούς, ὡς κελαινεφὲς αἷμα. A. Cf. X 319, Ar. p. 322.

κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων: ὁ ἀστερίσκος ὅτι εἰς τὴν δευτέραν νέκυιαν (ω 40) μετάκειται, οὐχ ὑγιῶς. καὶ ὅτι Ἰακῶς λελασμένος ἀντὶ τοῦ λελησμένος, πρὸς τὸ ἐν καρὸς αἴσῃ (I 378), ὅτι ἀντὶ τοῦ ἐν κηρὸς μοίρᾳ. A.

ἀλλ’ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος, ἔνθ’ ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή: ἡ διπλῆ ὅτι ἀπέστροφε τὸν λόγον ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ (cf. p. 16.). A. Immo ἐκ τοῦ περὶ αὐτοῦ εἰς τὸν πρὸς αὐτόν.

τοῦ δ’ ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων. Notatus fuit quod videbatur discrepare a P 125.

πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος: ἡ διπλῆ ὅτι τὸ πᾶν ἀντὶ τοῦ ὅλον (Ar. 130). A.

σχεδόθεν βάλε Δάρδανος ἀνήρ: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει σχεδὸν οὔτασε Δάρδανος ἀνήρ. ἀγνοεῖ δὲ ὅτι ἐκ βολῆς τέτρωται, ὡς διὰ τῶν ἑξῆς δείκνυται ὅς τοι (sic) πρῶτος ἐφῆκε βέλος (812) cf. P 15. A. p. 63 et de scholio quod est in V. ad hunc versum p. 71.

καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ’ ἵππων,
πρῶτ’ ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο
ὅς τοι πρῶτος ἐφῆκε βέλος Πατρόκλεις ἱππεῦ.

ἡ διπλῆ ὅτι σύνηθες ἦν τοῖς ἀρχαίοις ἁρματομαχεῖν, ἐσφαιρωμένοις δόρασι χρωμένους, καὶ ἀνατρέπειν ἐκ τῶν ὀχημάτων. ὁ δὲ Διονύσιος οὐκ ἐπὶ μελέτης, ἀλλ’ ὅτι ἀνεῖλε πρώτως εἰς πόλεμον παραγενόμενος. A.

ὅτι βέβληται καὶ οὐκ οὔτασται, ὡς Ζηνόδοτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(807). βέλος γοῦν κέκληκε διὰ τὸ βεβλῆσθαι (Ar. 65). καὶ
book 812.3 πρὸς τὴν ἀποστροφήν (p. 16). A.
book 819.1 (Patroclum) βεβλημένον ὀξέι χαλκῷ: ὅτι ὁμόλο-
book 819.2 γον τῷ βεβλῆσθαι αὐτόν (Ar. 65). A.
book 822.1 δούπησεν δὲ πεσών: ἡ διπλῆ ὅτι ἐκ τῶν τοιού-
book 822.2 των ἀπεδέξαντο οἱ γλωσσογράφοι (Ar. 45) τὸ δουπῆσαι ἓν
book 822.3 ἀνθ’ ἑνὸς ἀντὶ τοῦ ἀποθανεῖν, ἀγνοοῦσι δὲ ὅτι οὐκ ἐπὶ παν-
book 822.4 τὸς θανάτου τάσσει τὴν λέξιν, ἀλλ’ ἐπὶ τῶν ἐν πολέμῳ
book 822.5.1 πιπτόντων διὰ τὸν παρακολουθοῦντα ψόφον ἐκ τῶν ὅπλων
book 822.5.2 (Ar. 110). A.
book 828.1 Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν
book 828.2 ἀπηύρα: ὅτι οὗτος μὲν οὔτασεν, ὁ δὲ Εὔφορβος βέβληκεν
book 828.3 (Ar. 65). A.
book 850.1 ἀλλά με μοῖρ’ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,
book 850.2 ἀνδρῶν δ’ Εὔφορβος, σὺ δέ με τρίτος ἐξεναρί-
book 850.3 ζεις: ἡ διπλῆ πρὸς τὸ ζητούμενον· τέσσαρας γὰρ (immo
book 850.4 τρεῖς) προειπὼν ἐπιφέρει σὺ δέ με τρίτος. τὴν δὲ κοινὴν
book 850.5.1 πᾶσι παρεπομένην μοῖραν οὐκ ἀριθμεῖ, αὐτοὺς δὲ τοὺς ἐπε-
book 850.5.2 νεγκόντας αὐτῷ χεῖρας. A.
book 856.1 ψυχὴ δ’ ἐκ ῥεθέων πταμένη: ἡ διπλῆ ὅτι πάντα
book 856.2 τὰ μέλη ῥέθη Ὅμηρος προσαγορεύει. οἱ δὲ Αἰολεῖς μόνον
book 856.3 τὸ πρόσωπον. A. Ar. 153.
book h1-2.1 οὐδ’ ἔλαθ’ Ἀτρέος υἱὸν ἀρηίφιλον Μενέλαον
book h1-2.2 Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηιοτῆτι.
book 1.1 οὐδ’ ἔλαθε: καθ’ ὑπερβατόν, οὐκ ἔλαθε δέ. A. ? Cf.
book 1.2 ad X 91.
book 2.1 Τρώεσσι: ἀμφίβολον πότερον Τρώεσσι συνήθως κατὰ
book 2.2 ἐναλλαγὴν πτώσεως παρείληπται, ἀντὶ τοῦ Τρώων, ὡς
book 2.3 Αἴαντι δὲ μάλιστα (Ξ 459) ἀντὶ τοῦ Αἴαντος, καὶ ἔστι
book 2.4 δαμεὶς ἐν Τρώων δηιοτῆτι, ἐν τῇ τῶν Τρώων μάχῃ (cf. p. 22)
book 2.5.1 ἢ ὡς τὸ ἢν μὴ καὶ σὺ θάνῃς Ἀχιλῆι δαμασθείς (X 55)
book 2.5.2 οὕτως Τρώεσσι δαμασθείς ἀντὶ τοῦ ὑπὸ Τρώων (cf. p. 24). A.
book 2.5.3 ἤ ante ὡς τό inserui.
book 4.1 ἀμφὶ δ’ ἄρ’ αὐτῷ βαῖν’ ὥς τις περὶ πόρτακι
book 4.2 μήτηρ: τὸ σημεῖον πρὸς τὸ ὃς Χρύσην ἀμφιβέβηκας
book 4.3 (A 37). V.
book 7.1 πρόσθε δέ οἱ δόρυ τ’ ἔσχε: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 7.2 οὗ, ὅ ἐστιν αὐτοῦ. Ζηνόδοτος πρόσθε δέ οὑ, κακῶς. A.
book 7.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Cf. p. 23.

οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ’ ἐπικούρων

Πάτροκλον βάλε δουρί (Euphorbus loquitur): ἡ διπλῆ ὅτι βέβληται ὁ Πάτροκλος ὑπὸ Εὐφόρβου καὶ οὐκ οὔτασται, καθάπερ Ζηνόδοτος γράφει σχεδὸν οὔτασε Δάρδανος ἀνήρ (Π 807). A. Cf. p. 65.

οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ’, ὅτε μ’ ὤνατο καί μ’ ὑπέμεινεν.

(Menelaus loquitur): τὸ σημεῖον Διονύσιος διὰ τὸν Ὑπερήνορά φησιν (Ar. 8): προείρηται γὰρ Ἀτρείδης δ’ ἄρ’ ἔπειθ’ Ὑπερήνορα ποιμένα λαῶν οὔτασε (Ξ 516). καὶ ἴσως κατὰ τὸ σιωπώμενον ἐκεῖ αὐτὸν ὠνείδισεν. A.

ἀλλά ς’ ἔγωγ’ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ’ ἀντίος ἵστας’ ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.

ὁ ἀστερίσκος ὅτι ἄμεινον τὰ ἔπη ταῦτα λέγεται ὑπὸ Μενελάου, ἐπὶ δὲ τῆς Ἀχιλλέως πρὸς Αἰνείαν συστάσεως (Υ 196) οὐκέτι· ἐπεξεληλυθὼς γὰρ μόνον οὐχὶ συναρπάσαι ἂν τὴν πόλιν ἕνεκα τῆς Πατρόκλου ἀναιρέσεως. A. ἄν ins. L.

ἦ μάλα τίσεις

γνωτὸν ἐμὸν ὃν ἔπεφνες: ἡ διπλῆ ὅτι ἰδίως ἐξενήνοχεν· ἔστι γὰρ μάλα τίσεις περὶ τοῦ ἐμοῦ γνωτοῦ δίκας περὶ οὗ ἔπεφνες. τίσεις μου τὸν ἀδελφόν. A. Scholion decurtatum variis modis refingi potest, v. c.: περὶ τούτου ὃν ἔπεφνες, ἀνθ’ οὗ εἴρηκε τίσεις μου τὸν ἀδελφόν. De accusativo pro περί cum genetivo v. p. 25.

ἦ κέ σφιν (τοκεῦσι) δειλοῖσι γόου κατάπαυμα

γενοίμην: ἡ διπλῆ ὅτι δειλοῖσιν εἶπεν ἀντὶ τοῦ δειλαίοις. A.

ἂψ δ’ ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
νύξ’, ἐπὶ δ’ αὐτὸς ἔρεισε.

στομάχου θέμεθλα: οὐ λέγει τὸ στόμα τῆς κοιλίας, καθάπερ ἡμεῖς, ἀλλὰ τὸν βρόγχον, οἷον τὰ ἔσχατα μέρη τοῦ λαιμοῦ. ἐπιφέρει γοῦν ἀντικρὺ δ’ ἁπαλοῖο δι’ αὐχένος (49). A. Ar. 153.

ἡ διπλῆ πρὸς τὸ αὐτός· οὐ γάρ ἐστι περὶ ἑτέρου ὁ λόγος. A.

αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλοχμοί θ’ οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
book 51.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει χαρί-
book 51.2 τεσσι μέλαιναι, ἀδιανόητον ποιῶν. A.
book 52.1 Adnotatio fuit de more barbarorum capillos aureis et
book 52.2 argenteis ornatibus innectendi: B 872, Λ 385.
book h70-1.1 ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοίδαο
book h70-1.2 Ἀτρείδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων.
book 70.1 ἡ διπλῆ ὅτι τοὺς χρόνους ἐνήλλαχε καὶ τὰ ῥήματα
book 70.2 ἔδει γὰρ φάναι, τότε δ’ ἂν ῥᾳδίως ἔφερεν (cod. ον). A. Cf. p. 7.
book 71.1 τὸ ἀγάσσατο νῦν ἀντὶ τοῦ ἐφθόνησεν, οὐκ ἀντὶ
book 71.2 τοῦ ἐθαύμασεν. A. Ar. 150. οὐκ scripsi pro καί.
book 73.1 Κικόνων ἡγήτορι Μέντῃ: ὅτι τοῦτον τὸν Μέν-
book 73.2 την ἐν τῷ Τρωικῷ διακόσμῳ οὐ παραδέδωκεν, ἀλλὰ Εὔφη-
book 73.3 μον μόνον· Εὔφημος δ’ ἀρχὸς Κικόνων ἦν αἰχμητάων
book 73.4 (B 864), ὡς ἂν πλείοσιν ἡγεμόσι χρωμένων. A.
book 80.1 Πατρόκλῳ περιβὰς Τρώων τὸν ἄριστον ἔπε-
book 80.2 φνεν (Euphorbum): πρὸς τὴν περίβασιν (A 37). Τρὼς ἄρα
book 80.3 ὁ Εὔφορβος. ἀλλὰ καὶ Δάρδανος· οἱ ἄρα Δάρδανοι Τρῶες
book 80.4 (Ar. 235). καὶ ὅτι ἀντὶ τοῦ τὸν ἐν τοῖς Τρωσὶν ἄριστον·
book 80.5.1 οὐ γάρ ἐστιν ὡς Μυρμιδόνων τὸν ἄριστον (Σ 10). A.
book 80.5.2 Cf. p. 31.
book 86.1 οὐταμένην ὠτειλήν: ἡ διπλῆ ὅτι παρητυμολό-
book 86.2 γησεν τὸ ὄνομα. A. Ar. 69.
book 92.1 κεῖται ἐμῆς ἕνεκ’ ἐνθάδε τιμῆς: ἡ διπλῆ ὅτι
book 92.2 ἡ τιμὴ ἀντὶ τῆς τιμωρίας καὶ νῦν (A 159) τέτακται· ἕνεκα
book 92 ἐμοῦ κεῖται τιμωρούμενος τοὺς Τρῶας (Ar. 153). A.
book 93.1 μή τίς μοι Δαναῶν νεμεσήσεται: ἀντὶ τοῦ
book 93.2 νεμεσήσηται. A. Cf. p. 13.
book 112.1 (cor leonis) παχνοῦται, ἀέκων δέ τ’ ἔβη ἀπὸ
book 112.2 μεσσαύλοιο: ἡ διπλῆ ὅτι τὴν κατὰ ἀγρὸν ἔπαυλιν μέσ-
book 112.3 σαυλον· οἱ δὲ Ἀττικοὶ τὴν μέσην θύραν τῆς αὐλῆς, τὴν
book 112.4 διορίζουσαν τήν τε γυναικωνῖτιν καὶ τὸν ἀνδρῶνα (Ar. 153).
book 112.5.1 τὸ δὲ παχνοῦται, πήγνυται, φρίσσει, ἀπὸ τῆς μάχης διὰ
book 112.5.2 τὴν αὐλήν (? ἀπὸ τῆς πάχνης διὰ τὴν λύπην ? L.) A.
book 115.1 Αἴαντα μέγαν, Τελαμώνιον υἱόν: ὅτι πάλιν
book 115.2 μέγαν εἶπε τὸν Τελαμῶνος Αἴαντα κατὰ σύγκρισιν τοῦ Ὀι-
book 115.3 λιάδου· ἐκεῖνος γὰρ μικρότερος· μείων οὔ τι τόσος γε
book 115.4 ὅσος Τελαμώνιος (B 528). A. Ar. 8 sq.
book 125.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε’ ἀπηύρα, ἕλχ’, ἵν’ ἀπ’ ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῷ. Aristonicus sic fere scripsit: ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· οὐ γὰρ αὐτὸς ἦν ὁ Ἕκτωρ ὁ σκυλεύσας τὸν Πάτροκλον, ἀλλ’ ἀπ’ αὐτοῦ περιόντος ἀφείλετο τὰ ὅπλα πρώτως Ἀπόλλων, ὁ δὲ αὐτὸν γυμνὸν ἔτρωσε· λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων (Π 793). ὁ δὲ Διονύσιος τὸ σημεῖόν φησιν, ὅτι ἤλλακται πτῶσις Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε’ ἀπηύρα ἀντὶ τοῦ Πατρόκλου (cf. p. 21). A. In cod. hoc schol. sic incipit: ἡ διπλῆ ὅτι ἔοικε παρεπιτιμῶντι ὁ Ἀρίσταρχος τῷ Ὁμήρῳ· οὐ γάρ—de quo v. Ar. 17. Ego scripsi πρώτως pro οὕτως: v. ad Π 810.

ἡ διπλῆ ὅτι νῦν (sed non Σ 155 L.) οἰκείως ἔχει τὴν ὄρεξιν ταύτην ὁ Ἕκτωρ ἕλκειν, ἵνα ἀφέληται τὴν κεφαλήν, τὸ δὲ σῶμα τοῖς κυσὶ ῥίψῃ· οὐδέπω γὰρ ὁ Γλαῦκος ὠνείδισεν αὐτὸν ὡς ἀμελοῦντα τῶν συμμάχων, ὅτι τὸ Σαρπηδόνος σῶμα ὑπὸ τοῖς Ἀχαιοῖς ἀφῆκε γενέσθαι· δεῖν οὖν πολεμήσαντα καὶ ἀνθελκύσαντα τὸν Πάτροκλον ῥυσιάσαι (163) μέχρι ἂν ἀποδῶσιν ἐκεῖνοι τὸν νεκρὸν τοῦ Σαρπηδόνος καὶ τὰ τεύχη, ἀντικομιζόμενοι τὸν Πάτροκλον· δοκοῦσι γὰρ τὸν Σαρπηδόνα ὑπὸ τῶν Ἀχαιῶν ἦρθαι καὶ κεῖσθαι ἐπὶ τῶν νεῶν, οὐκ εἰδότες ὅτι ὑπὸ Ἀπόλλωνος εἰς Λυκίαν ἀναρπασθεὶς ἀποκεκόμισται. A.

(leo) ᾧ ῥά τε νήπι’ ἄγοντι συναντήσωνται ἐν ὕλῃ
ἄνδρες ἐπακτῆρες· ὁ δέ τε σθένεϊ βλεμεαίνει,
πᾶν δέ τ’ ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων:

παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ οὐκ ἦσαν οἱ γʹ στίχοι. ἴσως φασὶν ἔνιοι, ὅτι οἱ ἄρσενες λέοντες οὐ σκυμναγωγοῦσιν, ἀλλὰ θήλειαι μόναι. κατὰ δὲ τὸ ἀρσενικὸν καὶ ἐπὶ τῆς θηλείας τέτακται ὁ λέων, καὶ ἔστιν ἐπίκοινον. A. Hoc recepimus quamquam Didymi esse videtur: quoniam Aristonicum aut eadem aut similia adnotasse certum est.

κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι: ἡ διπλῆ ὅτι τὰ ἑλώρια οὐκ ἔστι βρώματα, ὡς οἱ γλωσσογράφοι (Ar. 44) ἀλλ’ ἑλκύσματα (Ar. 110). A.

νῦν δ’ οὔ οἱ (Sarpedoni) ἀλαλκέμεναι κύνας ἔτλης: ἡ διπλῆ ὅτι ὑπόνοια τοῖς Τρωσὶν ἐγένετο ὡς κυνοβρώτου τοῦ σώματος ἐσομένου, εἰ μὴ τὸν Πάτροκλον ἀν-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θελκύσαιεν καὶ ὑφ’ αὐτοὺς ἔχοιεν εἰς ἀνταπόδοσιν τῶν περὶ
book 153.5.1 Σαρπηδόνος· ἄριστος γὰρ οὗτος, ὥστε μὴ ἀμεληθῆναι τὴν
book 153.5.2 ἀνακομιδὴν τοῦ σώματος αὐτοῦ, ἐξ οὗ συνέβαινεν ἀνταπο-
book 153.5.3 δίδοσθαι τὸν Σαρπηδόνα. διὸ ἐπιφέρει τοίου γὰρ θερά-
book 153.5.4 πων πέφατ’ ἀνέρος, ὃς μέγ’ ἄριστος Ἀργείων παρὰ
book 153.5.5 νηυσί (164). A. τῶν περὶ Σαρπηδόνος scripsi pro τὴν περί. —
book 153.10.1 συνέβαινεν est συνέβαινεν ἄν: v. ad B 328.
book 153.10.2 ἡ διπλῆ [περιεστιγμένη, quae apparet in textu L.] ὅτι
book 153.10.3 Ζηνόδοτος γράφει κύον ἔτλης. ἄλογον δέ. A.
book 162.1 αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλά
book 162.2 λύσειαν, καί κ’ αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω: ἡ
book 162.3 διπλῆ ὅτι οὐκ ἴσασιν οἱ περὶ τὸν Γλαῦκον εἰ ἀποκεκόμισται
book 162.4 ὁ Σαρπηδὼν εἰς Λυκίαν, ὑπὸ τοῦ ὕπνου καὶ τοῦ θανάτου·
book 162.5.1 διό φησιν ἀντιρυσιάσαι τὸν Πάτροκλον, ὡς ἀνακομίσαι τὸν
book 162.5.2 Σαρπηδόνα. A. ὡς ἀνακομίσαι scripsi pro ἕως ἂν κομίσαι.
book h171-3.1 ὢ πόποι, ἦ τ’ ἐφάμην σε περὶ φρένας ἔμμεναι
book h171-3.2 ἄλλων,
book h171-3.3 τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσιν·
book h171-3.4 νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες.
book 172.1 μεμείωκε τὴν ἔμφασιν καὶ τὰ τοιαῦτα εἴωθεν ἀθε-
book 172.2 τεῖν ὁ Ἀρίσταρχος (Ar. 360). A.
book 173.1 ὅτι νῦν μὲν ὀρθῶς ἔχει, ἐν δὲ τῇ Ξ (95) κακῶς
book 173.2 ἐντεῦθεν μετενήνεκται. A.
book 178.1 ἀφείλετο νίκην
book 178.2 ῥηιδίως, ὅτε δ’ αὐτὸς ἐποτρύνει μαχέσα-
book 178.1 σθαι: ἡ διπλῆ ὅτι ἀκαταλλήλως καὶ ἰδίως ἐπενήνοχε τὸ ὅτε
book 178.2 δ’ αὐτός· ἔδει γὰρ ἢ οὕτως εἰπεῖν, τότε δ’ αὐτὸς ἐποτρύνει,
book 178.5.1 ἢ προσληπτέον ἔξωθεν τὸ ἔστιν, ὥστε γίνεσθαι τὸ πλῆρες
book 178.5.2 ἔστι δ’ ὅτε καὶ αὐτὸς ἐποτρύνει μάχεσθαι. A.
book 193 Ἴλιον ἱρήν: ὅτι θηλυκῶς εἶπε τὴν Ἴλιον. A.
book 197.1 γηράς: ἡ διπλῆ ὅτι [οὕτως εἰώθασι σχηματίζειν]
book 197.2 ἀντὶ τοῦ γηράσας. A. Quae inclusimus, adscripsit aliquis ad-
book 197.3 moniturus aut omnino tales syncopas usitatas esse, ut ἐπιπλώς
book 197.4 et ὑποφθάς quae in B feruntur, aut in hoc ipso verbo cujus
book 197.5.1 omnes casus in Etymol. feruntur. Aristonicus autem fortasse
book 197.5.2 non tantum rariorem formam notavit, sed ex hoc versu ubi
book 197.5.3 juncta sunt γηράς—ἐγήρα confirmari voluit, γηράς Homero
book 197.5.4 ab γηράω duci, ut paretymologias notare solet: v. c. Z 192
book 197.5.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξ 518 Ρ 86. L.
book h201-2.1 ἆ δείλ’, οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
book h201-2.2 ὃς δή τοι σχεδὸν εἶσι.
book 201.1 ἡ διπλῆ ὅτι οὕτως εἴρηκε καταθύμιος, ἀντὶ τοῦ
book 201.2 κατὰ ψυχήν ἐστιν, οὐ μεριμνᾷς περὶ τοῦ θανάτου. ἡμεῖς
book 201.3 δὲ ἐν τῇ συνηθείᾳ λέγομεν καταθύμιον τὸ ἀρεστόν (Ar. 149). A.
book 202.1 οὐχ οὕτως παρείληπται ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ
book 202.2 τάσσομεν διστακτικῶς τὸ σχεδόν, ἀλλ’ ἀντὶ τοῦ ἐγγύς
book 202.3 (Ar. 100). A.
book 211.1 (Ἄρης) δεινὸς Ἐνυάλιος: ἡ διπλῆ ὅτι ἐπιθε-
book 211.2 τικῶς ἀπὸ τῆς Ἐνυοῦς πολεμικῆς οὔσης ὁ Ἄρης Ἐνυάλιος,
book 211.3 ὡς καὶ Ἀρήϊός τις ἀπὸ τοῦ Ἄρεως· οὐχ ὡς οἱ νεώτεροι
book 211.4 Ἐνυοῦς υἱόν, οὐδὲ ὡς Ἀττικοὶ διαφέροντα τοῦ Ἄρεως θεόν
book 211.5 τινα. A. Cod. οὐδὲ Ἀττικοὶ ὡς διαφέροντα. Corr. L. Ar. 181.
book 218.1 Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν: ὅτι
book 218.2 τὸν ἐν τῷ διακόσμῳ Χρόμιν εἰρημένον (Μυσῶν δὲ Χρό-
book 218.3 μις ἦρχε Β 858) νῦν Χρομίον εἴρηκε διὰ τὸ μέτρον. ὁ
book 218.4 δὲ Διονύσιος, εἴ τις ζητοίη φησὶ πότερον παραπεποίηται,
book 218.5.1 εἴποιμεν ἂν τὸν Χρομίον· εὔλογον γὰρ ἐκεῖ τὸ ὄνομα πρῶ-
book 218.5.2 τον—A. Addendum videtur:—εἰρημένον ὑγιὲς εἶναι. L.
book 218.5.3 καὶ ἕτερον παραδίδωσιν Ἔννομον ὑπὸ Ὀδυσσέως ἀνῃ-
book 218.5.4 ρημένον (Λ 422). A.
book 220.1 κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων.
book 220.2 οὐ γὰρ ἐγώ—: ἡ διπλῆ ὅτι ἀπὸ τοῦ γάρ ἤρξατο, ὡς
book 220.3 καὶ ἐπ’ ἐκείνου ὦ φίλοι, οὐ γάρ τ’ ἴδμεν ὅπῃ ζόφος
book 220 (κ 190). A.
book 237.1 καὶ τότ’ ἄρ’ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέ-
book 237.2 λαον: ἡ διπλῆ ὅτι ἡ πρός ἐλλείπει, ἵν’ ᾖ προσεῖπε τὸν
book 237.3 Μενέλαον. καὶ ἐν Ὀδυσσείᾳ (ψ 191) ἧστο κάτω ὁρόων,
book 237.4 ποτιδέγμενος εἴ τί μιν εἴποι, προσείποι. A. Cf. p. 26.
book 240.1 οὔ τι τόσον νέκυος πέρι δείδια Πατρόκλοιο:
book 240.2 ἡ διπλῆ ὅτι ἄδηλον πότερον περὶ νέκυος Πατρόκλου ἢ περὶ
book 240.3 Πατρόκλου τοῦ νέκυος γεγονότος. ἀναστρεπτέον δὲ τὴν πρό-
book 240.4 θεσιν, ὅπως τὸ ἑξῆς γένηται περὶ νέκυος. A.
book 242.1 ὅσσον ἐμῇ κεφαλῇ περὶ δείδια. Herodianus:
book 242.2 ἐνθάδε οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ἐπεὶ δοκεῖ ἀντὶ
book 242.3 τῆς ὑπέρ κεῖσθαι καὶ ἐνηλλάχθαι πτῶσις· ἀντὶ γὰρ τοῦ ὑπὲρ
book 242.4 ἐμῆς κεφαλῆς. —διὸ καὶ σημεῖον παράκειται. A. Scilicet
book 242.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

propter commutatum casum, non propter commutatam praepo-
book 242.5.2 sitionem. Lehrs qu. ep. 90, not. Cf. p. 23.
book 250.1 ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
book 250.2 οἵ τε παρ’ Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
book 250.3 δήμια πίνουσιν: πρὸς τὴν ἀποστροφήν· οὐ γὰρ
book 250.4 εἶπε πίνετε (cf. p. 17). δήμια δὲ τὰ παρὰ τοῦ δήμου ἐξαι-
book 250.5 ρέτως διδόμενα τοῖς βασιλεῦσιν. A.
book h260-1.1 τῶν δ’ ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ’ εἴποι,
book h260-1.2 ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
book 260.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος τοῦτον καὶ
book 260.2 τὸν ἑξῆς ἠθέτηκεν. οὐδὲν δὲ ἔχουσιν εἰς ἐπαιτίασιν, ἀλλ’
book 260.3 αὔξουσι τὸ μέγεθος τῆς ὑπὲρ Πατρόκλου μάχης. A.
book 272.1 μίσησεν δ’ ἄρα μιν δηίων κυσὶ κύρμα γε-
book 272.2 νέσθαι. μίσησε: ἰδίως κέχρηται τῇ λέξει, καὶ ἅπαξ γε νῦν
book 272.3 μόνον. λέγει δὲ μισητὸν ἡγήσατο ἐγκύρημα γενέσθαι κυσὶ
book 272.4 τὸν Πάτροκλον. A.
book 272.5.1 A versu 277 ad 577 eadem recentiori manu quae versus
book 272.5.2 trecentos et unum supplevit Iliados E, adjectis itidem sex mem-
book 272.5.3 branis, non sine mendis codex descriptus est. Villoiso. Unde
book 272.5.4 etiam hic omnia genuina Aristonici scholia perierunt.
book 291-92 Hic recte leguntur, non O 449, ubi v. L.
book 306.1 Σχεδίον μεγαθύμου Ἰφίτου υἱόν. De Sche-
book 306.2 dio homonymo v. B 517.
book 307.1 ἐν κλειτῷ Πανοπῆι. De forma nominis Πανο-
book 307.2 πεύς v. B 520.
book 392.1 διαστάντες τανύουσιν
book 392.2 κυκλός’, ἄφαρ δέ τε—: Ζηνόδοτος κύκλῳ,
book 392.3 Ἀρίσταρχος κύκλος ὡς πληθὺς ἀπονέοντο (O 305):
book 392.4 καὶ ἐπὶ Μενελάου ὁμοίως ἐν τῇ Δ 212 (ubi revera κύκλος
book 392.5.1 ab eo scriptum esse testatur Herodianus). V. Haec fluxerunt ex
book 392.5.2 Aristonico. Quae sequuntur in eodem cod. (οἱ δὲ ἄλλοι ἐπίρ-
book 392.5.3 ρημα, καὶ παροξύνουσιν) Herodiani videntur esse; ultima (ἀλλ’
book 392.5.4 ἔδει κυκλόφι) de suo addidit.
book 404.1 τείχει ὕπο Τρώων: Ζηνόδοτος ἀπὸ τοῦ τείχει
book 404.2 ὕπο Τρώων ἕως τοῦ χάλκεον οὐρανόν (425) οὐ γράφει.
book 404.3 Ἀρίσταρχος μόνον ἀθετεῖ ὣς δέ τις αὖ Τρώων (420). V.?
book 456.1 ὣς εἰπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠύ:
book 456.2 οὕτως Ἀρίσταρχος. Ζηνόδοτος δὲ μένος πολυθαρσὲς
book 456.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνῆκε καὶ προστίθησιν αὐτὸς δ' Οὔλυμπον δὲ μετ' ἀθα-
book 456.4 νάτοισι (?) βεβήκει. V.?
book 545.1 (Minerva) οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ
book 545.2 εὐρύοπα Ζεύς: Ζηνόδοτος ἀθετεῖ. τινὲς οὐδὲ γράφουσι.
book 545.3 πῶς γὰρ ἐν τῇ Ἴδῃ ὢν ὁ Ζεὺς αὐτὴν πέμπει, ἡ δὲ οὐρα-
book 545.4 νόθεν κάτεισιν; ἢ ὅτι οὐρανὸν τὸν ὑπερνέφιον ὀνομάζει
book 545.5.1 τόπον (ut Idae quoque cacumina sicut Olympi ultra nubes ex-
book 545.5.2 tendantur in illas regiones, quas etiam οὐρανόν dicit, Ar. 171). V.?
book 582.1 Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλ-
book 582.2 λων: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει Ἕκτορα δὲ φρένα
book 582.3 δῖος Ἄρης ὄτρυνε μετελθών. πόθεν δὲ οὕτως ὁ Ἄρης
book 582.4 ἐξαίφνης πάρεστι; A.
book 587.1 (Apollo in Phaenopis persona loquitur:)
book 587.2 οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
book 587.3 μαλθακὸς αἰχμητής: τὸ σημεῖον ὅτι οὐχ ὡς τῷ ὄντι
book 587.4 μαλθακοῦ αἰχμητοῦ ὄντος τοῦ Μενελάου ληπτέον, ἀλλὰ τὸ
book 587.5.1 πρόσωπον πολέμιον ὂν εἰς διαβολὴν λέγει· ἀρηίφιλον γὰρ ὁ
book 587.5.2 ποιητὴς αὐτὸν καλεῖ (Γ 52). AB. Hoc ideo videtur annotasse,
book 587.5.3 quia mite et placabile Menelai ingenium multos sine dubio in-
book 587.5.4 duxit interpretes, ut imbecillem eum vel inertem a poeta fingi
book 587.5.5 opinarentur, locis quibusdam speciosis qualis hic est, utentes
book 587.10 ad sententiam firmandam.
book h593-5.1 καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσσανόεσσαν
book h593-5.2 μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν,
book h593-5.3 ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξεν
book 594.1 ἡ διπλῆ ὅτι ἴδιον ὑποτίθεται τῆς αἰγίδος τὸ
book 594.2 ἀνέμων ποιεῖν συστροφάς. ἀπὸ τοῦ αὐτοῦ δὲ καταιγίδες αἱ
book 594.3 πνοαὶ αἱ κάτω ἀίσσουσαι. A. Post συστροφάς excidit opinor
book 594.4 ἀπὸ τοῦ ἀίσσειν. Fortasse etiam scripsit deinde: αἰγίδες καὶ
book 594.5 καταιγίδες, cf. ad B 148. L. Ceterum v. Ar. 192.
book 595.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει γῆν
book 595.2 δ' ἐτίναξε· οὐκ εὖ· ταύτην γὰρ ἐπισείων ἀνέμους ποιεῖ, διὸ
book 595.3 λέγει αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν (Δ 167).
book 595.4 A. οὐκ εὖ ins. L.
book 597 φόβοιο: ἡ διπλῆ ὅτι ἀντὶ φυγῆς (Ar. 89). A.
book 599.1 (βλῆτο γὰρ ὦμον) ἄκρον ἐπιλίγδην: ἡ διπλῆ
book 599.2 ὅτι τὸ ἐπιλίγδην μεσότητός ἐστιν. καὶ ὅτι νῦν ἅπαξ καὶ ἐν
book 599.3 Ὀδυσσείᾳ (χ 278) λίγδην ἄκρον δέ (Ar. 14). A. Cf. Suid.
book 599.4

sub ἄκρον L.

book 602.1 Ἀλεκτρυόνος: ἡ διπλῆ ὅτι οὐκ εἴρηται παρὰ
book 602.2 τὸν ἀλεκτρυόνα τὸ ζῷον τὸ ὄνομα· οὐδέπω γὰρ ἔγνωστο. A.
book 608.1 Ἰδομενῆος ἀκόντισε: τὸ σημεῖον ὅτι ἐπ' Ἰδο-
book 608.2 μενέα (cf. p. 24). A.
book 628.1 τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος
book 628.2 Αἴας: ὅτι ἐπὶ δύο τὸ τοῖσι. V. ad Φ 287. Cf. Pal. ε 202 η 47.
book 632.1 Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει: τὸ ἔμπης ἀντὶ
book 632.2 τοῦ ὁμοίως τέτακται („quod videtur Aristonici esse“ Ar. 145). A.
book 639.1 οὐδ' ἔτι φασίν
book 639.2 Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
book 639.3 σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνησιν πεσέεσθαι:
book 639.4 ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, αὐτοὺς ἐμπεσεῖσθαι ταῖς ναυ-
book 639.5.1 σίν ἢ τὸν Ἕκτορα. πιθανώτερον δὲ τὸν Ἕκτορα. ἐμπε-
book 639.5.2 σεῖσθαι ἐνσείσειν. A. Ita Pluyg. p. 1 in cod. legi dicit; edi-
book 639.5.3 tores: Ἕκτορα ἐμπεσεῖσθαι ταῖς ναυσί. Cf. ad I 235 Λ 824
book 639.5.4 M 107 O 56.
book 644.1 ἠέρι γὰρ κατέχονται: ἡ διπλῆ ὅτι ἀέρα τὴν
book 644.2 σκοτίαν καλεῖ (V. ad 649, Ar. 109). A.
book 649.1 αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν
book 649.2 ὀμίχλην: ἡ διπλῆ ὅτι σαφῶς τὴν σκοτίαν ἀέρα λέγει· ἔστι
book 649.3 γὰρ ταὐτὸν τῷ ὀμίχλῃ· καὶ ἀπῶσε τὸν ἀέρα, ὅ ἐστι ὀμίχλην
book 649.4 (Ar. 109). A.
book 651 καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Με-
book 651.1 νέλαον: ἡ διπλῆ ὅτι οὐκ εἶπε βοὴν ἀγαθῷ Μενελάῳ ἀλλὰ
book 651.2 κατὰ παράλειψιν τῆς προθέσεως, πρὸς βοὴν ἀγαθὸν Με-
book 651.3 νέλαον. A. Cf. p. 26.
book h657-8.1 βῆ δ' ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
book h657-8.2 ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρε-
book h657-8.3 θίζων—
book 657 μεσσαύλοιο: τῆς ἐπ' ἀγρῷ ἐπαύλεως (Ar. 153). A.
book 658 ὅτι ὁ κέ περισσὸς ἢ ὑφ' ἓν κεκάμῃσι (cf. p. 11). A.
book h666-7.1 περὶ γὰρ δίε, μή μιν Ἀχαιοί
book h666-7.2 ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηίοισι λίποιεν.
book 667.1 πρὸ φόβοιο: ὅτι ἀντὶ τοῦ ὑπὸ φόβου, ὅ ἐστιν
book 667.2 ὑπὸ φυγῆς (Ar. 89) καὶ ὅτι ἕλωρ ἕλεμα (Ar. 110). A.
book h679-81.1 ὣς τότε σοὶ Μενέλαε διοτρεφὲς ὄσσε φαεινώ
book h679-81.2 πάντόσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
book h679-81.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
book 681.1 οὕτως αἱ Ἀριστάρχειοι, ἴδοιτο. τίς; τὰ προκεί-
book 681.2 μενα ὅσσε; διὸ καὶ τὸ σημεῖον. ἢ νοητέον ἀποστροφὴν λό-
book 681.3 γου ἀπὸ τοῦ πρὸς τὸν Μενέλαον εἰς τὸν περὶ αὐτοῦ λόγον.
book 681.4 A. Ita scripsi pro ἀποστρ. λ. πρὸς τὸν Μενέλαον ἀπὸ τοῦ
book 681.5.1 περὶ αὐτοῦ λόγου. Cf. p. 16. Ceterum non tantum Aristonici
book 681.5.2 verba mutata, sed etiam illa prior explicatio an Aristarchea sit,
book 681.5.3 non caret dubio.
book 694.1 Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας:
book 694.2 κατεστύγνασεν, ἠνιάθη (haec certe Aristonici explicatio: v.
book 694.3 O 183). A.
book 700.1 τὸν μὲν δακρυχέοντα πόδες φέρον: ἡ διπλῆ
book 700.2 ὅτι οὕτως εἴωθε λέγειν, οἱ πόδες ἔφερον, οὐχὶ τοὺς πόδας·
book 700.3 πρὸς Ζηνόδοτον μεταγράφοντα (Z 511) ῥίμφ’ ἑὰ γοῦνα
book 700.4 φέρει. A.
book h702-3.1 οὐδ’ ἄρα σοὶ Μενέλαε διοτρεφὲς ἤθελε θυμός
book h702-3.2 τειρομένοις ἑτάροισιν ἀμυνέμεν.
book h705 ἀλλ’ ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν.
book 702.1 ὅτι πάλιν (681) ἀπέστροφε (cod. εφε) τὸν λόγον.
book 702.2 A. Cf. p. 16.
book 705.1 ἡ διπλῆ ὅτι ἀπέστροφεν (cod. εφεν) ἐκ τοῦ πρὸς
book 705.2 αὐτὸν εἰς τὸν περὶ αὐτοῦ λόγον. AB. Cf. p. 16.
book 714.1 Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγω-
book 714.2 μεν: ὥσπερ βοὴν λέγει τὴν μάχην ἀπὸ τοῦ ἀλαλαγμοῦ, οὕ-
book 714.1 τως καὶ ἐνοπῆς νῦν ἀπὸ μέρους τῆς μάχης ἐστίν. a. Hoc
book 714.2 pro Aristarcheo attulit Lehrs. Ar. 152; quod tamen non ex-
book 714.5 ploratum est.
book 719.1 (Ajax ad Menelaum) νῶι μαχησόμεθα: ἡ διπλῆ ὅτι
book 719.2 ἐντεῦθεν τοῖς νεωτέροις ὁ βασταζόμενος Ἀχιλλεὺς ὑπ’ Αἴαν-
book 719.3 τος, ὑπερασπίζων δὲ Ὀδυσσεὺς παρῆκται. εἰ δὲ Ὅμηρος
book 719.4 ἔγραφε τὸν Ἀχιλλέως θάνατον, οὐκ ἂν ἐποίησε τὸν νεκρὸν
book 719.5 ὑπ’ Αἴαντος βασταζόμενον, ὡς οἱ νεώτεροι. A. Ar. 178.
book 756.1 (ψαρῶν νέφος—ἠὲ κολοιῶν) ὀξέα κεκλήγοντες:
book 756.2 πρὸς τὸ σημαινόμενον ὑπήντησεν. A. Cf. p. 32.
book 7.1 ἀτυζόμενοι πεδίοιο: ἡ διπλῆ ὅτι λείπει ἡ διά, φεύ-
book 7.2 γοντες διὰ τοῦ πεδίου (cf. p. 26). ABV.
book h9-11.1 Achilles loquitur: καί μοι ἔειπεν (Thetis)
book h9-11.2 Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
book h9-11.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
book 10.1 ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πῶς Μυρμιδόνων ἄρι-
book 10.2 στον λέγει τὸν Πάτροκλον Λοκρὸν ὄντα. A. Cf. schol. ad
book 10.3 v. 10, 11 in eodem cod. et ad P 80.
book 11.1 χερσὶν ὕπο Τρώων: ἀντὶ τοῦ ὑπὸ τῶν χειρῶν τῶν
book 11.2 Τρώων. A. Cf. p. 23.
book 23.1 ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
book 23.2 χεύατο κὰκ κεφαλῆς—ὅτι τὴν ἀπὸ πυρὸς τέ-
book 23.3 φραν κόνιν λέγει. διὸ καὶ αἰθαλόεσσαν αὐτὴν λέγει (Ar. 152). A.
book 28.1 δμωαὶ δ', ἃς Ἀχιλεὺς ληίσσατο: ἐκ λαφυραγω-
book 28.2 γίας ἐκτήσατο. A. Ar. 198.
book 34.1 δείδιε γὰρ (Antilochus) μὴ λαιμὸν ἀπαμήσειε
book 34.2 σιδήρῳ: ἡ διπλῆ ὅτι ἀμφίβολον, μὴ τὸν ἑαυτοῦ λαιμὸν ὁ
book 34.3 Ἀχιλλεύς, ἢ τὸν Ἀντιλόχου. A.
book h38-9.1 πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηίδες ἦσαν.
book h38-9.2 ἔνθ' ἄρ' ἔην Γλαυκή τε Θάλειά τε Κυμοδόκη
book h38-9.3 τε κτλ. —49.
book 39.1 ὁ τῶν Νηρεΐδων χορὸς προηθέτηται καὶ παρὰ Ζη-
book 39.2 νοδότῳ ὡς Ἡσιόδειον ἔχων χαρακτῆρα· Ὅμηρος γὰρ κατὰ
book 39.3 τὸ κοινὸν Μούσας λέγει καὶ Εἰλειθυίας, ἀλλ' οὐκ ὀνόματα.
book 39.4 γελοῖόν τε ἐξ ὀνόματος προθέμενον εἰπεῖν πάσας, ὥσπερ
book 39.5.1 ἀποκαμόντα εἰπεῖν (potius ἐπαγαγεῖν, ut Eustathius vide-
book 39.5.2 tur habuisse 1131. 23 L.) ἄλλαι δ' αἱ κατὰ βένθος ἁλὸς
book 39.5.3 Νηρηίδες ἦσαν. A. Huic Aristonici adnotationi continuata
book 39.5.4 sunt sequentia: ὁ δὲ Καλλίστρατος οὐδὲ ἐν τῇ Ἀργολικῇ φη-
book 39.5.5 σὶν αὐτοὺς φέρεσθαι. τό τε ἔνθα οὔτε χρόνον σημαίνει οὔτε
book 39.10.1 τόπον. διακόπτεταί τε ἡ λύπη τῷ καταλόγῳ. —De ἔνθα
book 39.10.2 hoc puto vult. Neutri hic significationi locus: temporali neuti-
book 39.10.3 quam, sed nec locali. Nam si ἔνθα pertinet ad βένθος ἁλός
book 39.10.4 v. 38, importunum hoc: κατὰ βένθος ἁλὸς ἦν, ἄλλαι θ' αἳ
book 39.10.5 κατὰ βένθος ἁλὸς ἦσαν. Nec commode ἔνθα pertinere pot-
book 39.15.1 est ad antrum, ubi ad lugentem Thetidem conveniebant; nam
book 39.15.2 sic requiras potius: et reliquae Nereides quae in mari sunt,
book 39.15.3 non quae erant. Illud autem artificium quod ex Eustathio cogno-
book 39.15.4 vimus, hic scholiasta si noverat, contemsit jure. Videmus enim
book 39.15.5 ex Eustath. 1130 init. quosdam sic interpretatos esse: omnes
book 39.20.1 ad Thetidem congregabantur Nereides, quae tum in mari ad-
book 39.20.2 erant nec forte aberant. L.
book 57.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς
book 57.2 νηυσὶν ἐπιπροέηκα—ἡ διπλῆ ὅτι ἡ Θέτις οὐκ
book 57.3 ἀπελείφθη τοῦ Πηλέως οἴκου, καθάπερ οἱ νεώτεροι, δωδε-
book 57.4 καταῖον καταλιποῦσα τὸν Ἀχιλλέα, ὁ δὲ Πηλεὺς Χείρωνι
book 57.5 παραδέδωκεν, ἵνα τραφῇ (Ar. 190). A.
book 60.1 τὸν δ’ οὐχ ὑποδέξομαι αὖτις
book 60.2 οἴκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω: ἡ
book 60.3 διπλῆ ὅτι Ὅμηρος οὐκ οἶδεν, ὡς οἱ νεώτεροι ποιηταί, κεχω-
book 60.4 ρισμένην τὴν Θέτιν ἀπὸ τοῦ Πηλέως ὑπὸ τὴν Ἀχιλλέως
book 60.5.1 γένεσιν· ἀλλ’ ὅτι καὶ μετὰ τὸν Τρωικὸν πόλεμον σύνεστι,
book 60.5.2 λέγει (Ar. 190). A.
book 71 ὀξὺ δὲ κωκύσασα. ὠκύ est pro ὠκέως: Ξ 418.
book 77.1 παθέειν τ’ ἀέκήλια ἔργα: ἡ διπλῆ πρὸς τὴν συνα-
book 77.2 λοιφήν, ὅτι ἀέκήλια ἐκληπτέον κατὰ ἀπόφασιν τοῦ ἑκήλου,
book 77.3 ἐφ’ οἷς οὐχ οἷόν τε ἡσυχάζειν. A.
book 77.4 παιδὸς ἀποφθιμένοιο τὸν οὐχ ὑποδέξεαι αὖτις
book 90.1 οἴκαδε νοστήσαντα: ἡ διπλῆ ὅτι πάλιν συνοικεῖ τῷ
book 90.2 Πηλεῖ ἡ Θέτις (Ar. 190). A.
book 93.1 Πατρόκλοιο δ’ ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ:
book 93.2 ἡ διπλῆ ὅτι ἕλωρα οὐ βρώματα ἀλλὰ ἑλκύσματα (Ar. 110). A.
book 103 οἱ δὴ πολέες δάμεν Ἕκτορι δίῳ: ἡ διπλῆ ὅτι
book 103 ἀντὶ τοῦ ὑφ’ Ἕκτορος δίου (cf. p. 24). A.
book 117.1 οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα: ἡ
book 117.2 διπλῆ ὅτι οὐκ οἶδεν ἀθάνατον τὸν Ἡρακλέα. A. Cf. alterum
book 117.3 schol. in eod. cod. Ar. 186.
book 125.1 (καί τινα Τρωιάδων—ἀδινὸν στοναχῆσαι ἐφείην)
book 125.2 γνοῖεν δ’ ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυ-
book 125.3 μαι: ὅτι ἀντὶ τοῦ ἵνα γνῶσιν. A. Cf. p. 12 not. et p. 33.
book 130.1 ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται:
book 130.2 ἡ διπλῆ ὅτι ἔχονται καὶ οὐκ ἔχεται. A. Cf. p. 15.
book h136-7.1 ἠῶθεν γὰρ νεῦμαι, ἅμ’ ἠελίῳ ἀνιόντι,
book h136-7.2 τεύχεα καλὰ φέρουσα παρ’ Ἡφαίστοιο ἄνακτος.
book 136.1 ἡ διπλῆ ὅτι τὸ νεῦμαί ἐστιν ἐπὶ τοῦ ἐνεστῶτος,
book 136.2 ἀντὶ τοῦ νέομαι· βούλεται δὲ εἰπεῖν ἐλεύσομαι (cf. p. 6.).
book 136.3 καὶ ὅτι ἐν μιᾷ νυκτὶ κατεσκεύασται τὰ ὅπλα. A.
book 140.1 ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον:
book 140.2 ὅτι τὸν Ἑλλήσποντον στενὸν ὄντα εὐρέα ἐκάλεσεν. A. Etiam
book 140.3 hinc apparet epitheta perpetua interdum non significare (cf. Ar.
book 140.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

222 et ad Σ 416).
book 148.1 τὴν μὲν ἄρ' Οὔλυμπον δὲ πόδες φέρον: πρὸς
book 148.2 Ζηνόδοτον μεταγράφοντα (Ζ 511) ῥίμφ' ἑὰ γοῦνα φέρει.
book 148.3 καὶ ὅτι λέγει πόδες αὐτὴν ἔφερον, οὐκ αὐτὴ τοὺς πόδας. A.
book h154-6.1 Ἕκτωρ τε Πριάμοιο πάις, φλογὶ εἴκελος ἀλκήν.
book h154-6.2 τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος
book h154-6.3 Ἕκτωρ
book h154-6.4 ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα.
book 155.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει οὕ-
book 155.2 τως Ἕκτωρ τε Πριάμοιο πάις (πάις deest) συὶ εἴκελος
book 155.3 ἀλκήν, ὅς μιν τρὶς μετόπισθε ποδῶν λάβε καὶ μέγ'
book 155.4 ἀύτει, ἑλκέμεναι μεμαώς, κεφαλὴν δέ ἑ θυμὸς ἀνώ-
book 155.5.1 γει πῆξαι ἀνὰ σκολόπεσσι (cod. σκόλοπας οἱ) ταμόνθ'
book 155.5.2 ἁπαλῆς ἀπὸ δειρῆς, κακῶς. οὐ γὰρ ὑπὸ τοῦτον τὸν και-
book 155.5.3 ρὸν ὁ Ἕκτωρ ἑλκύσαι τὸν Πάτροκλον ἐβούλετο, ἵνα αἰκί-
book 155.5.4 σηται, ἀλλ' ἔμπροσθεν (Ρ 125). ὅτε δὲ Γλαῦκος ὠνείδισε
book 155.5.5 τῷ προλελοιπότι τὸ σῶμα τοῦ Σαρπηδόνος τοῖς Ἀχαιοῖς,
book 155.10.1 τότε ἑλκύσαι φιλοτιμεῖται τὸν Πάτροκλον εἰς ἀντικατάλλαξιν
book 155.10.2 τοῦ Σαρπηδόνος, οὐκ εἰς αἰκίαν. ὅταν μὲν οὖν ὕστερον
book 155.10.3 (176) ἡ Ἶρις εἴπῃ τῷ Ἀχιλλεῖ, ὅτι βούλεται ὁ Ἕκτωρ τὸν
book 155.1 Πάτροκλον αἰκίσασθαι, νοητέον μὴ τἀληθὲς (ins. αὐτήν)
book 155.2 ὑποφαίνειν, ἀλλὰ παρορμῆσαι αὐτὸν εἰς τὴν κατὰ τῶν
book 155.15 βαρβάρων ὀργήν. A.
book 160.1 (Hector) στάσκε μέγα ἰάχων: ἡ διπλῆ περιεστι-
book 160.2 γμένη ὅτι Ζηνόδοτος γράφει μέγα ἀχέων. πρὸς τί δὲ λυ-
book 160.3 πούμενος ἑστήκει, ἀλλ' οὐκ ἰάχων καὶ ἐπεγκελευόμενος τοῖς
book 160.4 Τρωσὶν ἀφαιρεῖσθαι τὸν νεκρόν; A.
book h174-7.1 οἱ δὲ ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
book h174-7.2 Τρῶες ἐπιθύουσι. μάλιστα δὲ φαίδιμος Ἕκτωρ
book h174-7.3 ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει
book h174-7.4 πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ
book h174-7.5 δειρῆς.
book 174.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει Ἴλιον
book 174.2 αἰπὺ θέλοντες, καὶ τοὺς ἑξῆς ἀπὸ τοῦ ἑλκέμεναι μέ-
book 174.3 μονεν ἕως τοῦ πῆξαι ἀνὰ σκολόπεσσι ἄνω μετατέθει-
book 174.4 κεν (155). ὁ μὲν οὖν Ἕκτωρ οὐκέτι ταύτην ἔχει τὴν ὁρμήν,
book 174.5.1 ὡς προείρηται· ἡ δὲ Ἶρις ὡς πρὸς τὸ διεγεῖραι τὸν Ἀχιλλέα
book 174.5.2 ταῦτα κελεύει. καὶ οὐδέποτε κατὰ τὸ οὐδέτερον λέγει Ἴλιον. A.
book 186.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄλυμπον ἀγάννιφον: ἡ διπλῆ ὅτι ὡς ὄρος
book 186.2 τὸν Ὄλυμπον ἀγάννιφον λέγει (Ar. 168). A.
book 191.1 στεῦτο γὰρ Ἡφαίστοιο πάρ’ οἰσέμεν ἔντεα
book 191.2 καλά: ἡ διπλῆ ὅτι κατὰ διαίρεσιν (sc. πάρ’ οἰσέμεν). καὶ
book 191.3 τὸ στεῦτο ἀντὶ τοῦ διωρίζετο. ἀναφέρεται δὲ πρὸς τὸ στεῦτο
book 191.4 δὲ διψάων ἐν τῇ Ὀδυσσείᾳ (λ 583). AB. Ar. 106.
book 219.1 ὅτε τ’ ἴαχε σάλπιγξ: ὅτι αὐτὸς οἶδε σάλπιγγας,
book 219.2 χρωμένους δὲ τοὺς ἥρωας οὐκ εἰσάγει (Ar. 198, 348). AB.
book 222.1 ὄπα χάλκεον: ἀμέτρως ὁ Ζηνόδοτος ὄπα χαλ-
book 222.2 κέην (cf. ad Υ 484), οὐ συνεὶς ὅτι παραπλήσιόν ἐστι τὸ
book 222.3 σχῆμα τῷ κλυτὸς Ἱπποδάμεια (Β 742) καὶ θερμὸς
book 222.4 ἀυτμή (h. in Merc. 110?). A. Cf. p. 31.
book h230-1.1 ἔνθα δὲ καὶ τότ’ ὄλοντο δυώδεκα φῶτες ἄριστοι
book h230-1.2 ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν.
book 230.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἐν-
book 230.2 θάδε κοῦροι ὄλοντο δυώδεκα πάντες ἄριστοι οἷ-
book 230.3 σιν ἐν βελέεσσιν. εἰσὶ δὲ οὔτε τῇ συνθέσει Ὁμηρικοί,
book 230.4 οὔτε τὸ οἷσιν βελέεσσιν ὑγιῶς εἴρηται τοῖς ἑαυτῶν. ἔδει γὰρ
book 230.5 τοῖς ἀλλήλων. A.
book 236 κείμενον ἐν φέρτρῳ: ὅτι ἅπαξ τὸ φέρτρον· ἔστι
book 236 δὲ φορεῖον (Ar. 14). A.
book 247.1 πάντας γὰρ ἔχε τρόμος: Ζηνόδοτος φόβος,
book 247.2 κακῶς, ἀγνοῶν ὅτι φόβος ἐστὶ καθ’ Ὅμηρον ἡ μετὰ δέους
book 247.3 (cf. ad Δ 456) φυγή. διὸ ἡ διπλῆ (Ar. 89). A.
book 259.1 χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν
book 259.2 ἰαύων: ἐπαυλιζόμενος (Ar. 151). A.
book 265.1 ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυ-
book 265.2 ναικῶν: τοῦτο σημειωτέον πρὸς τὸ ἀμυνέμεναι ὤρεσ-
book 265.3 σιν (Ε 486) καὶ ὀάρων ἕνεκα σφετεράων (Ι 327) ὅτι
book 265.4 κἀκεῖ γυναιξί λέγει. AV.
book 274.1 νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν: πρὸς
book 274.2 τὸ σημαινόμενον ὅτι ἔστι βουλευσόμεθα, τῇ βουλῇ κρατή-
book 274.3 σομεν. A. Schol. valde decurtatum est, certe ἕν excidit ante
book 274.4 τῇ βουλῇ. Tantum apparet, duplicem vim vocabuli ἀγορή de-
book 274.5.1 finitam fuisse quod non modo forum et concionem, sed etiam
book 274.5.2 consilium significet. L.
book 283.1 οὐδέ ποτ’ ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ
book 283.2 ἔδονται: ἡ διπλῆ ὅτι τοιοῦτόν ἐστι τὸ λεγόμενον, πρότε-
book 283.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ρον αὐτὸν οἱ κύνες κατέδονται ἢ ἐκπέρσει. καὶ οὐκ ἔστιν
book 283.4 ἐλλιπὴς ὁ λόγος, ὥσπερ οὐδ’ ἐπ’ ἐκείνου τὴν δ’ ἐγὼ οὐ
book 283.5 λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν (Α 29). A.
book 287.1 ἦ οὔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πύρ-
book 287.2 γων: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει κεκόρησθον, συγ-
book 287.3 χέων τὸ δυικόν (cf. p. 15). A.
book 291.1 πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινήν
book 291.2 κτήματα περνάμεν’ ἵκει—ἡ διπλῆ ὅτι ἑτέρα
book 291.3 ἡ Φρυγία παρὰ τὴν Τροίαν. καὶ ὅτι ἐλλείπει ἡ εἴς, ἵν’ ᾖ
book 291.4 εἰς Φρυγίαν (cf. p. 26). A. καὶ Λυδία οὔπω ἐκαλεῖτο. V. Ar. 237.
book 298.1 νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν
book 298.2 τελέεσσι: ὅτι ἀντὶ τοῦ μὴ λύσαντες τὰς τάξεις (Ar. 152). A.
book 317.1 χεῖρας ἐπ’ ἀνδροφόνους θέμενος στήθεσσιν
book 317.2 ἑταίρου: ἀμφίβολον πότερον τὰς ἑαυτοῦ ἀνδροφόνους χεῖ-
book 317.3 ρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρου στήθει ἢ τὰς τοῦ
book 317.4 ἀνδροφόνου Πατρόκλου τῷ ἰδίῳ στήθει. βέλτιον δὲ τὸ πρότε-
book 317.5.1 ρον. AD. Scholia Aristonici et Nicanoris coaluisse videntur: v.
book 317.5.2 proll. ad Nican. p. 109.
book 319 (leo) ᾧ ῥά θ’ ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρ-
book 319.1 πάσῃ ἀνήρ: ἡ διπλῆ ὅτι οὕτως τοὺς κυνηγοὺς καταχρηστι-
book 319.2 κῶς λέγουσιν οἱ ποιηταί (lege λέγει ὁ ποιητής, sc. ἐλαφηβό-
book 319.3 λος clare h. l. qui leonem petit L.). A.
book 331.1 οὐδ’ ἐμὲ νοστήσαντα
book 331.2 δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεύς
book 331.3 οὐδὲ Θέτις μήτηρ, ἀλλ’ αὐτοῦ γαῖα καθέξει: ἡ
book 331.4 διπλῆ ὅτι συνεβίω ἡ Θέτις τῷ Πηλεῖ (Ar. 190) καὶ ὅτι οὐκ
book 331.5.1 ἀπεκόμιζον τὰ ὀστᾶ τῶν τετελευτηκότων ἐπὶ ξένης εἰς τὰς
book 331.5.2 πατρίδας. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ὥς κ’ ὀστέα παισὶν ἕκα-
book 331.5.3 στος οἴκαδ’ ἄγῃ (Η 334, Ar. 197).
book 339.1 ἀμφὶ δὲ σὲ Τρωαὶ καὶ Δαρδανίδες βαθύκολ-
book 339.2 ποι: οὐδέποτε τὰς Ἑλληνίδας βαθυκόλπους φησί. πῶς οὖν
book 339.3 Ζηνόδοτος γράφει ἕσπετε νῦν μοι μοῦσαι Ὀλυμπιάδες,
book 339.4 βαθυκόλποι; (Β 484). V. Fluxit ex Aristonico. Ar. 119.
book 341.1 (mulieres Trojanae) τὰς αὐτοὶ καμόμεσθα: ἐκ
book 341.2 παρεπομένου· οἱ γὰρ κτώμενοι κακοπαθοῦσιν. A. Recepi
book 341.3 quum propter rationem interpretandi ἐκ παρεπομένου (v. B417),
book 341.4 tum quia vocabulo κακοπαθεῖν libenter utitur Aristonicus, v. c.
book 341.5 in explicando σπεύδειν et σπουδῇ Ar. 122.
book 351.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν δ᾽ ὠτειλὰς πλῆσαν ἀλείφατος: ὅτι ὑπὸ μὲν
book 351.2 Εὐφόρβου βέβληται ὁ Πάτροκλος, ὑπὸ δὲ Ἕκτορος οὔτασται,
book 351.3 καὶ συλληπτικῶς εἴρηκε πάντα τὰ τραύματα ὠτειλάς (Ar. 70). A.
book 356.1 Ζεὺς δ᾽ Ἥρην προσέειπε: ἡ διπλῆ ὅτι κατὰ τὸ
book 356.2 σιωπώμενον ἐξ Ἴδης εἰς Ὄλυμπον παραγέγονεν (cod. γέγονεν)
book 356.3 ὁ Ζεύς, καὶ οὐ ξενιστέον ὅταν λέγῃ κατὰ συμπέρασμα. AV.
book 368.1 ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον:
book 368.2 κυρίως τὸ ἐν πλήθει λέγειν ἀγορεύειν, καὶ τὸ ἀλλήλους ἐπὶ
book 368.3 πλήθους. ἐνταῦθα δὲ ἐπὶ δύο ἔταξε καταχρηστικῶς. A.
book 368.4 Cod. ταῦτα pro ἐνταῦθα. Corr. Lehrs. Ar. 151.
book 369.1 Ἡφαίστου δ᾽ ἵκανε δόμον Θέτις ἀργυρόπεζα:
book 369.2 ὅτι ἐν Ὀλύμπῳ τὸ χαλκεῖον Ἡφαίστου. φησὶ γοῦν(148) τὴν
book 369.3 μὲν ἄρ᾽ Οὔλυμπον δέ. V. Ar. 186. Cf. Q ad θ 274.
book 373.1 (εὗρε) σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάν-
book 373.2 τας ἔτευχε. ἡ διπλῆ ὅτι τὸ σπεύδοντα ἐνεργοῦντα (Ar. 122),
book 373.3 καὶ ὅτι τὸ πάντας παρέλκει. A.
book 376.1 ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ᾽ ἀγῶνα: ἡ
book 376.2 διπλῆ ὅτι ἐγκεκλιμένως ἀναγνωστέον (sc. ὄφρα οἱ), ἵνα ᾖ
book 376.3 ὄφρα αὐτῷ. καὶ ὅτι θεῖον ἀγῶνα λέγει τὴν συναγωγὴν τῶν
book 376 θεῶν (Ar. 152). A.
book 378.1 οἱ δ᾽ ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ᾽ οὔπω
book 378.2 δαιδάλεα παρέκειτο—ὅτι ἐπὶ τῶν παρὰ μι-
book 378.3 κρὸν τετελειωμένων οὕτως λέγει. ὃς τὸ μὲν ἄλλο τόσον
book 378.4 φοῖνιξ ἦν (Υ 454). τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε
book 378.5.1 χρόα (Χ 322). A. οἱ δὲ γλωσσογράφοι τόσον ἀντὶ τοῦ σῶμα
book 378.5.2 (Ar. 44). V.
book 392.1 Ἥφαιστε, πρόμολ᾽ ὧδε: ἡ διπλῆ ὅτι τὸ ὧδε
book 392.2 οὕτως ὡς ἔχεις, οὐδὲν ὑπερθέμενος, καὶ ἐν Ὀδυσσείᾳ (ζ 218)
book 392.3 ἀμφίσταθ᾽ οὕτως (leg. ἀμφίπολοι στῆθ᾽ οὕτω). A. Ar. 84.
book 405.1 ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ᾽ ἐσάωσαν.
book 405.2 ἢ νῦν ἡμέτερον δόμον ἵκει: πρὸς τὸ πρῶτον ὑπήν-
book 405.3 τησε. V. Ar. 13.
book 413.1 ὅπλα τε πάντα
book 413.2 λάρνακ᾽ ἐς ἀργυρέην συλλέξατο, οἷς ἐπο-
book 413.3 νεῖτο: ἡ διπλῆ ὅτι λάρνακα τὴν κιβωτόν· νεωτερικὸν γὰρ
book 413.4 ὄνομα ἡ κιβωτός (Ar. 152). καὶ ὅτι ἐπονεῖτο ἀντὶ τοῦ ἐνήρ-
book 413.5 γει (Ar. 87). A
book 416.1 δῦ δὲ χιτῶν᾽, ἕλε δὲ σκῆπτρον παχύ· ἡ διπλῆ
book 416.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι οὐ παρέλκει τὸ παχύ, ἀλλὰ πρὸς τὸ ἐπερείδειν χωλὸν ὄντα τὸν Ἥφαιστον, περὶ οὗ φησὶ πέλωρ αἴητον ἀνέστη (410), ὡς καὶ τὸ στησαμένη μέγαν ἱστόν (β 94). A. Hoc adnotare ideo non superfluum duxit, quia epithetorum significationem nonnumquam delitescere identidem observaverat. V. ad Γ 352 et Σ 136.

αὐτὰρ ὁ ἔρρων (Hephaestus): ὅτι ἔρρων οὐ ψιλῶς πορευόμενος, ἀλλὰ διὰ τὴν χωλότητα ἐπαχθῶς βαδίζων (Ar. 109). A.

τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς (Thetis loquitur de Achille): ἡ διπλῆ ὅτι καθ' Ὅμηρον ἡ Θέτις ἔθρεψε τὸν Ἀχιλλέα, οὐ Χείρων ὡς οἱ νεώτεροι (Ar. 190). A.

κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
τὴν ἂψ ἐν χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
ἤτοι ὁ τῆς ἀχέων φρένας ἔφθιεν κτλ.

ἀθετοῦνται στίχοι ιγ', ὅτι συνήγαγέ τις τὰ διὰ πολλῶν εἰρημένα εἰς ἕνα τόπον, ὡς ἐκεῖνα (A 366) ᾠχόμεθ' ἐς Θήβας ἱερὴν πόλιν. διὰ δὲ τῶν ἑξῆς ἐπιδείκνυσιν ὅτι τε ὁ Πάτροκλος τελευτήσας ἀπώλεσε τὰ ὅπλα (v. ad 461) καὶ πάρεστιν ἕτερα ληψομένη. διὰ μέντοι τούτων οὐδὲν ἀναγκαῖον λέγεται· καὶ ψεῦδος περιέχουσιν· οὐ γὰρ ταῖς λιταῖς πεισθεὶς Ὀδυσσέως καὶ Αἴαντος ἐξέπεμψε τὸν Πάτροκλον, ἀλλ' ὕστερον ἑκουσίως ὁ Πάτροκλος κατελεήσας τὴν φθορὰν τῶν Ἑλλήνων ἱκέτευσε δοθῆναι αὐτῷ τοῦ Ἀχιλλέως τὰ ὅπλα. A.

υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας ἐπισφυρίοις ἀραρυίας,
καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.

ὃ γὰρ ἦν οἱ: ἡ διπλῆ ὅτι καταλλήλως εἴρηκεν, ὃ γὰρ ἦν αὐτῷ ἀντὶ τοῦ ὃν γὰρ εἶχεν· καὶ ὅτι οἱ ἠθετημένοι (444—456) περισσοί. A. Utrum ὅ ad ἑταῖρος retulerit (quod maluit Apollonius) an ad θώρηκα (quod verisimilius), hac brevitate obscurum est. Sin autem ad θώρηκα retulit, accepit σύλληψιν quandam (ut praeter loricam etiam cetera arma significentur) quo oratio mansit κατάλληλος. Quantae dubitationes fuerint de καταλληλίᾳ v. Apollon. constr. 90—92. L.

ἡ διπλῆ ὅτι εἰ προειρήκει ὅτι Πάτροκλος ἀνῄρηται,
book 461.2 οὐκ ἂν ἐκ δευτέρου ἔλεγεν· καὶ ὅτι Τρωσὶν ἀντὶ τοῦ ὑπὸ
book 461.3 Τρώων (cf. p. 24). A.
book 470.1 φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύ-
book 470.2 σων: ὅτι τὸ πᾶσαι παρέλκει· διὸ ἡ διπλῆ. A.
book 483.1 ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ
book 483.2 θάλασσαν: ὅτι Ζηνόδοτος ἠθέτηκεν ἀπὸ τούτου τοῦ στί-
book 483.3 χου τὰ λοιπά, ἀρκεσθεὶς τῇ κεφαλαιώδει προεκθέσει. Ὅμη-
book 483.4 ρος δὲ οὐκ ἂν προετραγῴδησεν τὰ κατὰ τὰς φύσας, εἰ μὴ
book 483.5 καὶ τὴν τῆς ποικιλίας κατασκευὴν ἔμελλε διατίθεσθαι. A.
book 492.1 νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
book 492.2 ἠγίνεον ἀνὰ ἄστυ—ἡ διπλῆ ὅτι ἡ ὑπό ἀντὶ
book 492.3 τῆς μετά, μετὰ δᾴδων· Ἀρχίλοχος ᾄδων ὑπ' αὐλητῆρος.
book 492.4 καὶ πρὸς τὸ ἀρχαῖον ἔθος, ὅτι οἱ νυμφίοι τὰς νύμφας μετὰ
book 492.5 δᾴδων παρελαμβάνοντο. A.
book 495.1 αὐλοὶ φόρμιγγές τε: ὅτι ἐνθάδε μόνον καὶ ἐν
book 495.2 τῇ Κ (12) μέμνηται αὐλῶν (Ar. 198). A. μόνον scripsit Lehrs.
book 495.3 Herod. 455 pro μέν.
book 496 (mulieres) ἱστάμεναι θαύμαζον: ἡ διπλῆ ὅτι
book 496 θαύμαζον ἐθεῶντο, οὐκ ἐξεπλήττοντο (Ar. 149). A.
book 295.1 πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
book 295.2 Τρωικόν, ὅς κε φύγῃσι. σὺ δ’ Ἕκτορι θυμὸν
book 295.3 ἀπούρας—: ἡ διπλῆ ὅτι Ἕκτορι ἀντὶ τοῦ Ἕκτορος (cf.
book 295.4 p. 22) καὶ φύγῃσιν ὃς ἂν φύγοι (cf. p. 10). AB.
book 313.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολὺν δ’ ὀρυμαγδὸν ὄρινε Φιτρῶν καὶ λάων.
book 313.2 Hic versus facit ad explicationem vocis semel dictae χέραδος 319.
book 317.1 τὰ τεύχεα καλά: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ τὰ καλὰ
book 317.2 τεύχεα, ὡς οὕνεκα τὸν Χρύσην ἠτίμης’ (sic) ἀρητῆρα
book 317.3 (A 11 ubi v.). A.
book 319.1 εἰλύσω ψαμάθοισιν ἅλις χέραδος περιχεύας:
book 319.2 ἡ διπλῆ ὅτι ἅπαξ τὸ χέραδος. ἔστι δὲ τὸ συναγειρόμενον
book 319.3 ἐν τῇ ῥύσει πλῆθος ἰλύος καὶ ὀστράκων καὶ λίθων. φησὶ γοῦν
book 319.4 πολὺν δ’ ὀρυμαγδὸν ὄρινε φιτρῶν καὶ λαῶν (313). A.
book 320.1 οὐδέ οἱ ὀστέ’ ἐπιστήσονται Ἀχαιοί
book 320.2 ἀλλέξαι—ἡ διπλῆ ὅτι ἐπιστήσονται ἀντὶ τοῦ
book 320.3 δυνήσονται. καὶ ἐν Ὀδυσσείᾳ (ν 207) νῦν δ’ οὔτ’ ἄρ
book 320.4 πῃ θέσθαι ἐπίσταμαι ἀντὶ τοῦ οὐ δύναμαι. A. Ar. 150.
book 320.5 οὐδέ τί μιν χρεώ
book 323.1 ἔσται τυμβοχοῆς’, ὅτε μιν θάπτωσιν Ἀχαιοί:
book 323.2 ὅτι τὸ πλῆρές ἐστι τυμβοχοῆσαι· διὸ σημειοῦνταί τινες. A.
book h331-2.1 ὄρσεο κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γάρ
book h331-2.2 Ξάνθον δινήεντα μάχῃ ἠίσκομεν εἶναι.
book 331.1 ἀθετεῖται ὅτι ἄκαιρον τὸ ἐπίθετον· ἡ γὰρ φιλαν-
book 331.2 θρωπευομένη καὶ λέγουσα ἐμὸν τέκος οὐκ ὤφειλεν ἀπὸ τοῦ
book 331.3 ἐλαττώματος προσφωνεῖν. A. Nescimus autem quomodo le-
book 331.4 gerit versum sequentem.
book 334.1 ἀργεστᾶο Νότοιο: τοῦ λεγομένου λευκονότου (cf.
book 334.2 ad Λ 306). A.
book h335-7.1 εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν
book h335-7.2 ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
book h335-7.3 φλέγμα κακὸν φορέουσα.
book 335.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ὄρ-
book 335.2 σασα· ἐκ δὲ τούτου φανερός ἐστι δεδεγμένος τὸ εἴσομαι
book 335.3 γνώσομαι, καὶ τὸ ἥ κεν ἀπὸ Τρώων ψιλῶς ἀνεγνωκώς.
book 335.4 οὐ βούλεται δὲ γνῶναι ἀλλὰ πορευθῆναι κατασκευάσουσα.
book 335.5 A. Ar. 150.
book 337 ἡ διπλῆ ὅτι τὴν φλόγα κατὰ τὸ οὐδέτερον. A.
book 343.1 ὣς φάτο, Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς
book 343.2 πῦρ: ἡ διπλῆ πρὸς τὸ ζητούμενον πῶς οὐ κατακαίεται ὁ
book 343.3 Ἀχιλλεὺς ἀναζέοντος τοῦ ὕδατος. λέγει δὲ ὁ Ἀρίσταρχος
book 343.4 ὅτι πρῶτον τὸ πεδίον ἀνεξήρανται τῇ φλογί, εἶτα εἰς τὸ
book 343.5.1 ῥεῦμα τοῦ ποταμοῦ τρέπει τὴν φλόγα, ὅτε ὁ Ἀχιλλεὺς ἤδη
book 343.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῷ πεδίῳ ἐγεγόνει. A.
book 345.1 πᾶν δ’ ἐξηράνθη πεδίον: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 345.2 ὅλον (Ar. 130) καὶ ὅτι πρότερον ἀνεξηράνθη τὸ πεδίον. A.
book 345.3 τό ante πρότερον del. L.
book 349.1 κὰδ δ’ ἄρα νεκρούς
book 349.2 κῆεν· ὁ δ’ ἐς ποταμὸν τρέψε φλόγα παμ-
book 349.3 φανόωσαν: ὅτι πάλιν ἐπανέλαβεν (sc. διὰ τοῦ ἄρθρου). A.
book 349.4 Cf. ad E 734.
book 353.1 τείροντ’ ἐγχέλυές τε καὶ ἰχθύες: ὅτι διέστειλε
book 353.2 τὰς ἐγχέλεις ἀπὸ τῶν ἰχθύων. A. Cf. ad 203.
book h362-3.1 ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ
book h362-3.2 κνίσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο.
book 362.1 ἡ διπλῆ ὅτι οἶδεν ἕψησιν κρεῶν, χρωμένους δὲ τοὺς
book 362.2 ἥρωας οὐ παρεισάγει. A. Ar. 348.
book 363.1 μελδόμενος: ὅτι ἀντὶ τοῦ μέλδων, τήκων τὰ
book 363.2 κνίση, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. A. cf. p. 2.
book 366.1 οὐδ’ ἔθελε προρέειν: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ οὐκ
book 366.2 ἠδύνατο. καὶ ἐν ’Οδυσσείᾳ (γ 121) ἤθελ’, ἐπεὶ μάλα πολ-
book 366.3 λὸν ἐνίκα δῖος ’Οδυσσεύς A. Ar. 151.
book 388.1 ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός: ἡ διπλῆ
book 388.2 ὅτι αὐτὸς μὲν οἶδε σάλπιγγα, χρωμένους δὲ τοὺς ἥρωας οὐκ
book 388.3 εἰσάγει. A. Ar. 198, 348.
book 394.1 κυνάμυια: ἡ διπλῆ ὅτι αὐτὸς ἐσχημάτισε τὸ ὄνομα
book 394.2 ἀπὸ τοῦ κυνὸς καὶ τῆς μυίας· ὁ μὲν γὰρ κύων ἀναιδής, ἡ
book 394.3 δὲ μυῖα θρασεῖα. A.
book 397.1 πανόψιον ἔγχος: ὅτι πανόψιον τὸ λαμπρὸν καὶ
book 397.2 ἐπιφανές. A.
book 401.1 (αἰγίδα) ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός: ἡ
book 401.2 διπλῆ ὅτι ἰδίως ἐπὶ τῆς αἰγίδος τοῦτό φησιν, ἣν Διὸς ὅπλον
book 401.3 παραδίδωσιν. A. Ar. 192.
book 416.1 τὸν δ’ ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ ’Αφρο-
book 416.2 δίτη: ἡ διπλῆ ὅτι οἱ χωρίζοντές φασι τὸν τῆς ’Ιλιάδος ποιη-
book 416.3 τὴν εἰδέναι συνοῦσαν τῷ ῎Αρεϊ τὴν ’Αφροδίτην, τὸν δὲ τῆς
book 416.4 ’Οδυσσείας διαφώνως ‛Ηφαίστῳ. λέγειν δὲ δεῖ ὅτι οὐχ οἱ
book 416.5 αὐτοὶ χρόνοι ἦσαν τῆς συμβιώσεως. A.
book 424.1 καί ῥ’ ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ
book 424.2 ἤλασε—ἡ διπλῆ ὅτι ἐπιεισαμένη ἐστὶν ἐπελ-
book 424.3 θοῦσα, ἐφορμήσασα, ἀπὸ τοῦ εἶμι, ὡς τὸ ἢ τάχα καὶ δαλῷ
book 424

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βεβλημένος εἶσθα θύραζε (τ 69). A. Ar. 150.
book 430.1 ὧδέ τε θαρσαλέοι καὶ τλήμονες: ὅτι ὑπομενη-
book 430.2 τικοὶ οἱ τλήμονες, καὶ οὐκ ἀτυχεῖς, ὡς οἱ νεώτεροι. A. Ar. 100.
book 430.3 ὅτ’ ἀγήνορι Λαομέδοντι
book 444.1 πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτόν:
book 444.2 ἡ διπλῆ ὅτι Ὅμηρος οὐ παραδίδωσιν αἰτίαν δι’ ἣν ἐθήτευ-
book 444.3 σαν οὗτοι οἱ θεοὶ Λαομέδοντι. A. Ar. 181.
book 446.1 ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα:
book 446.2 ἡ διπλῆ πρὸς τὴν ἐν τοῖς ἐπάνω ἀθέτησιν, ὅτι διαφωνεῖ
book 446.3 ταῦτα (ἐκείνοις?) ἐν οἷς φησί (Η 452) τότ’ ἐγὼ καὶ Φοῖ-
book 446.4 βος Ἀπόλλων ἥρῳ Λαομέδοντι. A.
book 455.1 στεῦτο δ’ ὅ γ’ ἀμφοτέρων ἀπολεψέμεν οὔατα
book 455.2 χαλκῷ: ἡ διπλῆ ὅτι τὸ στεῦτο κατὰ διάνοιαν ὡρίζετο, διε-
book 455.3 βεβαιοῦτο, πρὸς τὰ ἐν τῇ νεκυίᾳ (λ 583) ἀθετούμενα (Ar. 107):
book 455.4 καὶ ὅτι καταχρηστικῶς ἀπολεψέμεν ἀντὶ τοῦ ἀποκόψειν. A.
book 470.1 τὸν δὲ κασιγνήτη μάλα νείκεσε πότνια θηρῶν
book 470.2 Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον:
book 470.3 ἀθετεῖται ὅτι περισσός. τὸν δὲ κασιγνήτη μάλα νεί-
book 470.4 κεσε πότνια θηρῶν. τίς δὲ κυνηγετικὴ θεὸς εἰ μὴ ἡ
book 470.5 Ἄρτεμις; A. Cf. ad 511.
book h475-7.1 μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
book h475-7.2 εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
book h475-7.3 ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
book 475.1 ἀπὸ τούτου ἀθετοῦνται στίχοι γ′. οὐ δύναται γὰρ
book 475.2 ὁ αἰδούμενος (Apollo) πατροκασιγνήτοιο μιγήμεναι ἐν
book 475.3 παλάμῃσιν (469) ἀεὶ προκαλεῖσθαι τὸν Ποσειδῶνα ἐν τῷ
book 475.4 Ὀλύμπῳ πρὸς μάχην, ἄλλως τε οὐδὲ πολεμικός ἐστιν, ἀλλὰ
book 475.5 χοροῖς καὶ φόρμιγγι τέρπεται. A.
book 478 ὣς φάτο· τὴν δ’ οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
book 479.1 ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις: ἡ δι-
book 479.2 πλῆ ὅτι κοινὸν δεῖ δέξασθαι τὸ προσέφη· ἀλλὰ χολωσαμένη
book 479.3 Διὸς αἰδοίη παράκοιτις προσέφη. οὕτως οὖν κἀκεῖ παῖδα
book 479.4 τέ σοι ἀγέμεν Φοίβῳ θ’ ἱερὴν ἑκατόμβην (Α 443):
book 479.5.1 ἀπὸ κοινοῦ γὰρ τὸ ἀγέμεν, καὶ περιττὸς ὁ ἑξῆς ῥέξαι ὑπὲρ
book 479.5.2 Δαναῶν. A. „Ergo videmus Aristonicum illum versum νεί-
book 479.5.3 κεσεν ἰοχέαιραν ὀνειδείοις ἐπέεσσιν (480) ne nosse quidem.“
book 479.5.4 L. Ar. 365. Nec Eustathius eum novit v. p. 1247, 40.
book 485.1 κατ’ οὔρεα θῆρας ἐναίρειν: ὅτι ἐναίρειν κατα-
book 485.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρηστικῶς· θῆρες γὰρ οὐκ ἔχουσι παντευχίαν ὥστε σκυλευ-
book 485.3 θῆναι. A. Ar. 148.
book 487.1 εἰ δ’ ἐθέλεις, πολέμοιο δαήμεναι: ὅτι ἀντὶ τοῦ
book 487.2 δάηθι προστακτικοῦ. A. Cf. p. 14.
book 495.1 ἥ ῥά θ’ ὑπ’ ἴρηκος κοίλην εἰσέπτατο πέτρην
book 495.2 χηραμόν: ἡ διπλῆ ὅτι αὐτὸς ἐξηγεῖται τί ἐστι χηρα-
book 495.3 μός, ὅτι κοίλη πέτρα. A.
book 499.1 πληκτίζεσθ’ ἀλόχοισι Διός: μάχεσθαι. τῶν
book 499.2 ἅπαξ δὲ εἰρημένων ἡ λέξις. B.
book 501.1 εὔχεσθαι ἐμὲ νικῆσαι: ἡ διπλῆ ὅτι εὔχεσθαι
book 501.2 ἀντὶ τοῦ εὔχου, καυχῶ. A. Ar. 150.
book 502.1 ὣς ἄρ’ ἔφη, Λητὼ δὲ συναίνυτο κάμπυλα τόξα
book 502.2 πεπτεῶτ’ ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης:
book 502.3 ὅτι μέμιχε τὸν κατὰ τοῦ τόξου λόγον τῷ κατὰ τῶν βελῶν·
book 502.4 καμπύλα μὲν γὰρ τὰ τόξα, πεπτεῶτα δ’ ἄλλυδις ἄλλῃ τὰ
book 502.5 βέλη· ὡς χοῖνιξ τὸ μετροῦν καὶ τὸ μετρούμενον, καὶ κοτύλη,
book 502.5.2 οὕτως καὶ τὰ βάλλοντα καὶ τὰ βαλλόμενα τόξα. A. Ar. 71.
book 511.1 τὸν δ’ αὖτε προσέειπεν ἐυστέφανος κελα-
book 511.2 δεινή: ἡ διπλῆ ὅτι ἠρκέσθη τοῖς ἐπιθέτοις, περιττὸς οὖν
book 511.3 κἀκεῖ τὸ Ἄρτεμις ἰοχέαιρα (471). A.
book 515 Ἴλιον ἱρήν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 519.1 οἱ μὲν χωόμενοι, οἱ δὲ μέγα κυδιόωντες:
book 519.2 ὅτι σαφῶς χωόμενοι συγχεόμενοι. A. Ar. 147.
book 523.1 θεῶν δέ ἑ μῆνις ἀνῆκεν (καπνὸν ἄστεος αἰθο-
book 523.2 μένοιο): ἀντὶ τοῦ ἐφῆκε. A. Ar. 151.
book 538.1 αἱ δὲ (πύλαι) πετασθεῖσαι τεῦξαν φάος. αὐ-
book 538.2 τὰρ Ἀπόλλων—: ἡ διπλῆ ὅτι Ζηνόδοτος τοὺς στίχους
book 538.3 (hunc et sequentem) ἠθέτηκε, γελοῖον ἡγούμενος διὰ πύλης
book 538.4 φωτίζεσθαι τὴν πόλιν τοῦ παντὸς τόπου ἐναιθρίου ὄντος.
book 538.5.1 λέγει δὲ τεῦξαν φάος ἀντὶ τοῦ τὴν σωτηρίαν τοῖς φεύγουσιν
book 538.5.2 ἐποίησαν, ὡς ἐν τῷ φόως δ’ ἑτάροισιν ἔθηκεν ἄνδρα
book 538.5.3 βαλών (Z 6). A. Ar. 55, 364.
book 541.1 δίψῃ καρχαλέοι: ἡ διπλῆ ὅτι πτῶσις ἤλλακται,
book 541.2 καὶ ὅτι παρεῖται ἡ ὑπό πρόθεσις, ἀντὶ τοῦ ὑπὸ δίψης. A.
book 541.3 Hoc schol. apud Bekkerum in duas particulas discerptum, quas
book 541.4 conjunxi inserto καί. Cf. p. 25.
book 542 ὁ δὲ σφεδανῶν ἔφεπ’ ἔγχει: ἡ διπλῆ ὅτι σφε-
book 542.1 δανῶν σφοδρῶς διώκων. [Ἀτρείδης δ’ ἐπῴχετο Δαναοῖσι σπευ-
book 542.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δανόν—sic pro Ἀτρ. δ’ ἕπετο σφεδανὸν Δ. κελεύων Λ 165]. τῷ δὲ τόνῳ ὥσπερ ἐνοχλῶν· προκατάρχει γὰρ τοῦ (τούτου τό?) σφεδανός, παρ’ ὃ ἐγένετο σφεδανόν—A. Versum Λ 165 ab aliena manu illatum censet L. nam eo loco σφεδανόν lectio Aristarchea fuisse videtur, non σφεδανῶν: n. Ar. 146. Sed fortasse in fine scholii hunc versum attulit Aristonicus: παρ’ ὃ ἐγένετο σφεδανόν, σφεδανὸν Δαναοῖσι κελεύων. Praeter hos duos locos non legitur haec vox apud Homerum nisi Π 372.

μενέαινε δὲ κῦδος ἀρέσθαι. μενέαινε cupiebat: Π 491. L.

ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν: ἡ διπλῆ ὅτι ὁμωνύμως τῇ χώρᾳ τὴν Ἴλιον Τροίαν εἴρηκεν. A. Ar. 240.

αὐτὰρ ὅ γ’ ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον: ἡ διπλῆ ὅτι πλεονάζει ἐπ’ Ὀδυσσέως τὸ πτολίπορθος διὰ τὴν Ἰλίου πόρθησιν, νῦν δὲ ἅπαξ (n. ad O 56) ἐπ’ Ἀχιλλέως, πρὸς τοὺς χωρίζοντας· τούτοις γὰρ χρῶνται. τινὲς δὲ Ἀχιλλέα Πηλείωνα ποιοῦσι, ξενισθέντες πρὸς τὸ ἐπίθετον. A. ἀλλ’ ἤδη αὐτὸς εἶπε δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξα (I 328). V. (cf. ad O 77). Quid sibi voluerint Chorizontes, quid iis responsum sit, hac brevitate obscurum. Fortasse illi dixerunt in Odyssea solum Ulixem πτολίπορθον dici, in Iliade etiam alios. Immo, relatum, ita dicendum est: in Ulixe omnino saepe hoc epitheto utitur Homerus, ut quod ille κατ’ ἐξοχὴν gerat quod ipsam Trojam everterit. Attamen raro quidem etiam unus et alter reliquorum heroum idem fert epitheton, sed propter aliam causam, ut Achilles ὅτι δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξεν. L.

θνητὸν δέ ἕ φας’ ἄνθρωποι ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει: ἀθετεῖται ὅτι ὡς ἐλλείποντος τοῦ λόγου ἐνέταξέ τις αὐτόν. δεῖ δὲ τῷ θνητὸν δέ ἕ φας’ ἄνθρωποι προσυπακούειν τὸ εἶναι. καὶ ὅτι ἐπιφερόμενον τὸ αὐτάρ οἱ Κρονίδης Ζεῦς κῦδος ὀπάζει ἐναντίον ἐστὶ τῷ προτρέποντι τὸν Ἀγήνορα ἀντιστῆναι Ἀχιλλεῖ. A. Ar. 360.

(πάρδαλις—οὐδέ τι θυμῷ) ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ: ἡ διπλῆ ὅτι τὸ φοβεῖ-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ται ἀντὶ τοῦ φεύγει (Ar. 89). καὶ ὅτι ἔν τισι γράφεται κυνυλαγμόν. οὐκ ἀνάγκη δέ ἐστιν· ὁ γὰρ ὑλαγμὸς ἴδιος κυνῶν. σύνδεσμος δέ ἐστιν ὁ κέν, εἶτα ὑλαγμόν. A.

εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλῃσιν: ἡ διπλῆ πρὸς τὴν ἀντιδιαστολὴν τοῦ οὐτάσαι καὶ βαλεῖν (Ar. 62). A.

οὐδ’ ἐπέρησε (χαλκός), θεοῦ δ’ ἠρύκακε δῶρα: ἡ διπλῆ ὅτι ἄτρωτα τὰ ἡφαιστότευκτα ὅπλα, πρὸς τοὺς ἠθετημένους (Υ 269). A. Ar. 178.

τόφρ’ ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ: ἡ διπλῆ ὅτι πεφοβημένοι ἀντὶ τοῦ φεύγοντες. AB. Ar. 89.

Ἰλίου προπάροιθε πυλάων τε Σκαιάων: ἐν ἀριστερᾷ τοῦ τείχους αἱ πύλαι ἔκειντο, αἳ ἐκαλοῦντο Δαρδανίαι. ἡ διπλῆ πρὸς τὰς Σκαιάς. A. Ar. 232.

ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος οὓς ἐφόβησας: ἡ διπλῆ ὅτι σαφῶς ὁ πόνος οὐκ ἔστιν ἀλγηδών· ἀλλ’ οὕτως εἴρηκεν ἀντὶ τοῦ οὐ μέλει σοι τὸ περὶ τοὺς Τρῶας πονεῖν καὶ ἐνεργεῖν (Ar. 87). καὶ ὅτι ἐφόβησας εἰς φυγὴν ἔτρεψας (Ar. 89). A.

(ἵππος) ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο: ὁ διπλῆ ὅτι θέῃσιν ἀντὶ τοῦ θέῃ. πλεονάζει δὲ τῷ τοιούτῳ σχήματι Ἴβυκος. καὶ ὅτι ἐλλείπει ἡ διά, διὰ πεδίοιο (cf. p. 26). A.

(Achillem) παμφαίνονθ’ ὥς τ’ ἀστέρ’—ὅς ῥά τ’ ὀπώρης εἶσι. Ut hic caniculae Achilles comparatur, ita idem sidus significatur in similitudine Λ 62.

ὅν τε κύν’ Ὠρίωνος ἐπίκλησιν καλέουσιν: ἡ διπλῆ ὅτι περισσὸς ὁ τέ σύνδεσμος. A. Cf. p. 34.

καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν: ἡ διπλῆ ὅτι ἅπαξ ἐνταῦθα ὁ πυρετός, καὶ ὅτι πυρετὸν κυρίως λέγει, οὐχ ὥς τινες δέχονται τὴν διάκαυσιν τοῦ ἀέρος· πρὸς γὰρ τὸ φθοροποιὸν ἡ παραβολή (Ar. 154). καὶ ὅτι δειλοῖσιν ἀντὶ τοῦ δειλαίοις (Ar. 122). A.

ὣς τοῦ χαλκὸς ἔλαμπε: χαλκόν intelligendum esse hastae acumen: Λ 44. L.

Πηλείωνι δαμείς: ἡ διπλῆ πρὸς τὸ σχῆμα. a. Cf. p. 24.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
book 41.2 ὅσσον ἐμοί—σημειοῦνταί τινες ὅτι ἐκ τοῦ ἐναν-
book 41.3 τίου τὸ ἐναντίον δεδήλωκεν. AB. Ar. 14.
book h49-50.1 ἀλλ’ εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦ τ’ ἂν ἔπειτα
book h49-50.2 χαλκοῦ τε χρυσοῦ τ’ ἀπολυσόμεθ’· ἔστι γὰρ ἔνδον.
book 49.1 ἡ διπλῆ ὅτι περισσὸς ὁ ἄν σύνδεσμος· εἰ γὰρ ἐνε-
book 49.2 τέτακτο κυρίως, ἐπήνεγκεν ἂν ἀπολυσαίμεθα (cod. ομεθα).
book 49.3 A. Cf. p. 9.
book 51.1 πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος
book 51.2 Ἄλτης: ὅτι οἱ πατέρες ταῖς θυγατράσι γαμουμέναις δῶρα
book 51.3 παρεῖχον· ἐγὼ δ’ ἐπιμείλια δώσω (I 147). A. Ar. 198.
book 53.1 ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα:
book 53.2 ὁμοίως τῷ Δάρδανον αὖ πρῶτον τέκετο (Τ 215) ἐπὶ ἀρ-
book 53.3 σενικοῦ. A. „Pro certo dici nequit Aristonici verba esse, quam-
book 53.4 quam videntur esse“ L. Ar. 158.
book 55.1 Ἀχιλῆι δαμασθείς: ἡ διπλῆ πρὸς τὸ σχῆμα ἀντὶ
book 55.2 τοῦ ὑπὸ Ἀχιλλέως, ὡς Τρωσὶ δαμείς (Σ 461). A. Cf. p. 24.
book h66-8.1 αὐτὸν δ’ ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
book h66-8.2 ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέι χαλκῷ
book h66-8.3 τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται.
book 66.1 ἡ διπλῆ ὅτι πρώτῃσι ἀντὶ τοῦ ἄκραις. πρώτῃσι δὲ
book 66.2 πύλῃσι πρὸς τὸ ἄξαντ’ ἐν πρώτῳ ῥυμῷ (Ζ 40). A. Ar. 149.
book 67.1 ἐρύουσιν: ἡ διπλῆ ὅτι χρόνος ἤλλακται ἀντὶ τοῦ
book 67.2 ἐρύσουσιν· καὶ ἐν Ὀδυσσείᾳ (Φ 97) νευρὴν δ’ ἐντανύειν
book 67.3 ἀντὶ τοῦ ἐντανύσειν. A. Cf. p. 6.
book 68.1 ἡ διπλῆ πρὸς τὴν διαστολὴν τοῦ βαλεῖν καὶ τύψαι
book 68.2 (Ar. 62): καὶ ὅτι ῥέθη πάντα τὰ μέλη. οἱ δὲ Αἰολεῖς τὸ
book 68.3 πρόσωπον. A. Ar. 153.
book 80.1 κόλπον ἀνιεμένη: ὅτι ἀντὶ τοῦ χαλῶσα, ἀναστέλ-
book 80.2 λουσα· καὶ ἐν Ὀδυσσείᾳ (β 300) αἶγας ἀνιεμένους ἀνα-
book 80.3 δέροντας. ἔστιν οὖν ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς
book 80.4 κόλπωμα. A. Cf. de κόλπος ad Ζ 400, Ar. 152.
book 84.1 τῶν μνῆσαι φίλε τέκνον, ἄμυνε δὲ δήιον ἄν-
book 84.2 δρα: ἡ διπλῆ ὅτι ἰδίως φίλε τέκνον ἀντὶ τοῦ φίλον τέκνον
book 84.3 (cf. p. 32). καὶ ἄμυνε ἀντὶ τοῦ ἀμύνου (cf. p. 3). A.
book 85.1 μηδὲ πρόμος ἵστασο τούτω: ὅτι σαφῶς πρόμος
book 85.2 ὁ πρόμαχος, οὐχ ὁ βασιλεύς. A. Ar. 109.
book 88.1 ἄλοχος πολύδωρος: ἡ διπλῆ ὅτι ἕδνα ἐδίδοσαν οἱ
book 88.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλαιοὶ ταῖς θυγατράσι· καὶ πολύδωρον λέγει τὴν πολύε-
book 88.3 δνον. A. Cf. Z 394, Ar. 198.
book 91.1 πολλὰ λισσομένω· οὐδ’ Ἕκτορι θυμὸν ἔπει-
book 91.2 θον: ὅτι ὑπερβίβασται ὁ δέ· Ἕκτορι δὲ θυμὸν οὐκ ἔπει-
book 91.3 θον, πρὸς τὸ οὐδ’ ἵκετο γήραος οὐδόν (ο 246). A.
book 93.1 ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃ-
book 93.2 σιν: ἡ διπλῆ ὅτι τὴν τῶν ὄφεων κατάδυσιν χειὰν εἴρηκεν,
book 93.3 ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρῆσαι· εἰς αὐτὸ γὰρ μηχανῶνται
book 93.4 οἱ ὄφεις εἰς τὸ χωρῆσαι („occurrit: εἰς ἄντρον γὰρ μυχεύον-
book 93.5.1 ται οἱ ὄφεις ὥστε χωρῆσαι“ L. Ar. 146) τὸ σῶμα ὥσπερ
book 93.5.2 ἔλυτρον· οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται (ς 17). A.
book 93.5.3 Sed fortasse nil mutandum.
book 97.1 πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ’ ἐρεί-
book 97.2 σας: ἡ ἐπί ἀντὶ τῆς παρά, ὡς ἀλλὰ μάχεσθ’ ἐπὶ νηυ-
book 97.3 σὶν ἀολλέες (Ο 494). A. Cf. qu. ep. 87.
book 110.1 ἠέ κεν αὐτῷ ὀλέσθαι ἐυκλειῶς πρὸ πόληος:
book 110.2 ἡ διπλῆ ὅτι ὁ κέν περισσός (cf. p. 13). καὶ ὅτι ἀμφίβολον
book 110.3 πότερον ἐμοὶ αὐτῷ ὀλέσθαι, ἢ καθ’ Ὁμηρικὴν συνήθειαν
book 110.4 ἀντὶ τοῦ ὑπ’ αὐτοῦ ὀλέσθαι (cf. p. 24). A.
book 118.1 ἄλλ’ ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέ-
book 118.2 κευθεν: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ἀμφιδάσεσθαι, δίχα μερί-
book 118.3 σεσθαι. πάλιν δέ (idem ab eo notatum fuerit v. 115) ὁ τέ
book 118.4 (cod. δέ) σύνδεσμος περισσός (cf. p. 34). A. Bekker in utro-
book 118.5.1 que infinitivo ασθαι, Vill. in altero εσθαι. Corr. L. coll. Di-
book 118.5.2 dymi sch.: Ἀρίσταρχος ἀποδάσσεσθαι διὰ τοῦ ε.
book 120.1 ἄνδιχα πάνια δάσασθαι. Annotavit sine dubio
book 120.2 ut Σ 510, ὅτι οἱ πολιορκούμενοι ἐξίστασαν τοὺς πολεμίους
book 120.3 ἐπιμεριζόμενοι τὰ κτήματα.
book 123.1 μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὁ δέ μ’ οὐκ
book 123.2 ἐλεήσει: ὅτι τὸ ἵκωμαι ἀντὶ τοῦ ἱκετεύσω (cf. Apoll. lex.).
book 123.3 παράκειται οὖν τὸ ἰών, ἐπεὶ προσεγγιζόμεθα οἷς ἂν (cod.
book 123.4 προσεγγιζόμενοι vel οις ἄν) προσφέρωμεν ἱκέτειαν. A. Haec
book 123.5.1 ultima a παράκειται si Aristonici sunt, significare videntur, hoc
book 123.5.2 ἰών h. l. appositum ad ἱκέσθαι διδασκαλικῶς ut alibi dicere
book 123.5.3 solet, ostendere quo jure ἱκέσθαι significationem supplicandi
book 123.5.4 induerit. L.
book 124.1 οὐδέ τί μ’ αἰδέσεται: ὅτι αἰδέσεται ὡς ἱκέτην
book 124.2 προσδέξεται· αἰδεῖσθαί θ’ ἱερῆα (Α 23). A. Cf. ad Ω 208.
book 124.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ar. 150.
book 128.1 τῷ ὀαριζέμεναι ἅ τε παρθένος ἠίθεός τε
book 128.2 πάρθενος ἠίθεός τ’ ὀαρίζετον ἀλλήλοιιν: ἡ διπλῆ
book 128.3 πρὸς τὴν ἐπανάληψιν, ὅτι πυκνῶς ἐν Ἰλιάδι. ὀαρισμὸς δέ
book 128.4 ἐστιν ἀνδρὸς καὶ γυναικὸς ὁμιλία· ὄαρες γὰρ αἱ γυναῖκες. A.
book 128.5 Quatuor ultima verba non videntur Aristonici esse: v. ad I 327.
book 137.1 βῆ δὲ φοβηθείς: ἀντὶ τοῦ φεύγων ἀπέβη. A.
book 137.2 Cf. ad 141.
book 141.1 ἡ δέ θ’ ὕπαιθα φοβεῖται: ὅτι καὶ νῦν σαφῶς
book 141.2 ἀντὶ τοῦ ἔμπροσθεν φεύγει. A. Ar. 89, 123.
book 143.1 τρέσε δ’ Ἕκτωρ Τεῖχος ὕπο Τρώων: ὅτι τὸ
book 143.2 τρέσαι οὐ τὴν πτόησιν σημαίνει, ἀλλὰ συνήθως φεύγειν.
book 143.3 ἐπήνεγκε γοῦν τεῖχος ὕπο Τρώων. A. Cod. σὺν τῷ pro
book 143.4 συνήθως. Corr. L. Ar. 91.
book 148.1 (πηγαί) δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δι-
book 148.2 νήεντος: ὅτι λείπει πρόθεσις ἡ ἔκ ἢ ἀπό· ἐκ Σκαμάνδρου
book 148.3 γὰρ ἢ ἀπό (cf. p. 25). A.
book 149 ἡ μὲν γάρ θ’ ὕδατι λιαρῷ ῥέει—
book 151.1 ἡ δ’ ἑτέρη θέρεϊ προρέει ἐικυῖα χαλάζῃ: ἡ
book 151.2 διπλῆ ὅτι ἐκ τῆς ἀντιδιαστολῆς ταύτης σαφὲς ὅτι ἡ ἑτέρα
book 151.3 πηγὴ ὕδατι λιαρῷ ῥέει κατὰ χειμῶνα. A.
book 153.1 ἔνθα δ’ ἐπ’ αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς
book 153.2 ἔασιν: ὅτι πρόθεσις ἤλλακται καὶ πτῶσις, ἀντὶ τοῦ παρ’
book 153.3 αὐταῖς. A. Cf. p. 28.
book 158.1 φεύγων, ὁ δ’ ὄπισθε διώκων,
book 158.2 πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ’
book 158.3 ἀμείνων: ἡ διπλῆ ὅτι ὑγιῶς διώκεσθαι λέγει τὸν φεύγοντα.
book 158.4 A. Ar. 150. ὅτι πρὸς τὸ πρῶτον ὑπήντησε. V.
book 161.1 ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδά-
book 161.2 μοιο: ἡ διπλῆ ὅτι ὡς περὶ ἑτέρων λέγει τρεχόντων περὶ
book 161.3 τῆς Ἕκτορος ψυχῆς, αὐτοῦ τοῦ Ἕκτορος ἑνὸς ὄντος τούτων. A.
book 162.1 ὡς δ’ ὅτ’ ἀεθλοφόροι περὶ τέρματα μώνυ-
book 162.2 χες ἵπποι κτλ. Hi versus faciunt ad athetesin versum 199-
book 162.3 201 firmandam.
book 164.1 τὸ δὲ μέγα κεῖται ἄεθλον
book 164.2 ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος: ἡ
book 164.3 διπλῆ ὅτι ἀμφίβολον πότερον ἀνδρὸς τεθνεῶτος γυνὴ ἢ ἐπὶ
book 164.4 τεθνεῶτι ἀνδρί, ὃ καὶ ὑγιές· οὐκ οἶδε γὰρ ἄλλους ἢ τοὺς
book 164.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιταφίους ἀγῶνας Ὅμηρος (Ar. 199). A.
book 170.1 (ὀλοφύρεται ἦτορ) Ἕκτορος: ὅτι ἐλλείπει ἡ περί,
book 170.2 περὶ Ἕκτορος. AB. Cf. p. 26.
book 172.1 ἐν πόλει ἀκροτάτῃ: ὅτι ὑπερθετικῶς ἀντὶ τοῦ
book 172.2 ἀκροπόλει. A. Cf. ad Z 257, 317 H 345.
book h183-4.1 θάρσει τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
book h183-4.2 πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι
book 183-4.1 ὅτι ἐνταῦθα ὑγιῶς λέγονται, κατὰ δὲ τὴν
book 183-4.2 πρὸ τῆς κόλου μάχης ἀγορὰν τῶν θεῶν (Θ 39) οὐκέτι. A.
book 190.1 διά τ’ ἄγκεα καὶ διὰ βήσσας: ὅτι ἀντὶ τοῦ δι’
book 190.2 ἀγκέων καὶ βησσῶν. A. Cf. p. 21.
book 194.1 ὁσσάκι δ’ ὁρμήσειε πυλάων Δαρδανιάων
book 194.2 ἀντίον ἀίξασθαι—ὅτι ἃς ἄνω Σκαιάς (6), νῦν
book 194.3 Δαρδανίας. A. cod. Δαρδανίους. A. Ar. 232.
book 197.1 τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε πα-
book 197.2 ραφθάς: ἡ διπλῆ ὅτι τοπικῶς τὸ προπάροιθε δυνατὸν
book 197.3 ἀκούειν, δυνατὸν δὲ καὶ χρονικῶς, πρότερον φθάσας ἀπέ-
book 197.4 τρεπεν αὐτὸν εἰς τὸ πεδίον· ὃ καὶ ὑγιές (Ar. 121). καὶ πρὸς
book 197.5.1 τὸ παραφθάς ὅτι Ἰακῶς (ita emend. Bekk. pro κακῶς) ἀντὶ
book 197.5.2 τοῦ παραφθάσας. A. Cf. ad H 144 P 197.
book h199-201.1 ὡς δ’ ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
book h199-201.2 οὔτ’ ἄρ’ ὁ τὸν δύναται ὑποφεύγειν οὔθ’ ὁ διώκειν·
book h199-201.3 ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ’ ὃς ἀλύξαι.
book 199-201.1 ἀθετοῦνται στίχοι τρεῖς, ὅτι καὶ τῇ κα-
book 199-201.2 τασκευῇ καὶ τῷ νοήματι εὐτελεῖς· καὶ γὰρ ἀπραξίαν δρόμου
book 199-201.3 καὶ τὸ ἀπαράβατον σημαίνουσιν, ἐναντίως τῷ ὡς δέ τ’
book 199-201.4 ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι (162). A.
book 201 ὅτι τὸ μάρψαι ἐπὶ ποδῶν ἔταξεν. V.
book h202-3.1 πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
book h202-3.2 εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ’ Ἀπόλλων.
book 202.1 ἡ διπλῆ πρὸς τὸ ζητούμενον, πῶς ὁ ποδώκης οὐ
book 202.2 καταλαμβάνει τὸν Ἕκτορα; λέλυκε δὲ αὐτὸ ὁ ποιητής, ὅτι
book 202.3 ὑπὸ Ἀπόλλωνος ἐβοηθεῖτο. A.
book h208-9.1 ἀλλ’ ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο
book h208-9.2 καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα.
book 208.1 σημειοῦνταί τινες διὰ τὸ δοκοῦν ἄπορον εἶναι,
book 208.2 μετὰ μικρὸν τούτων λεγομένων· τρὶς (cod. τρεῖς) περὶ
book 208.3 ἄστυ μέγα Πριάμοιο δίον (251). A.
book 209.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ διπλῆ ὅτι ἐντεῦθεν ἡ ψυχοστασία Αἰσχύλου
book 209.2 πέπλασται, ὡς τοῦ Διὸς τὰς ψυχὰς ἱστάντος, οὐ θανατηφό-
book 209.3 ρους μοίρας. A. Et hic suo loco positus hic versus, non Θ 73.
book 216.1 νῦν δὴ νῶΐ γ’ ἔολπα—(οἴσεσθαι μέγα κῦδος):
book 216.2 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει νῶιν· τοῦτο
book 216.3 δέ ἐστιν ἡμῖν ἢ ἡμῶν, ὅπερ οὐ συμφωνεῖ. τὸ δὲ νῶι χωρὶς
book 216.4 τοῦ ν σημαίνει ἡμᾶς ἢ ἡμεῖς, ὅπερ νῦν λέγει· ἡμᾶς ἔολπα
book 216.5 οἴσεσθαι μέγα κῦδος. A.
book 229.1 ἡ διπλῆ ὅτι νεωτέρου πρὸς πρεσβύτερον σεπτικὴ
book 229.2 προσφώνησίς ἐστι τὸ ἠθεῖε. A. Ar. 154.
book 250.1 οὔ ς’ ἔτι Πηλέος υἱὲ φοβήσομαι: ἡ διπλῆ
book 250.2 ὅτι σαφῶς φεύξομαι. A. Ar. 89. Vill.: ἡ δ. ὅτι σαφῶς τὸ φοβ.
book 250.3 ἐστὶ φεύξομαι.
book 251.1 τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον: ἡ διπλῆ
book 251.2 ὅτι τὸ δίον ἐδιώχθην. οὐ μάχεται δὲ τῷ ἄλλ’ ὅτε δὴ τὸ
book 251.3 τέταρτον (208)· τρεῖς μὲν γὰρ τελείους κύκλους περιέδρα-
book 251.4 μον, τὸ δὲ τέταρτον ἕως τῶν κρουνῶν ἐλθόντες οὐκέτι πε-
book 251.5 ριῆλθον τὴν πόλιν. A.
book 254.1 ἀλλ’ ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
book 254.2 μάρτυροι ἔσσονται—ἐπιδώμεθα: ὅτι ἐπι-
book 254.3 μαρτυρώμεθα. A.
book 255.1 ἡ διπλῆ ὅτι μάρτυροι οὐ μάρτυρες· καὶ γὰρ τὸ
book 255.2 ἑνικόν Ζεὺς δ’ ἄμμ’ ἐπιμάρτυρος ἔστω (Η 76). A.
book 257.1 (αἴ κεν ἐμοὶ Ζεὺς) δώῃ καμμονίην: ἡ διπλῆ ὅτι
book 257.2 καμμονίη νίκη οὐ καθολικῶς, ἀλλὰ ἡ ἐκ καταμονῆς. διὸ
book 257.3 ἐπὶ τῶν μονομαχούντων καὶ πυκτευόντων τίθησιν, ἐπὶ δὲ
book 257.4 δρομέων οὐκέτι. A. Ar. 112.
book 259.1 νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ
book 259.2 ῥέζειν: ὅτι ἀντὶ τοῦ ῥέζε. A. Cf. p. 14.
book 266 (οὔτε τι νῶιν) ὅρκια ἔσσονται: ὅτι τὰ ὅρκια ἔσ-
book 266 σονται, οὐκ ἔσσεται. A. Cf. p. 15.
book 281.1 ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο
book 281.2 μύθων: ὅτι οὐκ ἐν ἐπαίνῳ ὁ ἀρτιεπής, κατὰ τοὐναντίον
book 281.3 τῷ ἀμετροεπεῖ, ἀλλὰ ὁ λάλος καὶ ὁ ἀπηρτισμένον (l. ως L.)
book 281.4 παραλογιζόμενος. [τὸ δόρυ]. A. Cf. V. τὸ δόρυ videtur perti-
book 281.5 nere ad v. 283.
book 286.1 ὡς δή μιν σῷ ἐνὶ χροῒ πᾶν κομίσαιο: ὅτι
book 286.2 ἀντὶ τοῦ ὅλον. A. Ar. 130.
book h291-2.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χώσατο δ’ Ἕκτωρ

book h291-2.2 ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός

book 291 χώσατο: ὅτι ἀντὶ τοῦ συνεχύθη. A. Ar. 147.

book 294.1 Δηίφοβον δ’ ἐκάλει λευκάσπιδα: ἡ διπλῆ

book 294.2 ὅτι ἅπαξ εἴρηκε λευκάσπιδα. A.

book 304.1 μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην:

book 304.2 ἡ διπλῆ ὅτι ἀσπουδί χωρὶς μόγου καὶ κακοπαθείας. A. Ar. 122.

book 308.1 οἴμησεν δὲ ἀλεὶς ὥς τ’ αἰετὸς ὑψιπετήεις:

book 308.2 ὅτι κἀκεῖ (Φ 252) γραπτέον αἰετοῦ οἴματ’ ἔχων, οὐχ ὡς

book 308.3 Φιλητᾶς ὄμματα. A.

book 315.1 καλαὶ δὲ περισσείοντο ἔθειραι Χρύσεαι: νῦν

book 315.2 καταχρηστικῶς αἱ χαῖται τῆς κόρυθος. V. Ar. 121.

book 318.1 ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται

book 318.2 ἀστήρ: ἡ διπλῆ ὅτι νῦν τὸν ἕσπερον κάλλιστον, ἐν ἄλ-

book 318.3 λοις δὲ (ν 93) τὸν ἑωσφόρον φαάντατον· καὶ οὐ δεῖ ὡς μα-

book 318.4 χόμενον λαμβάνειν. ἕτερον δὲ τὸν ἕσπερον, ὡς ἂν παλαιὸς,

book 318.5 οἶδε τοῦ ἑωσφόρου. A.

book 319.1 ὣς αἰχμῆς ἀπέλαμπ’ εὐήκεος: ὅτι ἐπὶ τῶν

book 319.2 αἰχμὰς ἐχόντων εὐήκεος λέγει καὶ τανυήκεος· τὴν γὰρ αἰ-

book 319.3 χμὴν ἀκὴν λέγει. καὶ ὅτι κυρίως ἐνταῦθα ἐπὶ τῆς ἐπιδορα-

book 319.4 τίδος τῆς εὖ ἠκονημένης, ἐκεῖ δὲ παρῆκται τὸ τανυήκεας

book 319.5 ὄζους (Π 768). A. Ar. 322.

book 322.1 τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα

book 322.2 τεύχεα: οὕτως εἴωθε λέγειν ἄλλο τόσον, ἐπειδὰν ἀπο-

book 322.3 λείπῃ τι τοῦ ὅλου μικρὸν μέρος (cod. τέλος)· οἱ δή τοι

book 322.4 τόσσον μὲν ἔχον τέλος (Σ 378 ubi v). καὶ ἐνθάδε οὖν

book 322.5.1 τὸ μὲν ἄλλο σῶμα καθώπλιστο, γυμνὸν δὲ μόνον διεφαί-

book 322.5.2 νετο (ins. τὸ) ἀπὸ τῶν ὤμων ἐπὶ τὸν αὐχένα. A. οἱ δὲ γλωσ-

book 322.5.3 σογράφοι (Ar. 44) τόσον ἀντὶ τοῦ τὸ σῶμα. V.

book 329 οὐδ’ ἄρ’ ἀπ’ ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,

book 329.1 ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν:

book 329.2 ἀθετεῖται ὅτι γελοῖος, εἰ ἡ μελία ἐπετήδευσε μὴ ἀποτεμεῖν

book 329.3 τὸν ἀσφάραγον, ἵνα προσφωνήσῃ τὸν Ἀχιλλέα. ἀπολογού-

book 329.5.1 μενοι δέ φασιν ὅτι τὸ ἐκ τύχης συμβεβηκὸς (cf. ad Ψ 857)

book 329.5.2 αἰτιατικῶς ἐξενήνοχεν. (cf. Harl. ad ι 154). Incerta sunt se-

book 329.5.3 quentia: διὰ τὸ ὅμοιον ἀθετεῖται κἀκεῖνο (ρ 359) εὖθ’ ὁ δε-

book 329.5.4 δειπνήκει, ὁ δὲ παύσατο θεῖος ἀοιδός. A.

book h342-3.1 σῶμα δὲ οἴκαδ’ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με

book h342-3.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
book 342.1 ἡ διπλῆ ὅτι οἱ ἐπὶ τῆς ἰδίας πατρίδος τελευτῶντες
book 342.2 διὰ πυρὸς ἐθάπτοντο. A. Ar. 198.
book 343.1 ἡ διπλῆ ὅτι ἀντὶ τοῦ λαχεῖν ποιήσωσιν. A. Cf.
book 343.2 ad E 37.
book 349.1 εἰκοσινήριτ’ ἄποινα: σημειοῦνταί τινες πρὸς τὴν
book 349.2 εἰκοσινήριτα λέξιν, ὅτι πρὸς εἴκοσι ἐξισούμενα, εἰκοσαπλᾶ. A.
book 351.1 οὐδ’ εἴ κέν ς’ αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
book 351.2 Δαρδανίδης Πρίαμος ἡ διπλῆ ὅτι ὑπερβο-
book 351.3 λικῶς λέγει. ὁ δὲ Αἰσχύλος ἐπ’ ἀληθείας (cf. B 124) ἀνθιστά-
book 351.4 μενον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. A.
book 356.1 ἦ ς’ εὖ γιγνώσκων προτιόσσομαι, οὐδ’ ἄρ’ ἔμελλον
book 356.2 πείσειν—ἡ διπλῆ ὅτι ἀπὸ τῶν ὄσσων ἡ μετα-
book 356.3 φορά (Ar. 97). προβλέπω τῷ νῷ, ἀντὶ τοῦ προέβλεπον·
book 356.4 ἤλλακται γὰρ ὁ χρόνος (cf. p. 4). καὶ πρὸς τὸ οὐδ’ ἄρ’ ἔμελ-
book 356.5 λον ἀντὶ τοῦ οὐκ εἰκὸς ἦν με πείσειν (Ar. 125). A.
book 362.1 ψυχὴ δ’ ἐκ ῥεθέων πταμένη Ἄιδόσδε βεβή-
book 362.2 κει: σημειοῦνταί τινες ὅτι μόνη κάτεισιν εἰς Αἵδου ἡ ψυχή,
book 362.3 καὶ οὐ δεῖται τῆς Ἑρμοῦ παραπομπῆς. A. Ar. 186.
book 375.1 ὧς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς:
book 375.2 ἡ διπλῆ ὅτι οὐ πάντως πρότερον ἔλεγον, ἀλλ’ ἅμα παίοντες
book 375.3 ἐπεφώνουν, ὥστ’ εἶναι, ὧς ἄρα τις ἔλεγε καὶ οὐτήσασκε. A.
book 378.1 ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες: ἡ
book 378.2 διπλῆ ὅτι Ζηνόδοτος ἀντὶ τούτου πεποίηκεν Ἀτρείδη τε
book 378.3 καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν. οὐ πάρεστι δὲ ὁ
book 378.4 Ἀγαμέμνων ἐπὶ ταύτης τῆς μάχης, ἀλλ’ ἐπὶ τῆς σκηνῆς ἔτι
book 378.5 τραυματίας ὤν. A.
book h379 ἐπεὶ δὴ τόνδ’ ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν—
book h381 εἰ δ’ ἄγετ’ ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν κτλ.
book 379 ὅτι τὴν αἰτίαν προτέταχεν ἐπειδὴ τόνδ’ ἄνδρα
book 379.1 θεοί. ἔδει δὲ οὕτως εἰ δ’ ἄγετ’ ἀμφὶ πόλιν σὺν τεύ-
book 379.2 χεσι πειρηθῶμεν, ὄφρα κ’ ἔτι γνῶμεν Τρώων νόον,
book 379.3 ἤ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος, ἦε
book 379.5.1 μένειν μεμάασιν, ἐπεὶ δὴ τόνδ’ ἄνδρα θεοὶ δαμά-
book 379.5.2 σασθαι ἔδωκαν. Hanc notam non credo ex Aristarchi mente
book 379.5.3 illustratam esse ab Aristonico, qua de re dixi in proll. ad Ni-
book 379.5.4 canorem p. 74. ὁ δὲ Διονύσιος διστάζει μὴ πρὸς τὴν ἀπό-
book 379.5.5 λειψιν τοῦ χρόνου· παρασκευάζει γὰρ τὸ ἐπειδὴ νῆάς τε
book 379.10.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ἑλλήσποντον ἵκοντο (Ψ 2) καὶ ἐπίτονος βέβλητο (μ 423): τὰ γὰρ τοιαῦτα ἐσημειοῦντο πρὸς κρίσιν ποιημάτων, ὅτι σπανίως Ὅμηρος κακομέτρους ποιεῖ. A. De his extremis v. Ar. 16 sq.

ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὐχετόωντο.

ἀθετοῦνται στίχοι δύο, ὅτι παρὰ τὴν ἀξίαν Ἀχιλλέως οἱ λόγοι· αὐτὸς γὰρ ἦν ὁ λέγων (Π 243) ὄφρα καὶ Ἕκτωρ εἴσεται ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν ἡμέτερος θεράπων. A.

ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε: ἡ διπλῆ ὅτι νῦν τένοντας εἶπε τὰ διατεταμένα τῶν σφυρῶν νεῦρα ὄπισθεν τῆς κνήμης. A. Ar. 153.

Ἴλιος ὀφρυόεσσα: ἡ διπλῆ ὅτι θηλυκῶς ἡ Ἴλιος. A.

(καί μ’ οἶον ἐάσατε—ἱκέσθ’ ἐπὶ νῆας Ἀχαιῶν) λίσσωμ’ ἀνέρα τοῦτον: λείπει ὁ ἵνα, ἵνα λίσσωμαι. V. Cf. p. 33.

ἀλλ’ ἥ γ’ ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο (Andromache): ἡ διπλῆ ὅτι ἀσυμπαθὴς ἡ Ἀνδρομάχη ἐν τοσούτῳ θορύβῳ κατ’ οἶκον ἀτρεμοῦσα, καὶ ταῦτα τὴν Ἀχιλλέως ἔφοδον οὐκ ἀγνοοῦσα. ἔοικεν οὖν, φησὶν ὁ Ἀρίσταρχος, προκαταχρησάμενος ὁ ποιητὴς τῷ τῆς Ἀνδρομάχης προσώπῳ κατὰ τὴν πρὸς Ἕκτορος κοινολογίαν (Z 394), ἀπεσχῆσθαι νῦν τοῦ προσώπου. A.

τῆλε δ’ ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα: ὅτι βελτίων (cod. βέλτιον) ἂν ἦν ἡ διάθεσις, εἰ μὴ ἐκπεπληγμένη τὰ ἐπὶ τῆς κεφαλῆς ἀπέβαλεν, ἀλλ’ ὕστερον (476) ὅτε ἀναπινύσκεταί τε καὶ ἑαυτὴν ἀναλαμβάνει, ἵν’ ᾖ οὕτως ἡ δ’ ἐπεὶ οὖν ἄμπνυτο καὶ ἐς φρένα θυμὸν ἀγέρθη ἀμβλήδην γοόωσα—τῆλε δ’ ἀπὸ κρατὸς χέε δέσματα. A. βάλε fuit lectio Aristarchea, χέε est in textu Veneto. Ceterum cf. Ψ 857.

οὔτε σὺ τούτῳ
ἔσσεαι Ἕκτορ ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἤν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν
αἰεί τοι τούτῳ γε πόνος καὶ νείκε’ ὀπίσσω
ἔσσοντ’ ἄλλοι γάρ μιν ἀπουρήσουσιν ἀρούρας.
ἦμαρ δ’ ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα δ’ ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειά.
book h485-500.5.4 δευόμενος δέ τ’ ἄνεισι πάις ἐς πατρὸς ἑταίρους,
book h485-500.5.5 ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
book h485-500.10.1 τῶν δ’ ἐλεησάντων κοτύλην τις τυτθὸν ἔπεσχεν,
book h485-500.10.2 χείλεα μέν τ’ ἐδίην’, ὑπερῴην δ’ οὐκ ἐδίηνεν.
book h485-500.10.3 τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
book h485-500.10.4 χερσὶν πεπληγὼς, καὶ ὀνειδείοισιν ἐνίσσων·
book h485-500.10.5 „ἔρρ’ οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.“
book h485-500.15.1 δακρυόεις δέ τ’ ἄνεισι πάις ἐς μητέρα χήρην
book h485-500.15.2 Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πα-
book h485-500.15.3 τρός κτλ.
book 487.1 ἀπὸ τούτου ἕως τοῦ δακρυόεις δέ τ’ ἄνεισι
book 487.2 (499) ἀθετοῦνται στίχοι ιγʹ, ὅτι ἀδιάθετοι· τὸ γὰρ περιέρ-
book 487.3 χεσθαι τὸν Ἀστυάνακτα, καὶ τὸν φίλον τοῦ πατρὸς τὸν μὲν
book 487.4 χλαίνης ἐρύειν τὸν δὲ χιτῶνος, ἵνα βρόγχον πίῃ, Πριάμου
book 487.5.1 περιόντος καὶ ἄλλων ἀδελφῶν Ἕκτορος καὶ αὐτῆς τῆς Ἀν-
book 487.5.2 δρομάχης, ἄτοπον. διὰ τί δὲ ἔμελλον ἀφαιρεῖσθαι τὰς ἀπο-
book 487.5.3 τετμημένας ἀρούρας, κατὰ τὸ βασιλικὸν γένος κληρονόμου τοῦ
book 487.5.4 υἱοῦ Ἀστυάνακτος ὄντος; ὅλως δὲ οὐδ’ ἔστιν ἴδιον τοῦ περὶ
book 487.5.5 τὸν Ἀστυάνακτα οἴκτου, ἀλλὰ κοινῶς ἐπὶ παντὸς ὀρφανοῦ
book 487.10.1 ἁρμόζει τὰ λεγόμενα. βέλτιον οὖν οὕτως ἐπιβαλεῖν· οὔτε
book 487.10.2 σὺ τούτῳ ἔσσεαι Ἕκτορ ὄνειαρ, ἐπεὶ θάνες, οὔτε
book 487.10.3 σοὶ οὗτος Ἀστυάναξ ὃς πρὶν μὲν ἑοῦ.
book 492.1 ἐς πατρὸς ἑταίρους: ὅτι ἀντὶ τοῦ πρὸς πα-
book 492.2 τρὸς ἑταίρους, ὡς εἰς Ἀγαμέμνονα δῖον (Η 312). A. qu.
book 492.3 ep. 88.
book 494.1 ὅτι εἶδος ποτηρίου ἡ κοτύλη. [καὶ λέγεται ἀρσενι-
book 494.2 κῶς κότυλος.] καὶ ἐν Ὀδυσσείᾳ (ρ 12) πύρνον καὶ κοτύ-
book 494.3 λην ὁμωνύμως τὸ ἀγγεῖον τῷ ὑγρῷ. A. Ar. 155. Inclusa aliena
book 494 sunt, certe hodie κότυλος apud Homerum non legitur.
book 495.1 Lehrs. Ar. 358 hunc versum etiam propter charactera
book 495.2 Hesiodeum suspectum fuisse existimat.
book 497 ἐνίσσων: ὅτι ἀντὶ τοῦ πλήσσων. A.
book 505.1 νῦν δ’ ἂν πολλὰ πάθῃσι φίλου ἀπὸ πατρὸς
book 505.2 ἁμαρτών: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ πάθοι ἄν. πρὸς τὸ
book 505.3 ἰχθὺς ὅς κε φάγῃσι (Φ 127). A. Cf. p. 9.
book 1.1 ὡς οἱ μὲν στενάχοντο: ἡ διπλῆ ὅτι εἰ ἦν στενα-
book 1.2 χῶν ὡς φρονῶν, οὐκ ἂν οὕτως ἔλεγεν στενάχοντο· ἀλλ’
book 1.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥσπερ ἀπὸ τοῦ φέρων φέροντο, οὕτως ἀπὸ τοῦ στενάχων
book 1.4 στενάχοντο λέγει. A. Ar. 315.
book h7-9.1 μὴ δή πω ὑπ’ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
book h7-9.2 ἀλλ’ αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
book h7-9.3 Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
book 7.1 μὴ δή πω: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ μηδέ πω. A. Hoc
book 7.2 recte habere vix potest: nec scimus quid eo faciamus.
book 8.1 αὐτοῖς ἵπποισι: ὅτι λείπει ἡ σύν. B. Cf. p. 26
book 8.2 (ubi l. Ψ 8 pro Υ 8).
book 9.1 ὃ γὰρ γέρας: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ τὸ γὰρ γέρας.
book 9.2 ἢ περισσὸς ὁ γάρ. A. Cf. p. 34.
book h15-6.1 δεύοντο δὲ τεύχεα φωτῶν
book h15-6.2 δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
book 15.1 ἡ διπλῆ ὅτι ὡς σπάρτα λέλυνται (Β 135). AB
book 15.2 Cf. p. 15.
book 16.1 ἡ διπλῆ ὅτι αὐξητικῶς τὸ τοῖον, οὐχ ὡς οἱ γλωσσο-
book 16.2 γράφοι (Ar. 44) ἀξιοῦσιν, ἀγαθόν. A.
book 18.1 χεῖρας ἐπ’ ἀνδροφόνους θέμενος στήθεσσιν
book 18.2 ἑταίρου: ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πότερον τὰς ἑαυτοῖ
book 18.3 χεῖρας εἰς τὰ τοῦ Πατρόκλου στήθη ἢ τὰς τοῦ Πατρόκλου
book 18.4 εἰς τὰ ἑαυτοῦ. A. Cf. ad Σ 317.
book 29.1 αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ: ἡ διπλῆ
book 29.2 ὅτι τάφον τὸ δεῖπνον τὸ περὶ τὴν ταφὴν γινόμενον. A. Ar. 153.
book 34.1 ἡ διπλῆ ὅτι ψιλῶς προενεκτέον κοτυλήρυτον· οὐ
book 34.2 γὰρ ἀπὸ τῆς ῥύσεως, ἀλλ’ ἀπὸ τοῦ ἀρύσαι. A. Ar. 321.
book 36 εἰς Ἀγαμέμνονα: [σημείωσαι] ὅτι τῇ εἴς ἐπ’ ἐμ-
book 36 ψύχων· ὤφειλε γὰρ τὴν πρός. A. qu. ep. 88.
book 37.1 σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον
book 37.2 κῆρ: ἡ διπλῆ ὅτι σπουδῇ μετὰ πολλῆς κακοπαθείας (Ar. 122).
book 37.3 καὶ ἐλλείπει ἡ πρόθεσις· ἔστι γὰρ ἀντὶ τοῦ περὶ ἑταίρου
book 37.4 (p. 26). καὶ τὸ χωόμενον ἀντὶ τοῦ συγχεόμενον (Ar. 147). A.
book 58.1 οἱ μὲν κακκείοντες ἔβαν κλισίην δὲ ἕκαστος:
book 58.2 ὅτι σύνηθες ἦν ἀναλύειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τῶν μνη-
book 58.3 στήρων (α 424). A. Cf. ad A 606.
book 63.1 νήδυμος ἀμφιχυθείς: ἡ διπλῆ ὅτι σαφῶς ἀπὸ τοῦ
book 63.2 ν ἄρχεται τὸ ὄνομα A. Cf. ad B 2.
book 64.1 Ἴλιον ἠνεμόεσσαν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν
book 64.2 Ἴλιον. A.
book 65.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχὴ Πατροκλῆος δειλοῖο: ἡ διπλῆ ὅτι ἀπ’ εὐ-
book 65.2 θείας τῆς ὁ Πατροκλῆς. καὶ τὸ δειλοῖο δειλαίου (Ar. 122). A.
book 71.1 θάπτε με ὅττι τάχιστα, πύλας Ἀίδαο περήσω:
book 71.2 ἡ διπλῆ ὅτι λείπει τὸ ἵνα ἢ ὅπως. A. Cf. p. 33.
book 73.1 τῆλέ με εἴργουσιν ψυχαί, εἴδωλα καμόντων
book 73.2 οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν: ἡ
book 73.3 διπλῆ ὅτι ἐκτὸς τοῦ ποταμοῦ ὑποτίθεται τὰς τῶν ἀτάφων
book 73.4 ψυχάς, καὶ μὴ ἐπιμισγομένας ταῖς ἐν τῷ ἐρέβει. ἡ δὲ ἀνα-
book 73.5 φορὰ πρὸς τὰ ἀθετούμενα ἐν τῇ νεκυίᾳ (Ar. 176). A.
book 75.1 καί μοι δὸς τὴν χεῖρ’, ὀλοφύρομαι: ὅτι τὸ ἵνα
book 75.2 λείπει (cf. p. 33) καὶ συνέσταλκεν, ἀντὶ τοῦ ἵνα ὀλοφύρωμαι
book 75.3 (cf. p. 13). A.
book 88.1 ἀμφ’ ἀστραγάλοισι χολωθείς: ὅτι ἅπαξ τῆς διὰ
book 88.2 τῶν ἀστραγάλων παιδιᾶς μέμνηται. A. Cf. ad Γ 54.
book h91-2.1 ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
book h91-2.2 χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.
book 91 ἡ διπλῆ ὅτι ἅπαξ ἡ σορός. A.
book 92.1 ἀθετεῖται ὅτι εἰ σορὸν δέδωκεν, ἣν ἐν ἄλλοις λάρ-
book 92.2 νακα καλεῖ (καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκε Ω 795),
book 92.3 πρὸς τί καὶ ἀμφιφορῆα; μετενήνεκται οὖν ἐκ τῆς δευτέρας
book 92.4 νεκυίας (ω 74). τὸ γὰρ οἰκόθεν ἐπάγεσθαι δυσοιώνιστον. A.
book 94.1 (Achilles loquitur): τίπτε μοι ἠθείη κεφαλὴ δεῦρ’ εἰ-
book 94.2 λήλουθας;
book 94.3 ἠθείη κεφαλή: προσφώνησις νέου πρὸς πρεσβύτερον.
book 94.4 δῆλον ὅτι πρεσβύτερος Ἀχιλλέως ὁ Πάτροκλος. Χαμαι-
book 94.5 λέων γράφει ὦ θείη κεφαλή. γελοῖον δὲ ἐπὶ νεκρῷ τὸ θείη·
book 94 διὸ ἡ διπλῆ. A. Ar. 154, 187.
book 96.1 ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
book 96.2 ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γοοῖο: καὶ ἐν-
book 96.3 ταῦθα ὡς εἴρηται (75), λείπει ὁ ἵνα. A. Cf. p. 33.
book 103.1 ὦ πόποι, ἦ ῥά τις ἔστι καὶ ειν Ἀίδαο δόμοισιν
book 103.2 ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν:
book 103.3 ἡ διπλῆ ὅτι τὰς τῶν ἀτάφων ψυχὰς Ὅμηρος ἔτι σωζούσας
book 103.4 τὴν φρόνησιν ὑποτίθεται. A. Schol. non integrum esse vi-
book 103.5.1 detur. Nam sine dubio hac diple cavere voluit Aristarchus, ne
book 103.5.2 quis verbis ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν deciperetur.
book 107.1 ἔικτο δὲ θέσκελον αὐτῷ. Hic locus facit ad
book 107.2 stabiliendam explicationem verbi ἐίσκειν: Π 41.
book 111.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐρῆάς τ’ ὤτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην: ἡ
book 111.2 διπλῆ ὅτι σαφῶς οὐρῆες οἱ ἡμίονοι, πρὸς τὸ οὐρῆας μὲν
book 111.3 πρῶτον ἐπῴχετο (Α 50). A.
book h119-20.1 ταὶ δὲ (δρῦς) μεγάλα κτυπέουσαι
book h119-20.2 πῖπτον. τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοί—
book 119.1 ἡ διπλῆ ὅτι τὸ ἐναντίον ἔφη· πίπτουσαι γὰρ κτύ-
book 119.2 πον παρεῖχον. A.
book 120.1 οὕτως διαπλήσσοντες διὰ τοῦ η αἱ Ἀριστάρχου,
book 120.2 ἀντὶ τοῦ διακόπτοντες. ἄλλοι δὲ διαπλίσσοντες διὰ τοῦ
book 120.3 ι. παρασημειώσαιτο δ’ ἄν τις τοῦτο πρὸς τὸ ἐν τῇ Ὀδυσ-
book 120.4 σείᾳ (κ 440) τῷ οἱ ἀποπλήξας κεφαλήν, ἀντὶ τοῦ ἀπο-
book 120.5 κόψας. A. Compositum est ex Didymo et Aristonico.
book 132.1 ἂν δ’ ἔβαν ἐν δίφροισι παραιβάται ἡνίο-
book 132.2 χοί τε: ὅτι νῦν παραιβάτας εἴρηκε [τοὺς ὁπλίτας]. A. τοὺς
book 132.3 ὁπλίτας irrepsit. Fortasse sic fuit: ὅτι νῦν παραιβάτας εἴ-
book 132.4 ρηκε διὸ ἡ διπλῆ. Nam hic solum substantivo usus est. Cf.
book 132.5 Λ 104. L.
book 135.1 θριξὶ δὲ πάντα νέκυν καταείνυσαν: ἡ διπλῆ
book 135.2 ὅτι τὸ πάντα ἀντὶ τοῦ ὅλον, πρὸς τὸ πᾶσαι δ’ ὠίγνυντο
book 135.3 πύλαι (Β 809 Θ 58) A. Ar. 130.
book 139.1 μενοείκεα νήεον ὕλην: ἡ διπλῆ ὅτι τινὲς τὸ με-
book 139.2 νοεικές πολύ ἀπέδοσαν. ἔστι δὲ τὸ τῷ μένει ἐοικός, οἷον
book 139.3 τὸ ἀρεστόν, ἐξ οὗ τὴν ἱκανὴν βούλεται σημᾶναι. A.
book 155.1 εἰ μὴ Ἀχιλλεὺς αἶψ’ Ἀγαμέμνονα εἶπε πα-
book 155.2 ραστάς: ἡ διπλῆ ὅτι ἔξωθεν τὴν πρός ληπτέον· ἔστι γὰρ
book 155 πρὸς Ἀγαμέμνονα. A. Cf. p. 26.
book 157.1 λαὸς Ἀχαιῶν Πείσονται μύθοισιν: ὅτι πρὸς
book 157.2 τὸ νοητὸν ἀπήντηκεν, ὁ λαὸς πείσονται. A. Cf. p. 16.
book 160.1 (οἷσι μάλιστα) κήδεός ἐστι νέκυς· παρὰ δ’ οἵ τ’
book 160.2 ἀγοὶ ἄμμι μενόντων: ἡ διπλῆ ὅτι—Sequuntur Herodia-
book 160.3 nea. Non dubium quin diple pertinuerit ad κηδεος ἐστι. Pro
book 160.4 genetivo habuisse Aristarchum non absimile vero, quod ita ac-
book 160.5.1 cepit τιμῆς ἔσεαι I 605. Fortasse etiam ἡ διπλῆ ὅτι φρόν-
book 160.5.2 τιδος ἄξιος (quod est in initio scholii). L. τὸ δὲ μενόντων
book 160.5.3 ἀντὶ τοῦ μενέτωσαν. A. Cf. B 438.
book 169.1 δρατὰ σώματα: ἡ διπλῆ πρὸς τὴν μετάθεσιν, ὅτι
book 169.2 ἀντὶ τοῦ δαρτά. A.
book 183.1 (Ἕκτορα δ’ οὔ τι) δώσω Πριαμίδην πυρὶ δαπτέ-
book 183.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεν, ἀλλὰ κύνεσσιν: ἡ διπλῆ ὅτι ἀπὸ κοινοῦ τὸ δαπτέμεν. A.
book 186.1 ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ: ἡ διπλῆ ὅτι μύρου τὴν
book 186.2 μὲν ὀνομασίαν ἀγνοεῖ, τὴν δὲ σκευασίαν οἶδεν· τὸ γὰρ ῥό-
book 186.3 δινον οὕτως νῦν εἶπεν ἔλαιον ῥοδόεν. A. Cf. Ξ 172, Ar.
book 186.4 199, 348.
book 188.1 τῷ δ’ ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλ-
book 188.2 λων. Nube Hectoris cadaver tegit Apollo, non aegide; reji-
book 188.3 ciendi igitur versus Ω 20 sq.
book 203.1 πάντες ἀνήιξαν, κάλεον τέ μιν εἰς ἓ ἕκαστος.
book 203.2 Aristarcheis notatus, quoniam alterum hemistichium hoc loco
book 203.3 apte positum, non O 86.
book 221.1 ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο: ἡ δι-
book 221.2 πλῆ ὅτι δωδεκασύλλαβος καὶ ἐκ σπονδείων. A. Cf. ad Λ 130.
book 226.1 ἦμος δ’ ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν:
book 226.2 ἡ διπλῆ ὅτι μεταφορικῶς ἐρέων ἀντὶ τοῦ ἀπαγγελῶν. τοῦτο
book 226.3 δέ ἐστι προσημαίνων· οὐ γὰρ διὰ λόγου τοῦτο ποιεῖ ἀλλὰ
book 226.4 δι’ ἐπιτολῆς. A.
book 228.1 τῆμος πυρκαιὴ ἐμαραίνετο: καὶ ἐκεῖ οὖν φλὸξ
book 228.2 ἐμαράνθη (I 262) γραπτέον. V.
book h243-5.1 καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
book h243-5.2 θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄιδι κλεύθωμαι·
book h243-5.3 τύμβον δ’ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα.
book 243.1 δίπλακι: ὅτι ἀρσενικῶς. V. Facile potest originem
book 243.2 habere ex Aristonico: v. ad Γ 126. L.
book 244.1 θείομεν: ἡ διπλῆ ὅτι συνέσταλκεν ἀντὶ τοῦ θείω-
book 244.2 μεν (cf. p. 13): καὶ ὅτι κατὰ συγκοπὴν κλεύθωμαι ἀντὶ τοῦ
book 244.3 κελεύθωμαι οἷον πορεύομαι. A.
book 245 ἡ διπλῆ ὅτι τὸ πονέεσθαί ἐστιν ἐνεργεῖν. A. Ar. 87.
book 248.1 (οἵ κεν ἐμεῖο) δεύτεροι ἐν νήεσσι πολυκλήισι
book 248.2 λίπησθε: ὕστεροι. καὶ δεύτατος ἦλθεν (T 51) ἀντὶ
book 248.3 τοῦ ἔσχατος. A.
book 256.1 εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν: ἡ διπλῆ
book 256.2 ὅτι οὐ πᾶσα ἡ γῆ χυτή, ἀλλ’ ἡ τοῖς νεκροῖς ἐπιχεομένη. A.
book 256.3 Ar. 109.
book h263-4.1 θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργα ἰδυῖαν
book h263-4.2 καὶ τρίποδ’ ὠτώεντα δυωκαιεικοσίμετρον.
book 263.1 ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ἀμύμονα
book 263.2 γυναῖκα ἢ ἀμύμονα ἔργα. καὶ ὅτι συνεκδέξασθαι δεῖ τῷ
book 263.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τρίποδ’ ὠτώεντα τὸ φέρεσθαι· ἀκριβὴς γὰρ ὁ ποιητὴς περὶ τὰ ἀκτὰ καὶ φορητά (Ar. 143). A.

αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα: σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ τρίτῳ, καὶ ὅτι ἄπυρον τὸν ἀναθηματικόν, ἕτερον τοῦ ἐμπυριβήτου. A.

καλόν, τέσσαρα μέτρα κεχανδότα: ὅτι ὥριστο τὸ μέτρον. V. Recepimus hoc et sch. V. ad 741, quia Aristarcheam observandi rationem referre videtur.

τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα: ἡ διπλῆ ὅτι οὐκ ἴσον τῷ καθ’ ἡμᾶς ταλάντῳ τὸ (cod. καὶ) παρὰ τοῖς ἀρχαίοις ἦν· ὡς γὰρ ἧσσον τοῦ τρίποδος καὶ τοῦ ἵππου καὶ τοῦ λέβητος τίθεται. A.

πέμπτῳ δ’ ἀμφίθετον φιάλην: ἡ διπλῆ ὅτι φιάλην οὐ τὸ παρ’ ἡμῖν ποτήριον, ἀλλὰ γένος τι λέβητος ἐκπέταλον ἐκ παντὸς μέρους δυνάμενον ἔχειν· διὸ ἀμφίθετον. A. Cf. B ad 243. Pro ἔχειν scribendum ἐρείδεσθαι (cf. Υ 616) vel τίθεσθαι (Apollon. lex. 163, 12 et Eustath.). L.

ἱππῆας τάδ’ ἄεθλα δεδεγμένα κεῖτ’ ἐν ἀγῶνι: ἡ διπλῆ ὅτι τὸ δεδεγμένα ἀντὶ τοῦ προσδεχόμενα, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἐμψύχων. τινὲς δὲ γράφουσιν ἱππεῦσιν τάδ’ ἄεθλα. A.

ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι: ὅτι δυικῶς περιβάλλετον· συνωρίδι γὰρ ἐχρῶντο. A. Ar. 196.

τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο (Achillis equi): ὅτι ἡνίοχος Πάτροκλος Ἀχιλλέως. V. Cf. ad Π 146.

ὣς φάτο Πηλείδης, ταχέες δ’ ἱππῆες ἔγερθεν: ἡ διπλῆ ὅτι ἀντὶ μεσότητος τοῦ ταχέως οὐ κατὰ τῶν ἵππων. A. Cf. p. 29.

Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε Πόδαργον: ἡ διπλῆ ὅτι ἐντεῦθεν παρῴδηται τὰ ὀνόματα τῶν Ἕκτορος ἵππων, Αἴθων καὶ Πόδαργος (Θ 185): οὐ γὰρ εἰσάγει τετρώρῳ χρωμένους. A. Ar. 197.

Ἀγχισιάδης Ἐχέπωλος: ἡ διπλῆ ὅτι ἄδηλον πότερον (cod. ποῖον) τὸ κύριον ὄνομα, μᾶλλον δὲ τὸ Ἐχέπωλος. A.

Ἴλιον ἠνεμόεσσαν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν (cod. τό) Ἴλιον. A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Antilocho equi) ὠκύποδες φέρον ἅρμα: ἡ διπλῆ
book 304.2 ὅτι κοινότερον κατακέχρηται τῷ ἐπιθέτῳ· ἐπιφέρει γοῦν βάρ-
book 304.3 διστοι θείειν (310). A. Cf. ad Γ 351.
book h306-7.1 Ἀντίλοχ’, ἤτοι μέν σε νέον περ ἐόντ’ ἐφίλησαν
book h306-7.2 Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξεν.
book 307.1 ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐδίδαξαν, Ἀρί-
book 307.2 σταρχος δὲ ἐδίδαξεν, ἐπὶ τοῦ Ποσειδῶνος· ἵππειος γάρ. A.
book 310 (ἀλλά τοι ἵπποι) βάρδιστοι θείειν. Cf. ad 304.
book 311.1 τῶν δ’ ἵπποι μὲν ἔασιν ἀφάρτεροι: ἡ διπλῆ
book 311.2 πρὸς τὸ ἀφάρτεροι, ὅτι ἅπαξ ἐνταῦθα. A.
book 337.1 (τὸν δεξιὸν ἵππον) κένσαι ὁμοκλήσας, εἶξαί τέ
book 337.2 οἱ ἡνία χερσίν: ἡ διπλῆ ὅτι εἶξαι ἀντὶ τοῦ χαλάσαι. A.
book 345.1 οὐκ ἔσθ’ ὅς κε ς’ ἕλῃσι: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ ὃς
book 345.2 ἂν ἕλοι σε (cod. ἕλῃ σε). A. Cf. p. 10.
book 358.1 στὰν δὲ μεταστοιχί: ὅτι ἀντὶ τοῦ ἐπὶ στίχου·
book 358.2 οὐ γὰρ ἀπὸ ταὐτοῦ τέρματος ὥσπερ ἐπὶ τῶν δρομέων ἡ
book 358.3 ἄφεσις γίνεται· διὸ καὶ κληροῦνται περὶ τῆς στάσεως. οὐ
book 358.4 δεόντως οὖν ἐπὶ τῶν δρομέων μετάκειται ὁ στίχος ἐντεῦθεν
book 358.5.1 (757). A. Apud Eustathium in his στοῖχος et στίχος scriptum
book 358.5.2 promiscue. L.
book 364.1 οἱ δ’ ὦκα διέπρησσον πεδίοιο: ἡ διπλῆ ὅτι λεί-
book 364.2 πει ἡ διά, διὰ πεδίου. A. Cf. p. 2l.
book 372.1 οἱ δ’ ἐπέτοντο κονίοντες πεδίοιο: ἡ διπλῆ ὅτι
book 372.2 λείπει ἡ διά, διὰ πεδίοιο. A. Cf. p. 26.
book 382.1 καί νύ κεν ἢ παρέλασς’ ἢ ἀμφήριστον ἔθη-
book 382.2 κεν. Hic recte scribi ἢ ἀμφήριστον, contra 572 οὐδ’ ἀμ-
book 382.3 φήριστον.
book 385.1 τοῖο δ’ ἀπ’ ὀφθαλμῶν χύτο δάκρυα χωομέ-
book 385.2 νοιο: ἡ διπλῆ ὅτι χωομένοιο ἀντὶ τοῦ συγκεχυμένου. A.
book 385.3 Ar. 147.
book 403.1 ἔμβητον καὶ σφῶι: ἡ διπλῆ ὅτι ὑγιῶς κεῖται ἡ
book 403.2 ἀντωνυμία χωρὶς τοῦ ν. A.
book h404-6.1 ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω
book h404-6.2 Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
book h404-6.3 νῦν ὤρεξε τάχος καὶ ἐπ’ αὐτῷ κῦδος ἔθηκεν.
book 405-6.1 ἀθετοῦνται οἱ δύο· πῶς γὰρ τὸ ἐκ τῆς Ἀθη-
book 405-6.2 νᾶς (cod. Ἀθήνης) γενόμενον οἶδεν ὁ Ἀντίλοχος; καὶ τὸ
book 405-6.3 τοῦ Τυδείδεω ἵπποισι [περισσόν· καὶ γὰρ ἄνευ τούτου] δῆ-
book 405-6.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λον ὅτι περὶ [τῶν ἵππων] τοῦ Διομήδους ἐστὶν ὁ λόγος. A.
book 405-6.5 Verba inclusa inserui, tale quid enim excidisse apparet.
book 408.1 μὴ σφῶιν ἐλεγχείην καταχεύῃ Αἴθη: ἡ δι-
book 408.2 πλῆ ὅτι σφῶιν ὑμῖν ἢ ὑμῶν. ἄνω δὲ (403) ἔμβητον καὶ
book 408.3 σφῶι· τιταίνετον ἀντὶ τοῦ ἔμβητε ὑμεῖς. A.
book 411.1 οὐ σφῶιν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
book 411.2 ἔσσεται—ἡ διπλῆ πρὸς τὸ σφῶι ὅτι οὐχ ὑμῖν.
book 411.3 A. Si hoc recte habet, spectat ad v. 403. Fortasse autem
book 411.4 fuit: πρὸς τὸ σφῶιν, ὅτι ὑμῖν.
book 413.1 αἴ κ’ ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄε-
book 413.2 θλον: ἡ διπλῆ ὅτι ἔδει ἀποκηδησάντων ὑμῶν. A. Cf. p. 19.
book 431.1 ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλον-
book 431.2 ται: ἡ διπλῆ πρὸς τὸ σχῆμα ὅτι οὖρα πέλονται καὶ οὐ πέ-
book 431.3 λεται. A. Cf. p. 15.
book 454.1 ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν: οὕτως εἴωθε
book 454.2 λέγειν τὸ παρὰ μικρὸν (ins. videtur τετελειωμένον vel τέλειον
book 454.3 cf. ad Σ 378), ἀντὶ τοῦ ὃς μὲν τὸ λοιπὸν σῶμα. A. οἱ δὲ
book 454.4 γλωσσογράφοι (Ar. 44) τόσον ἀντὶ τοῦ τὸ σῶμα. B.
book 459.1 ἄλλοι μὲν δοκέουσι παροίτεροι ἔμμεναι
book 459.2 ἵπποι: ἡ διπλῆ πρὸς τὸ παροίτεροι, ὅτι τοπικῶς ἀντὶ τοῦ
book 459.3 πρότεροι κατὰ τὸν δρόμον. A.
book 471.1 δοκέει δέ μοι ἔμμεναι ἀνήρ
book 471.2 Αἰτωλὸς γενεήν, μετὰ δ’ Ἀργείοισιν ἀνάσσει,
book 471.3 Τυδέος ἱπποδάμου υἱός—ἀθετεῖται ὅτι τὸ
book 471 ἐπεξηγεῖσθαι ποιητικόν, οὐχ ἡρωικοῦ προσώπου. A.
book 475.1 ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται:
book 475.2 ὅτι διὰ πολλοῦ πεδίου. A. Cf. p. 26.
book h478-9.1 ἀλλ’ αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τί σε χρή
book h478-9.2 λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες
book h478-9.3 ἄλλοι.
book 478.1 οὐδέ τί σε χρή: ἀπὸ κοινοῦ τὸ λαβρεύεσθαι· ὃ
book 478.2 μὴ νοήσας τις προσέθηκε τὸν ἑξῆς στίχον. V.
book 479.1 ἀθετεῖται ὅτι οὐκ ἀναγκαῖος· πρόκειται γὰρ τὸ
book 479.2 ἀλλ’ αἰεὶ μύθοισι λαβρεύεαι. καὶ τὸ πάρα γὰρ καὶ
book 479.3 ἀμείνονες ἄλλοι οὐ δεόντως ἐπιλέγεται· οὐ γὰρ ἀμεινό-
book 479.4 νων ἔργον τὸ λαβρεύεσθαι. A.
book 481.1 εὔληρα: ἡ διπλῆ ὅτι ἅπαξ τὰς ἡνίας οὕτως κέ-
book 481.2 κληκεν ἐνταῦθα. A.
book 485.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος: ὅτι ἀντὶ τοῦ ἄγε τὸ δεῦρο. A.

ἵστορα δ’ Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω: ἡ διπλῆ ὅτι ἵστορα ἀντὶ τοῦ μάρτυρα, οἷον συνθηκοφύλακα. A.

(ἅρματα) ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον: ὅτι τὰ ἅρματα ἐπέτρεχον καὶ οὐκ ἐπέτρεχεν. A. Cf. p. 15.

αὐτὸς δ’ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος: ἡ διπλῆ ὅτι τοῦτο διακρίνει τὴν ἐν ἄλλοις ἀμφιβολίαν. πρὸς τὸ ἐνώπια παμφανόωντα (Θ 435): δείκνυται γὰρ τὰ ἅρματα παμφανόωντα. A.

δῶκε δ’ ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα καὶ τρίποδ’ ὠτώεντα φέρειν: αἱ διπλαῖ πρὸς τὴν διαφορὰν τοῦ ἄγειν καὶ φέρειν. A. Ar. 143.

Ἀντίλοχος Νηλήιος: ἡ διπλῆ ὅτι ἀπὸ τοῦ προπάτορος ὁ Ἀντίλοχος Νηλήιος. A.

(ἵππος—ὅς ῥα ἄνακτα) ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν: ἡ διπλῆ ὅτι διὰ πεδίου. A. Cf. p. 26.

πολέος πεδίοιο θέοντος: ἡ διπλῆ ὅτι διὰ πεδίου. A. p. 26.

δίσκουρα: σημειοῦνταί τινες (Ar. 13) ὅτι ἃ ἄνω εἶπε δίσκου οὖρα, νῦν δὲ συνθέτως δίσκουρα. A. Aut ἅ delendum aut δέ.

τῷ κέν μιν παρέλασσ’ οὐδ’ ἀμφήριστον ἔθηκεν: ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἢ ἀμφήριστον ἔθηκεν, οὐκ εὖ· νῦν γὰρ οὐχ ἁρμόζει, ἐπὶ Διομήδους δὲ τοῦ σύνεγγυς τρέχοντος (382). διὰ δὲ τούτου βούλεται λέγειν οὐδ’ ὅλως ἀμφήριστον. A.

ἡ διπλῆ ὅτι τὸ ἤκιστος τῶν ἅπαξ εἰρημένων ἐστιν. A.

ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσοθεν ἵππους: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἐλαύνων ὠκέας ἵππους, ὡς ἡνιοχοῦντος αὐτοῦ· συντετριμμένου δὲ τοῦ ἅρματος ἔμπροσθεν γενόμενος ἐλαύνει, τὰς πλευρὰς τῶν ἵππων τύπτων. A.

δεύτερ’· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός: ὅτι ἔν τισιν ὑποτάσσονται τούτῳ τὰ τρίτα δ’ Αν-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίλοχος, τέτρατα ξανθὸς Μενέλαος, πέμπτα δὲ Μη-
book 538.4 ριόνης θεράπων ἐὺς Ἰδομενῆος. χωρὶς δὲ τοῦ μηδὲ
book 538.5.1 τὸν χαρακτῆρα ἔχειν Ὁμηρικόν, ἔτι καὶ πρὸς οὐδὲν γίνεται
book 538.5.2 ἡ ἐξαρίθμησις τῆς τάξεως. A.
book 543.1 ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι αἴ κε τε-
book 543.2 λέσσῃς: σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ μηνίσω. A. Ar. 137.
book 544.1 μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον: ἡ διπλῆ
book 544.2 ὅτι ἀντὶ τοῦ ἔοικας. A. Ar. 125.
book 551.1 τῶν οἱ ἔπειτ’ ἀνελὼν δόμεναι καὶ μεῖζον
book 551.2 ἄεθλον: ἡ διπλῆ ὅτι τὸ ἔπειτα ἀντὶ τοῦ μετὰ ταῦτα· ἀν-
book 551.3 τιδιέσταλται γοῦν τὸ αὐτίκα (552)· ἡ δὲ ἀναφορὰ πρὸς τὸ
book 551.4 Φοῖνιξ μὲν πρώτιστα, αὐτὰρ ἔπειτ’ Αἴας τε μέγας
book 551.5 (I 169). A. Ar. 154.
book 568.1 (ἐν δ’ ἄρα κῆρυξ) χερσὶ σκῆπτρον ἔθηκεν: ἡ δι-
book 568.2 πλῆ πρὸς τοὺς δημηγοροῦντας, ὅτι σκῆπτρα ἔλαβον. A. Ar. 198.
book 574.1 ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ’ ἐπ’
book 574.2 ἀρωγῇ: ἡ διπλῆ ὅτι οὐκ εἰς τὸ μέσον παρελθόντες, ἀλλὰ
book 574.3 μέσον δικάσατε, μήτε τούτω προσχαριζόμενοι μήτε ἐμοί.
book 574.4 διὸ ἐπιφέρει μηδ’ ἐπ’ ἀρωγῇ. A.
book 581.1 Ἀντίλοχ’, εἰ δ’ ἄγε δεῦρο διοτρεφές, ἣ θέμις
book 581.2 ἐστίν: ἀθετεῖται ὅτι ἀκαίρως λέγει διοτρεφές, ὀργιζόμενος
book 581.3 αὐτῷ. A. Cf. ad Γ 352.
book h602-4.1 νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτός
book h602-4.2 χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ’ ἀεσίφρων
book h602-4.3 ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
book 603.1 ἡ διπλῆ ὅτι παρήορος ὁ παρηρτημένος τὰς φρένας,
book 603.2 οὐκ ἀραρὼς οὐδὲ κατὰ χώραν ἔχων αὐτάς (Ar. 149). καὶ ὅτι
book 603.3 χωόμενος νῦν ἀντὶ τοῦ χολούμενος (Ar. 147). A.
book 604.1 ἡ διπλῆ ὅτι νῦν μόνον οὕτως ἐσχημάτισε, νεοίη
book 604.2 ἀντὶ τοῦ νεότης. A.
book 616.1 ἀμφίθετος φιάλη: ἡ διπλῆ πρὸς τὴν ἀμφίθετον,
book 616.2 ὅτι ἡ πανταχόθεν ὑπέρεισιν ἔχουσα (v. ad 270): καὶ ὅτι οἰ-
book 616.3 κονομικῶς ὑπολείπεται ἔπαθλον, ἵνα μὴ ὁ Νέστωρ ἄτιμος
book 616.4 γένηται ἐν τῷ ἐπὶ Πατρόκλῳ ἀγῶνι. A.
book 621.1 οὐ γὰρ πύξ γε μαχήσεαι οὐδὲ παλαίσεις: ἡ δι-
book 621.2 πλῆ ὅτι προτάσσει τὴν πυγμήν, ὡς καὶ ἐν Ὀδυσσείᾳ (θ 246)
book 621.3 οὐ γὰρ πύγμαχοί εἰμεν. ὁ αὐτὸς ἄρα ποιητής. A. Ar. 199.
book 627.1 οὐ γὰρ ἔτ’ ἔμπεδα γυῖα φίλος πόδες, οὐδ’ ἔτι
book 627.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χεῖρες: ἡ διπλῆ ὅτι ἀπὸ τοῦ γάρ ἦρκται, τὸ αἰτιατικὸν προ-
book 627.3 τάξας· καὶ ὅτι ἐπεξηγήσατο τὴν ἔμπεδα γυῖα λέξιν. A. Ar. 119.
book 630.1 ὡς ὁπότε κρείοντ’ Ἀμαρυγκέα θάπτον Ἐπειοί:
book 630.2 ἡ διπλῆ ὅτι τῶν ἐπιταφίων ἀγώνων μέμνηται, ἱερῶν δὲ οὔ.
book 630.3 A. Pro ἐπιταφίων cod. ἀναξίων. Corr. L. Cf. ad X 164. Cf.
book 630.4 Ar. 199.
book h634-5 πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Ἤνοπος υἱόν
book h634-5.2 Ἀγκαῖον δὲ πάλην Πλευρώνιον, ὅς μοι ἀνέστη.
book 634.1 ἡ διπλῆ ὅτι τὴν ὁμοίαν τάξιν καὶ ὁ Νέστωρ τη-
book 634.2 ρεῖ τῶν ἀγωνισμάτων (sc. primum ponens pugilatum cf. ad 621). A.
book 635.1 ἡ διπλῆ πρὸς τὸ ὅς μοι ἀνέστη· δεῖ γὰρ αὐτὸν
book 635.2 ὑποστήσασθαι καθήμενον, τοῦ δὲ κήρυκος παλαιστὰς καλέ-
book 635.3 σαντος ἀνιστάμενον. A.
book h638-9 οἴοισίν μ’ ἵπποισι παρήλασαν Ἀκτορίωνε
book h638-9.2 πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης.
book 638-9.1 σεσημείωται ὁ τόπος πρὸς τὰ περὶ τῶν Μο-
book 638-9.2 λιονιδῶν ζητούμενα. A.
book 641.1 οἱ δ’ ἄρ’ ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
book 641.2 ἔμπεδον ἡνιόχευ’ ὁ δ’ ἄρα μάστιγι κέλευεν: ἡ δι-
book 641.3 πλῆ πρὸς τὴν ἐπανάληψιν ὅτι πυκνῶς μὲν ἐν Ἰλιάδι, ἅπαξ
book 641.4 δὲ ἐν Ὀδυσσείᾳ. A.
book 659.1 ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
book 659.2 πὺξ μάλ’ ἀνασχομένω πεπληγέμεν—ἡ διπλῆ
book 659.3 ὅτι ἰσαρίθμους τοῖς ἐπάθλοις ἀγωνιστὰς καλεῖ (cf. ad 707)
book 659 καὶ τοῦτο ἐπὶ πάντων τάττει (ποιεῖ? L.) A. Ar. 199.
book 661.1 (ᾧ δέ κ’ Ἀπόλλων) δώῃ καμμονίην: ὅτι οὐκ
book 661.2 ἔστιν ἓν ἀνθ’ ἑνὸς καμμονίη νίκη, ὡς οἱ γλωσσογράφοι (Ar.
book 661.3 45) ἀλλ’ ἡ ἐκ καταμονῆς· διὸ ἐπὶ δρομέων οὐ τάσσει, ἀλλ’
book 661.4 ἐπὶ τῶν πυκτευόντων καὶ μονομαχούντων· μετὰ γὰρ κατα-
book 661.5.1 μονῆς. A. Cod. ἡ ἐκ πολλῶν pro ἡ ἐκ καταμονῆς et μία
book 661.5.2 γὰρ καταμ. pro μετά. Corr. L. Ar. 112.
book h678-80.1 (Εὐρύαλος) Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος,
book h678-80.2 ὅς ποτε Θήβας ἦλθε, δεδουπότος Οἰδιπόδαο
book h678-80.3 ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
book 679.1 ἡ διπλῆ ὅτι ἐπὶ τοῦ Μηκιστέως ἀκουστέον ὅς ποτε
book 679.2 Θήβας ἦλθεν, οὐκ ἐπὶ τοῦ Εὐρυάλου, ὡς ὁ Κράτης. καὶ
book 679.3 ὅτι οἱ νεώτεροι παρὰ τὸν Ὅμηρον τὸν Οἰδίπουν φασὶν
book 679.4 ἑαυτὸν τυφλώσαντα ποδηγούμενον εἰς Ἀθήνας ἐλθεῖν καὶ
book 679.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεῖ τελευτῆσαι· νῦν δὲ ὁμόλογον ὅτι ἐν Θήβαις ἐτελεύτη-
book 679.5.2 σεν (Ar. 187). καὶ πρὸς τὸ δεδουπότος· οἱ γλωσσογράφοι
book 679.5.3 (Ar. 45) γὰρ ἓν ἀνθ’ ἑνὸς τεθνηκότος ἐξεδέξαντο. ἐκ παρε-
book 679.5.4 πομένου δὲ νοητέον ὅτι ἤτοι ἐν πολέμῳ τετελεύτηκε· ψο-
book 679.5.5 φοῦσι γὰρ οἱ πίπτοντες· δούπησεν δὲ πεσών (Δ 504): ἢ
book 679.10.1 κατεκρήμνισεν ἑαυτόν· καὶ γὰρ οὗτος ὁ θάνατος μετὰ ψό-
book 679.10.2 φου. A. Hoc totum scholion fuse explicatum Ar. 110.
book 683.1 ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν: ἡ διπλῆ
book 683.2 πρὸς τὸ παλαιὸν ἔθος, ὅτι ἐν ἑνὶ περιζώματι ἠγωνίζοντο.
book 683.3 A. Ar. 199.
book 692.1 ὡς δ’ ὅθ’ ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται
book 692.2 ἰχθύς. Vocabulo φρίξ exorientem procellam significari: Φ 126,
book 692.3 Ar. 99.
book 707.1 ὄρνυσθ’ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον:
book 707.2 ἡ διπλῆ ὅτι ἰσαρίθμους τοῖς ἐπάθλοις δύο καλεῖ. A. V. ad 659.
book 721.1 ἀλλ’ ὅτε δή ῥ’ ἀνίαζον ἐυκνήμιδας Ἀχαιούς:
book 721.2 ἡ διπλῆ ὅτι ἀντὶ τοῦ εἰς ἀνίαν ἦγον καὶ ἐχρόνιζον. τοῦτο
book 721.3 δὲ μὴ νοήσαντες μετέγραψαν ἐυκνήμιδες Ἀχαιοί. A.
book 725.1 δόλου δ’ οὐ λήθετ’ Ὀδυσσεύς: ἡ διπλῆ ὅτι τὸ
book 725.2 δόλιον τοῦ ἥρωος καὶ διὰ τούτων δείκνυται, καὶ ὅτι οὐδέπω
book 725.3 τέχνην ᾔδεσαν ἐν τῷ παλαίειν. A. Ar. 199.
book 726.1 κόψ’ ὄπιθεν κώληπα: σημειοῦνταί τινες καὶ τὸ
book 726.2 κόψ’ ὄπιθεν κώληπα, ὅτι τὸ κῶλον οὕτως εἶπεν. A.
book 741 ἓξ δ’ ἄρα μέτρα Χάνδανεν: ὡρισμένον [ἴσως]
book 741 ἦν τὸ μέτρον. V. Cf. ad 268.
book 753.1 ὄρνυσθ’ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε:
book 753.2 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει πειρήσεσθον
book 753.3 τριῶν ὄντων τῶν κεκλημένων πρὸς τὸν δρόμον. A.
book 757.1 στὰν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ’
book 757.2 Ἀχιλλεύς: ὀβελὸς σὺν ἀστερίσκῳ, ὅτι μετενήνεκται ἐνθάδε
book 757.3 ἀπὸ τῆς ἁρματοδρομίας (358). A. Ar. 199.
book 772.1 γυῖα δ’ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας
book 772.2 ὕπερθεν: ὀβελὸς σὺν ἀστερίσκῳ ὅτι ἐπὶ Διομήδους ὀρθῶς
book 772.3 ἐτέτακτο (E 122—item de Ajacibus N 61 L.). ἐνταῦθα δὲ
book 772.4 ὀλίγῳ λείπεται τοῦ Αἴαντος· εἰ οὖν τὰ γυῖα ἐλαφρὰ ἐποίη-
book 772.5.1 σεν, ἐνίκα ἂν πάντως. πρὸς τί οὖν ἔτι τὸν Αἴαντα κα-
book 772.5.2 τέβαλεν; A.
book 791 ἡ διπλῆ ὅτι ἅπαξ ἐνταῦθα ὠμογέροντα εἶπεν. AB.
book 795.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀντίλοχ’, οὐ μέν τοι μέλεος εἰρήσεται αἶ-
book 795.2 νος: ἡ διπλῆ ὅτι μάταιος καὶ πρὸς οὐδέν· οἱ δὲ νεώτεροι
book 795.3 τὸν ταλαίπωρον μέλεον (Ar. 103). A.
book 800.1 Σαρπήδοντος: ἡ διπλῆ ὅτι ἀπ’ εὐθείας βαρυτό-
book 800.2 νου (cod. ως), ὡς Χαλκώδων. A. Cf. Herod. M 379.
book 805.1 ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν,
book 805.2 ψαύσῃ δ’ ἐνδίνων διά τ’ ἔντεα καὶ μέλαν αἷμα:
book 805.3 ἀθετεῖται ὅτι ἐνδίνων θέλει λέγειν τῶν ἐντοσθίων, σπλάγ-
book 805.4 χνων, ὅπερ οὐχ ἁρμόζει· ἕως γὰρ τοῦ ἀμύξαι μόνον τὸν
book 805.5.1 χρῶτα μονομαχοῦσι. καὶ διά τ’ ἔντεα καὶ μέλαν αἷμα
book 805.5.2 ἐκ τῆς Δολωνείας (K 298) μετάκειται. A. ὅπερ οὐχ ἁρμόζει
book 805.5.3 ins. L. Idem haec adnotavit: Aristarcheam explicationem ha-
book 805.5.4 bemus ut patet, apud Apollon. lex. H. ἐνδίνων τῶν ἐντοσθι-
book 805.5.5 δίων, οἷον τοῦ (l. τῶν) ἐντὸς χρωτός. τῶν ἅπαξ εἰρημένων.
book 805.10.1 Orion p. 52 ἔνδινα τὰ ἔντερα. Ὅμηρός φησι ψαύει δ’ ἐν-
book 805.10.2 δίνων. ὁ δὲ Ἀρίσταρχος ἐτυμολογεῖ ἔνια (I. ἔντινα) τινα
book 805.10.3 ὄντα τὰ (hoc τά del.) ἐντὸς τῶν ἰνῶν (hoc certe summa suspi-
book 805.10.4 cio est affinxisse hunc auctorem Aristarcho) ἢ ἁπλῶς τῶν με-
book 805.10.5 λῶν. ἢ παρὰ τὸ ἐντὸς εἶναι τῶν ὅπλων. οὕτως εὗρον ἐν
book 805.15 ὑπομνήματι τῆς Ἰλιάδος.
book 810.1 τεύχεα δ’ ἀμφότεροι ξυνήια ταῦτα φερέσθων
book 810.2 καί σφιν δαῖτ’ ἀγαθὴν παραθήσομεν ἐν κλισίῃ-
book 810.3 σιν: ἀθετεῖται ὅτι ἔδει καὶ πᾶσιν, ἀλλ’ οὐχὶ τούτοις μόνον·
book 810.4 τί γὰρ τούτοις πέπρακται πλέον; A.
book h822-5.1 καὶ τότε δή ῥ’ Αἴαντι περιδδείσαντες Ἀχαιοί
book h822-5.2 παυσαμένους ἐκέλευσαν ἀέθλια ἶς’ ἀνελέσθαι.
book h822-5.3 αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάσγανον ἥρως
book h822-5.4 σὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι.
book 822.1 ἡ διπλῆ ὅτι ἐκ τούτων καὶ τῶν τοιούτων φαίνεται
book 822.2 καθ’ Ὅμηρον μὴ ὢν ἄτρωτος ὁ Αἴας. A. Ar. 180.
book 824-5.1 ἠθέτηνται· συλλύσεως γὰρ γενομένης ἔδει
book 824-5.2 κοινῇ διελέσθαι τὰ ἔπαθλα· καὶ γὰρ προείρηται ἀέθλια ἶς’
book 824-5.3 ἀνελέσθαι (823). προηθετοῦντο δὲ παρὰ Ἀριστοφάνει. A.
book 826.1 αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον:
book 826.2 σημειοῦνταί τινες ὅτι σόλον τὸν δίσκον εἶπεν. AD. Cf. Ar. 199.
book 843.1 (Tertius jecit Ajax) χειρὸς ἄπο στιβαρῆς, καὶ
book 843.2 ὑπέρβαλε σήματα πάντων: ἀθετεῖται ὅτι δυεῖν προ-
book 843.3 δεδισκευκότων ἔδει εἰπεῖν ἀμφοτέρων. μετενήνεκται δὲ ἐκ
book 843.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς Ὀδυσσείας (θ 192): καὶ ἐκεῖ εὐλόγως ἔστιν ὑπέρβαλε
book 843.5 σήματα πάντων, πλείονες γὰρ δισκεύουσιν. A.
book h845-6.1 ὅσσον τίς τ’ ἔρριψε καλαύροπα βουκόλος ἀνήρ·
book h845-6.2 ἡ δέ θ’ ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας.
book 845.1 ἡ διπλῆ ὅτι ἅπαξ καλαύροπα. σημαίνει δὲ τὸ ῥό-
book 845.2 παλον, ἀπὸ τοῦ καλοῦ καὶ τοῦ ῥέπειν. A.
book 846.1 διὰ βοῦς: διὰ βοῶν, ὡς τὸ διά τ’ ἔντεα (806).
book 846.2 A. Cf. p. 21.
book h850-1.1 αὐτὰρ ὁ τοξευτῇσι τίθει ἰόεντα σίδηρον,
book h850-1.2 κὰδ δ’ ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ’ ἡμι-
book h850-1.3 πέλεκκα.
book 850.1 ἡ διπλῆ ὅτι τινὲς ἰόεντα τὸν μέλανα, ὡς ἰοειδέα
book 850.2 πόντον (λ 107): βέλτιον δὲ τὸν εἰς ἰοὺς εὐθετοῦντα· οἰ-
book 850.3 κεῖον γὰρ τὸ ἔπαθλον τοξόταις. A.
book 851.1 ἡ διπλῆ ὅτι καὶ ἐν Ὀδυσσείᾳ (τ 572, φ 120) ὁ αὐ-
book 851.2 τὸς τρόπος· πελέκεις γὰρ τίθησι δι’ ὧν παρακελεύει (sic)
book 851.3 τοξεύειν τοὺς μνηστῆρας· καὶ νῦν τὸ αὐτὸ τοῦτο ἔπαθλον
book 851.4 γίνεται. A.
book 855.1 (τρήρωνα—ἧς ἄρ’ ἀνώγει) τοξεύειν. „ὃς μέν
book 855.2 κε βάλῃ τρήρωνα πέλειαν“—: ἡ διπλῆ ὅτι ἀπὸ τοῦ
book 855.3 διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετῆλθεν. A. Cf. p. 17.
book 857.1 ὃς δέ κε μηρίνθοιο τύχῃ ὄρνιθος ἁμαρ-
book 857.2 τών: ἡ διπλῆ ὅτι βέλτιον ἦν τοῦτο μὴ προλέγεσθαι ὑπὸ
book 857.3 Ἀχιλλέως, ὥσπερ προγινώσκοντος τὸ ἀπὸ τύχης συμβησό-
book 857 μενον. A. Ar. 376.
book 863.1 οὐδ’ ἠπείλησεν ἄνακτι (ῥέξειν ἑκατόμβην): ἡ
book 863.2 διπλῆ ὅτι νῦν ἠπείλησεν ἀντὶ τοῦ ηὔξατο. A. Ar. 150.
book 880.1 ὠκὺς δ’ ἐκ μελέων θυμὸς πτάτο: ἡ διπλῆ ὅτι
book 880.2 ὠκύς ἀντὶ τοῦ ὠκέως, ὅ ἐστιν εὐθέως. A. Cf. p. 30.
book 882.1 ἂν δ’ ἄρα Μηριόνης πελέκεας δέκα πάντας
book 882.2 ἄειρεν: ἡ διπλῆ ὅτι παρέλκει τὸ πάντας. A. Cf. ad H 161.
book 886.1 καί ῥ’ ἥμονες ἄνδρες ἀνέσταν: ἡ διπλῆ ὅτι
book 886.2 ἥμονες οἱ ἀκοντισταὶ ἀπὸ τοῦ ἱέναι. τινὲς δὲ ἀνέγνωσαν
book 886.3 ῥήμονες, οἰόμενοι τοὺς ῥήτορας· οὐκ ἔστι δὲ λογιστικὸς ὁ
book 886.4 ἀγών. A.
book 891.1 δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος: ἡ
book 891.2 διπλῆ ὅτι ἥμασιν ὁμοίως ἀκοντίσμασι. A.
book h5-10.1 ἀλλ’ ἐστρέφετ’ ἔνθα καὶ ἔνθα
book h5-10.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠύ
book h5-10.3 ἠδ’ ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
book h5-10.4 ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων.
book h5-10.5.1 τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν.
book h5-10.5.2 ἄλλοτ’ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ’ αὖτε
book 6.1 ἕως τοῦ τῶν μιμνησκόμενος (9) ἀθετοῦνται στί-
book 6.2 χοι δʹ, ὅτι εὐτελεῖς εἰσίν, ἀρθέντων δὲ αὐτῶν καὶ ἐμφαντι-
book 6.3 κώτερον δηλοῦται ἡ τοῦ Ἀχιλλέως λύπη· ἀλλ’ ἐστρέφετ’
book 6.4 ἔνθα καὶ ἔνθα, ἄλλοτ’ ἐπὶ πλευράς. [καὶ τοῖς αὐτοῖς
book 6.5.1 καταγίνεται ἀνδροτῆτα, μένος· οὐδὲν γὰρ διαφέρει]. καὶ
book 6.5.2 οὐδέποτε ἀνδροτῆτα εἴρηκε τὴν ἀνδρείαν, ἀλλ’ ἠνορέαν. ἔχει
book 6.5.3 δὲ καὶ τὸ (l. τι L.) δυσεξείληπτον τῶν μιμνησκόμενος·
book 6.5.4 καὶ γὰρ ἄνω εἴρηκεν ἑτάρου μεμνημένος (4). προηθε-
book 6.5.5 τοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει. A. Verba καὶ τοῖς—
book 6.10.1 οὐδὲν γὰρ διαφέρει aliena esse videntur, certe corrupta. Ari-
book 6.10.2 starchus enim ἀνδροτῆτα explicuisse videtur τὴν ἀνδρὸς φύ-
book 6.10.3 σιν, si quidem ex ejus explicationibus derivata sunt haec in
book 6.10.4 scholl. BM. ad h. l.: ἀθετοῦνται δέ, ὅτι ἀνδροτής ἐστιν ἡ
book 6.10.5 τοῦ ἀνδρὸς φύσις, et in scholl. BL. ad Π 857: ἀνδροτῆτα δὲ
book 6.15 οὐ τὴν ἀνδρείαν, ἀλλὰ τὴν ἀνθρωπότητα, τὴν ἀνδρὸς φύ-
book 6.1 σιν. Non putabat igitur bis idem dici ἀνδροτῆτα, μένος; sed
book 6.2 eo offendebatur quod hic usus vocabuli ἀνδροτής ab Homero
book 6.3 abhorreret.
book h14-21.1 ἀλλ’ ὅγ’ ἐπεὶ ζεύξειεν ὑφ’ ἅρμασιν ὠκέας ἵππους,
book h14-21.2 Ἕκτορα δ’ ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
book h14-21.3 τρὶς δ’ ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
book h14-21.4 αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τὸν δὲ δ’ ἔασκεν.
book h14-21.5.1 ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ’ Ἀπόλλων
book h14-21.5.2 πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ’ ἐλεαίρων
book h14-21.5.3 καὶ τεθνηότα περ· περὶ δ’ αἰγίδα πάντα κά-
book h14-21.5.4 λυπτεν
book h14-21.5.5 χρυσείην, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
book 15 περισσὸς ὁ δέ. A. Cf. p. 33.
book 17.1 ἡ διπλῆ ὅτι παρεῖται ἡ ἀνά, καὶ ἔστιν ἀναπαυέσκετο
book 17.2 (cf. p. 27). ἢ (l. καί L.) ὅτι ὁ δέ πάλιν περισσός· οὐ γάρ
book 17.3 ἐστι λέγειν ὅτι (cod. ὂν) ἐδέσμευεν (sc. ut δέασκεν legatur)
book 17.4 ἀλλὰ χωρὶς ὁ δέ, εἶτα ἔασκεν ἀντὶ τοῦ εἴα. A. Cf. p. 33.
book 18 προπρηνέα: ὅτι οὐδὲν πλέον τοῦ πρηνέα. A. Cf. p. 27.
book 20-1.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀθετοῦνται· ἀρκεῖ γὰρ τὸ προειρῆσθαι πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ’ ἐλεαίρων. A.

τὸν δ’ ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ’ ὀτρύνεσκον ἐύσκοπον ἀργειφόντην.
ἔνθ’ ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ’ Ἥρῃ
οὐδὲ Ποσειδάων’ οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ’ ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρή
καὶ Πρίαμος καὶ λαός, Ἀλεξάνδρου ἕνεκ’ ἄτης,
ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
τὴν δ’ ᾔνης’ ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.

ἕως τοῦ τὴν δ’ ᾔνης’ ἥ οἱ πόρε μαχλοσύνην (30) ἀθετοῦνται στίχοι ς′ (hos sex qui obelis notati sunt in Ven. pro spuriis habuit Aristarchus, non octo 23—30, ut ex scholl. BMV. ad v. 23 referens dixit Lehrs. Ar. 187): γέλοιον γὰρ τὸ οὐδέποθ’ Ἥρῃ οὐδὲ Ποσειδάωνι οὐδὲ γλαυκώπιδι κούρῃ· τίνες μὲν γὰρ ἔτι ἐλείποντο τῶν τριῶν σεμνότεροι μετὰ τὸν Δία τῶν μὴ συνευδοκούντων; τήν τε περὶ τοῦ κάλλους κρίσιν οὐκ οἶδεν (v. Δ 52): πολλαχῇ γὰρ ἂν ἐμνήσθη. καὶ τὸ νείκεσσε οὐκ ἔστι κρῖναι (Ar. 155), ἀλλ’ ἐπιπλῆξαι ἢ διαφέρεσθαι· νεικείων Ἕλενόν τε Πάριν (249) ἀντὶ τοῦ ἐπιπλήσσων· δύο δ’ ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς (Σ 498), διεφέροντο. καὶ ἡ μαχλοσύνη κοινῶς ἐπὶ γυναικὸς μανίᾳ· δέδωκε δ’ αὐτῷ οὐ ταύτην, ἀλλὰ τὴν καλλίστην τῶν τότε Ἑλένην. Ἡσιόδειος δ’ ἐστὶν ἡ λέξις· ἐκεῖνος γὰρ πρῶτος ἐχρήσατο ἐπὶ τῶν Προίτου θυγατέρων. A. Bekkerus ἐπὶ γυναικὶ μανία, Vill. ἐπὶ γυναικὸς μανία, Eustath. ἡ ἐν γυναιξὶ μανία. De ἐπί cum dativo v. Herod. 452. L.

ἕνεκ’ ἄτης: οὕτως Ἀρίσταρχος· τὸ γὰρ ἕνεκα τοῦ ἀπολογουμένου ἐστίν. V. Fortasse sic fuit: ἀθετεῖ Ἀρίσταρχος· τὸ γὰρ ἕνεκ’ ἄτης ἀπολογουμένου ἐστιν: v. Γ 100. L.

(τοί τέ μιν ὦκα) ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν: ἡ διπλῆ ὅτι οὐ μόνον οἱ ἐπὶ ξένης τελευτῶντες ἐκαίοντο, ἀλλὰ καὶ οἱ ἐπὶ τῆς ἰδίας πατρίδος. A. Ar. 198.

ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς
γίγνεται, ἥ τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν:

ἀθετεῖται, ὅτι ἐκ τῶν Ἡσιόδου (ἔ. 316) μετενήνεκται ὑπό τινος νομίσαντος ἐλλείπειν τὸν λόγον (Ar. 358 sq.)· καὶ γὰρ

τοῖς ὑποκειμένοις ἐναντίον τι πεποίηκεν· εἰ γὰρ βλάπτει
book 45.5.2 ἡ αἰδώς, εὔλογον εἰ Ἀχιλλεὺς ἀναιδέστατος βούλοιτο εἶναι. A.
book 45.5.3 Alterum εἰ ins. L.
book h46-7.1 μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
book h46-7.2 ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν.
book 46 μέλλει: ἀντὶ τοῦ ἔοικεν. AB. Ar. 125.
book 47.1 ἡ διπλῆ ὅτι τοῦτο προσέθηκεν, ἐπεὶ κασιγνήτους
book 47.2 τοὺς ἀνεψιούς που λέγει (O 545 Ar. 152). πάλιν δὲ ὁμο-
book 47.3 γάστριος λέγει, καὶ οὐχ ὡς Ζηνόδοτος ἔγραφεν ἐκεῖ (Φ 95)
book 47.4 μή με κτεῖν' ἐπεὶ οὐκ ἰογάστριος Ἕκτορος. A.
book 54.1 κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων: ἀντὶ
book 54.2 τοῦ ἀναίσθητον (Ar. 124). κέχρηται δὲ τῷ εἰδικῷ ἀντὶ γε-
book 54.3 νικοῦ (cf. ad Δ 343 Λ 532 O 252). AM.
book 58.1 γυναῖκά τε θήσατο μαζόν: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 58.2 γυναικὸς μαζόν. Ὁμηρικὸν δὲ τὸ ἔθος· ὡς τὴν μὲν πρυ-
book 58.3 μνὴν ἄμφεπε (Π 124). A. Cf. p. 20.
book h71-3.1 ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν—οὐδέ πῃ ἔστιν
book h71-3.2 λάθρῃ Ἀχιλλῆος—θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεί
book h71-3.3 μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.
book 71-3 ἀθετοῦνται στίχοι γ', ὅτι ψεῦδος περιέχου-
book 71-3.1 σιν· οὐ γὰρ διὰ παντὸς συνδιατρίβει αὐτῷ ἡ Θέτις· τὸ δὲ
book 71-3.2 ἐάσομεν νῦν ἀντὶ τοῦ παρῶμεν, οἷον μηδὲ λέγωμεν· ὅπερ
book 71-3.3 ἀγνοήσαντες οἱ περὶ Ἀντίμαχον ἐποίησαν κλέψαι μὲν
book 71-3.5 ἀμήχανον (v. ad 109). A.
book 74 ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο—
book 77.1 ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα: ἡ
book 77.2 διπλῆ ὅτι ἐξ ὀνόματος μὴ καλέσαντος τοῦ Διὸς ἡ πρὸς τοῦτο
book 77.3 τεταγμένη Ἶρις ὑπακούει, ὥστε καὶ ὅταν ὁ Ἀχιλλεὺς λέγῃ
book 77.4 κοινότερον ἀλλ' ἄγε δή τινα μάντιν (A 62), εὐλόγως οὖν
book 77.5 πάλιν ἐρεῖ ὁ Κάλχας (ib. 78) ὦ Ἀχιλεῦ κέλεαι με. A.
book 78.1 μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου: ἡ διπλῆ
book 78.2 ὅτι τὴν Σαμοθρᾴκην οὕτως εἶπεν. A. Ar. 239.
book 81.1 (μολυβδαίνῃ) ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας
book 81.2 ἐμβεβαυῖα: ἡ διπλῆ ὅτι οὐ λέγει βοὸς κέρας βοὸς τρίχα
book 81.3 διὰ τὸ τριχίνην εἶναι τὴν ὁρμιάν· λιναῖς γὰρ ἐχρῶντο· ἐκ
book 81.4 πόντοιο θύραζε λίνῳ ἐπὶ ἤνοπι χαλκῷ (Π 408). οἱ
book 81.5.1 δὲ νῦν οὐδὲ βοείαις χρῶνται, ἀλλ' ἱππείαις. λέγοι ἂν οὖν
book 81.5.2 βοὸς κέρας κυρίως· κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος
book 81.5.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βοείου, ἣν παρετίθεσαν τῇ ὁρμιᾷ ὑπὲρ τὸ ἄγκιστρον, ὅπως
book 81.5.4 μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸν λίνον. A.
book 85.1 (Thetis) κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ
book 85.2 ἔμελλεν
book 85.3 φθίσεσθ’ ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης·
book 85.4 ἀθετεῖται ὅτι περισσός ἐστι· τὸ γὰρ οἷ ἐστὶν αὐτῷ, καὶ τὸ
book 85.5.1 ἔμελλεν ἀντὶ τοῦ ἐῴκει συνήθως Ὁμήρῳ· οὐχὶ τῇ Θέτιδι
book 85.5.2 ἔμελλεν ἐν Τροίᾳ φθίσεσθαι. A. Hoc emendavi inserto συν-
book 85.5.3 ήθως et mutata interpunctione. Nam apud Bekk. et Vill. sic
book 85.5.4 est: ἀντὶ τοῦ ἐῴκει. Ὁμήρῳ οὐχὶ τῇ Θέτιδι κτλ. Ceterum
book 85.5.5 cf. Ar. 125.
book 97.1 ἀκτὴν δ’ ἐξαναβᾶσαι ἐς οὐρανὸν ἀιχθήτην
book 97.2 πρὸς τὰ περὶ τοῦ Ὀλύμπου· οὐρανὸν γὰρ νῦν εἰπών, ὑπο-
book 97.3 βάς φησιν (104) ἤλυθες Οὔλυμπον δέ. παρ’ ὅσον ἐπου-
book 97.4 ράνιά τινα μέρη ἐστὶ τοῦ Ὀλύμπου, ὑπὲρ τὰ νέφη διή-
book 97.5 κοντα. A. Pro περί cod. πέρατα. Emend. L. Ar. 171.
book h100-2.1 ἡ δ’ ἄρα (Thetis) πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ’
book h100-2.2 Ἀθήνη.
book h100-2.3 Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκεν
book h100-2.4 καί ῥ’ εὔφρην’ ἐπέεσσι· Θέτις δ’ ὤρεξε πιοῦσα.
book 100.1 ἡ διπλῆ πρὸς τὴν καθέδραν Ἀθηνᾶς καὶ Ἥρας
book 100.2 ὅτι ἑκατέρωθεν τοῦ Διός. καὶ ὅταν λέγῃ αἱ δ’ οἶαι Διὸς
book 100.3 ἀμφίς (Θ 444—edd. αἰδοῖαι), τὸ αὐτὸ σημαίνει, Διὸς ἑκα-
book 100.4 τέρωθεν, οὐχ ὥς τινες δέχονται, χωρίς. A.
book 102 ἀντὶ τοῦ ὀρέξασα ἔπιεν. M. Cf. ad Ψ 119.
book 104.1 ἤλυθες Οὔλυμπον δὲ θεὰ Θέτι: ὅτι ἄνω εἶπεν
book 104.2 εἰς οὐρανὸν ἠιχθήτην, νῦν δὲ εἰς Ὄλυμπον παραγεγονέναι·
book 104.3 αἱ γὰρ κορυφαὶ τοῦ Ὀλύμπου ἐπουράνιοι. A. Ar. 171.
book 108.1 Ἕκτορος ἀμφὶ νέκυι: ἡ διπλῆ ὅτι οὕτως λέγει
book 108.2 Ἕκτορος νέκυι, οὐχ Ἕκτορι (cod. Ἕκτορα). A. Cf. ad P 240.
book 109.1 κλέψαι δ’ ὀτρύνουσιν ἐύσκοπον ἀργειφόν-
book 109.2 την: ἐντεῦθεν γέγονεν ἡ προδιασκευή (Ar. 351) ἀλλ’ ἤτοι
book 109.3 κλέψαι μὲν ἐάσομεν. A.
book 110.1 αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆι προϊάπτω: ἡ
book 110.2 διπλῆ ὅτι προϊάπτω Ἀρίσταρχος. καὶ ταὐτόν ἐστι τῷ
book 110.3 προϊάλλω. A.
book 121.1 βῆ δὲ (Thetis) κατ’ Οὐλύμποιο καρήνων ἀίξασα:
book 121.2 ἡ διπλῆ ὅτι πάλιν ἐξ Ὀλύμπου λέγει κατιέναι· ἄνω δέ (97)
book 121.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐρανὸν ἀϊχθήτην. A. Ar. 171.
book 124.1 ἐντύνοντο ἄριστον: ἡ διπλῆ ὅτι ἅπαξ νῦν ἐν
book 124.2 Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ (π 2) τὸ ἄριστον. ἔστι δὲ τὸ
book 124.3 πρώϊνον ἔμβρωμα· τρὶς γὰρ τροφὰς ἐλάμβανον οἱ ἥρωες.
book 124.4 A. Ar. 132.
book h129-32.1 σὴν ἔδεαι κραδίην μεμνημένος οὔτε τι σίτου
book h129-32.2 οὔτ’ εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
book h129-32.3 μίσγεσθ’· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
book h129-32.4 ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
book 130-2.1 ἀθετοῦνται στίχοι γ’, ὅτι ἀπρεπὲς μη-
book 130-2.2 τέρα υἱῷ λέγειν ἀγαθόν ἐστι γυναικὶ μίσγεσθαι. [ἔτι δὲ καὶ
book 130-2.3 ἁπάντων ἀσυμφορώτατόν ἐστι, καὶ μάλιστα τοῖς εἰς πόλεμον
book 130-2.4 ἐξιοῦσι· χρεία γὰρ εὐτονίας καὶ πνεύματος]. καὶ τὸ λέγειν
book 130-2.5.1 ὅτι ὁ θάνατός σου ἐγγύς ἐστιν ἄκαιρον. διεσκεύακε (Ar. 349)
book 130-2.5.2 δέ τις αὐτοὺς οἰηθεὶς ἀποκρέμασθαι οὐδέ τι σίτου. A.
book 130-2.5.3 Inclusa aliena sunt. L.
book 134.1 σκύζεσθαί σοί φησι θεούς, ἑὲ δ’ ἔξοχα πάν-
book 134.2 των: ἡ διπλῆ ὅτι οὕτως εἶπεν ἀντὶ τοῦ ἑαυτόν, ἑέ. A.
book 143 Ἴλιον ἱρήν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 144 βάσκ’ ἴθι Ἶρι ταχεῖα: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ
book 144 ταχέως. AB. Cf. p. 29.
book 145.1 ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον ἴσω
book 145.2 λύσασθαι φίλον υἱόν—ἡ διπλῆ ὅτι τοπικῶς
book 145.3 ἀντὶ προθέσεως· θέλει γὰρ εἰπεῖν εἰς Ἴλιον. A. Cf. p. 28
book 145.4 et Ar. 142.
book 151.1 νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος
book 151.2 Ἀχιλλεύς: ἡ διπλῆ ὅτι οὕτως εἴρηκεν, νεκρὸν ὃν ἔκτεινεν,
book 151.3 ἀντὶ τοῦ ὃν κτείνας νεκρὸν ἐποίησεν, ὡς ἐπὶ τοῦ ἕλκος ἀνα-
book 151.4 ψύχοντα τό μιν βάλε Πάνδαρος ἰῷ (E 795). A. Cf. ad 180.
book 155 ἔσω κλισίην: εἰς κλισίην. V. Cf. ad 184.
book h163-4.1 ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλή
book h163-4.2 κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος.
book 163.1 ἡ διπλῆ ὅτι ἐν ἴσῳ τῷ ἐντυπαδίῳ, ὥστε διὰ τοῦ
book 163.2 ἱματίου τὸν τοῦ σώματος τύπον φαίνεσθαι (Ar. 155). A.
book 164.1 ἡ διπλῆ ὅτι τὸ τοῖο οὐκ ἔστιν ἀγαθοῦ (Ar. 44) ὡς
book 164.2 οἱ γλωσσογράφοι, ἀλλὰ θαυμαστικῶς τοιούτου. καὶ ὅτι κό-
book 164.3 προς ἡ τέφρα. A. Cod. τὰ κόπρια pro ἡ τέφρα. Corr. L. Cf.
book 164.4 ad Σ 23.
book 172.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ’
book 172.2 ἱκάνω: ἡ διπλῆ ὅτι ἀπὸ τῶν ὄσσων προορωμένη (Ar. 97),
book 172.3 καὶ τὸ τόδε τοπικῶς ἀντὶ τοῦ ἐνταῦθα. A.
book 174.1 (Διός) ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’
book 174.2 ἐλεαίρει: ἀστερίσκος ὅτι ἐνταῦθα ὑγιῶς λέγεται, ἐκεῖ δὲ
book 174.3 (B 27) κακῶς ὑπὸ τοῦ Ὀνείρου πρὸς τὸν Ἀγαμέμνονα. A.
book 180 (iteratur versus 151): ἡ διπλῆ ὅτι νεκρὸν ὃν ἔκτανε. A.
book 184.1 ἔσω κλισίην: ἡ διπλῆ ὅτι ἀντὶ τοῦ εἰς κλισίην.
book 184.2 A. Cf. p. 28 et Ar. 142.
book 199 ἔσω στρατόν: ἀντὶ τοῦ εἰς στρατόν. B. V. ibidem.
book 205.1 σιδήρειόν νύ τοι ἦτορ: ἡ διπλῆ ὅτι ὑποτάσ-
book 205.2 σουσι στίχον ὡς ἐλλείποντος τοῦ λόγου ἀθάνατοι ποίη-
book 205.3 σαν Ὀλύμπια δώματ’ ἔχοντες (οἳ οὐρανὸν εὐρὺν ἔχου-
book 205.4 σιν V.) πλείων δέ ἐστιν ἔμφασις μὴ προσκειμένου αὐτοῦ. A.
book 208.1 (οὔ ς’ ἐλεήσει) οὐδέ τί ς’ αἰδέσεται: ἡ διπλῆ ὅτι
book 208.2 ἀντὶ τοῦ προσδέξεται ὡς ἱκέτην· μή μιν ἐγὼ μὲν ἵκωμαι
book 208.3 ἰών (X 123). A. Ar. 150.
book 210.1 (τῷ δ’ ὥς ποθι μοῖρα κραταιή) γεινομένῳ ἐπέ-
book 210.2 νησε λίνῳ, ὅτε μιν τέκον αὐτή: [ἡ διπλῆ] ὅτι ἐνταῦθα
book 210.3 καλῶς κεῖται, ἐπὶ δὲ Ἀχιλλέως ἐν τῇ Y (128) οὐκέτι. A.
book 215.1 Τρωιάδων βαθυκόλπων: ἡ διπλῆ πρὸς τοὺς
book 215.2 γράφοντας (B 484) ἔσπετε νῦν μοι Μοῦσαι Ὀλυμ-
book 215.3 πιάδες βαθύκολποι, ὅτι ἐπὶ βαρβάρων τὸ ἐπίθετον τί-
book 215.4 θησιν. A. Ar. 119.
book 222.1 ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλ-
book 222.2 λον: ὁ ἀστερίσκος ὅτι ἐνταῦθα ἁρμοζόντως λέγεται ὁ στί-
book 222.3 χος, ὑπὸ δὲ Νέστορος ἐν τῇ B (81) οὐκέτι. A.
book h228-31.1 ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ’ ἀνέῳγεν,
book h228-31.2 ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
book h228-31.3 δώδεκα δ’ ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
book h228-31.4 τόσσα δὲ φάρεα καλά, τόσους δ’ ἐπὶ τοῖσι χιτῶνας.
book 228.1 ἡ διπλῆ ὅτι ἐπιθήματα τῶν κιβωτίων τὰ πώματα,
book 228.2 καταχρηστικῶς δὲ πίθων καὶ τῶν ὁμοίων. A. Nec omiserit
book 228.3 ὅτι νῦν ἅπαξ εἴρηκεν.
book 229.1 ἡ διπλῆ ὅτι διέσταλκε τὸν πέπλον ἀπὸ τῶν χλαι-
book 229.2 νῶν, καὶ τὰ φάρη ὡς διαπρέποντα τὸν πέπλον οὕτως προσ-
book 229.3 ηγόρευσεν. A. Ar. 193. Haec sic emendanda esse videntur:
book 229.4 καὶ τὰ φάρη ὡς διαφέροντα (v. Sch. ABM ad h. v.), εἰ καὶ
book 229.5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλαχοῦ τὸν πέπλον οὕτως προσηγόρευσεν, ut ε 230, ubi Sch. Palat.: ὅτι κοινότερον νῦν τὸν πέπλον φᾶρος εἴρηκεν.

δέκα πάντα τάλαντα: ἡ διπλῆ ὅτι παρέλκει τὸ πάντα. A. Cf. ad H 161.

ἦ οὔνεσθ’ ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε’ ἔδωκεν: ἡ διπλῆ ὅτι οὔνεσθε ἐκφαυλίζετε καὶ οὐδενὸς ἄξιον ἡγεῖσθε. A.

νεικείων Ἕλενον τε Πάριν τε. νεικεῖν est increpare, v. ad 25.

Δηίφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν: ἡ διπλῆ ὅτι ὁμώνυμος ὁ Ἱππόθοος τῷ Πελασγῷ· Ἱππόθοος δ’ ἄγε φῦλα Πελασγῶν (B 840). καὶ ὅτι ἄδηλον πότερόν ἐστι τὸ κύριον ὁ Δῖος ἢ ὁ Ἀγαυός. A.

Τρωίλον ἱππιοχάρμην: ἡ διπλῆ ὅτι ἐκ τοῦ εἰρῆσθαι ἱππιοχάρμην τὸν Τρωίλον οἱ νεώτεροι ἐφ’ ἵππου διωκόμενον αὐτὸν ἐποίησαν. καὶ οἱ μὲν παῖδα αὐτὸν ὑποτίθενται, Ὅμηρος δὲ διὰ τοῦ ἐπιθέτου τέλειον ἄνδρα ἐμφαίνει· οὐ γὰρ ἄλλος ἱππόμαχος λέγεται. A. Ar. 190.

(οὐδὲ ἐῴκει Hector) ἀνδρός γε θνητοῦ πάις ἔμμεναι ἀλλὰ θεοῖο: Στησίχορος Ἀπόλλωνος αὐτόν φησιν, οὐ νοήσας τὴν ὑπερβολήν. V. Fluxit certe ex Aristonico. L.

πέζῃ ἔπι πρώτῃ: ἡ διπλῆ ὅτι πρώτῃ ἀντὶ τοῦ ἄκρᾳ ἄξαντ’ ἐν πρώτῳ ῥυμῷ (Z 40). A. Ar. 149.

τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσιν κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε’ ἔχοντε: ἡ διπλῆ ὅτι εἰ μὴ προσέθηκε τὸν στίχον, οἱ θέλοντες συγχεῖσθαι τὰ δυικὰ παρ’ Ὁμήρῳ, Ἐρατοσθένης καὶ Κράτης ἔλεγον ἂν ἐπὶ τῶν ἐννέα Πριαμιδῶν τετάχθαι τὼ μὲν ζευγνύσθην. A. Cf. p. 15, 2.

καί εὑ κράτος ἐστὶ μέγιστον: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει καὶ οὗ. A.

(ἡ δὲ παρέστη) χέρνιβον ἀμφίπολος πρόχοόν θ’ ἅμα χερσὶν ἔχουσα: ἀθετεῖται ὅτι παρὰ τὸ σύνηθες αὐτῷ χέρνιβον τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ὕδωρ, ὡς ἡμεῖς· τοῦτο δὲ αὐτὸς εἴωθε καλεῖν λέβητα, τὸ δὲ κατὰ τῶν χειρῶν διδόμενον ὕδωρ χέρνιβα. ἔνιοι δὲ διπλῇ σημειοῦνται ὡς ἅπαξ ἐνταῦθα εἰρημένον. A.

νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλό-

χοιο: λείπει ἡ παρά. A. Cf. p. 26.
book 306.1 εὔχετ’ ἔπειτα στὰς μέσῳ ἕρκεϊ: ἡ διπλῆ ὅτι
book 306.2 ἐλλείπει ἡ πρόθεσις, ἀντὶ τοῦ ἐν μέσῳ ἕρκει στὰς εὔχετο.
book 306.3 A. Cf. p. 25.
book 315.1 αὐτίκα δ’ αἰετὸν ἧκε, τελειότατον πετεη-
book 315.2 νῶν: ἡ διπλῆ ὅτι οὐ τὸν τῷ σώματι τέλειον, ἀλλὰ τὸν ἐπι-
book 315.3 τελεστικώτατον. A.
book 318.1 (θύρη) ἐυκλήις ἀραρυῖα: ἡ διπλῆ ὅτι δύναται
book 318.2 καὶ κατὰ σύνθεσιν ἐυκλήις, εὐεπίκλειστος, χωρὶς δὲ τὸ ἀρα-
book 318.3 ρυῖα· δύναται δὲ καὶ κατὰ συναλοιφήν, εὖ ταῖς κλεισὶν ἀρα-
book 318.4 ρυῖα. A.
book 330.1 τὼ δ’ οὐ λάθον εὐρύοπα Ζῆ-
book 330.2 ν’ ἐς πεδίον προφανέντε: ἡ διπλῆ πρὸς τὴν συνα-
book 330.3 λοιφήν, ὅτι ἐν δύο στίχοις· τὸ γὰρ πλῆρές ἐστι Ζῆνα ἐς πε-
book 330.4 δίον φανέντε. A.
book 337.1 ὡς μήτ’ ἄρ τις ἴδῃ μήτ’ ἄρ τε νοήσῃ: ἡ διπλῆ
book 337.2 ὅτι ἴδῃ καὶ νοήσῃ παραλλήλως (cf. ad N 276) καὶ οὐ ταὐ-
book 337.3 τόν ἐστιν. AB. καὶ οὔ ins. L.
book 338 Πηλείωνα δ’ ἱκέσθαι: ἡ διπλῆ ὅτι οὕτως εἴ-
book 338.1 ρηκε Πηλείωνα δέ, εἰς Πηλείωνα, ἀντὶ τοῦ πρὸς Πηλείωνα
book 338.2 ἢ ἐπὶ Πηλείωνα. AB. ὁμοίως τῷ εἰς Ἀγαμέμνονα δῖον ἄγον
book 338.3 (H 312). V. Cf. qu. ep. p. 88.
book h341-2.1 (καλὰ πέδιλα) ἀμβρόσια χρύσεια, τά μιν φέρον
book h341-2.2 ἠμὲν ἐφ’ ὑγρήν
book h341-2.3 ἠδ’ ἐπ’ ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο
book 341-2.1 ὁ ἀστερίσκος ὅτι ἐνταῦθα ὀρθῶς κεῖνται, καὶ
book 341-2.2 ἐπὶ τοῦ πρὸς Καλυψὼ διαπεραιουμένου Ἑρμοῦ (ε 44), ἐν
book 341-2.3 δὲ τῇ A ῥαψῳδίᾳ τῆς Ὀδυσσείας (97) οὐκέτι. A.
book 367.1 (εἴ τίς σε ἴδοιτο) τοσσάδ’ ὀνείατ’ ἄγοντα: ἡ
book 367.2 διπλῆ ὅτι οὐ πάντως βρώματα τὰ ὀνείατα, ὡς οἱ γλωσσο-
book 367.3 γράφοι (Ar. 44), ἀλλὰ πάντα τὰ ὄνησίν τινα περιποιοῦντα,
book 367.4 ὡς νῦν τὰ δῶρα. καὶ ὅτι ἄγοντα εἴρηκεν, οὐ φέροντα· οὐ
book 367.5 γὰρ αὐτὸς ἐβάσταζεν. A. Ar. 143.
book 370.1 ἀλλ’ ἐγὼ οὐδέν σε ῥέξω κακά: ἡ διπλῆ ὅτι τὸ
book 370.2 δεν παρέλκεται. A. Ar. 322.
book 383 Ἴλιον ἱρήν: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. A.
book 394.1 ἡμεῖς δ’ ἑσταότες θαυμάζομεν: ἡ διπλῆ ὅτι
book 394.2 ἀντὶ τοῦ μετ’ ἐκπλήξεως ἐθεώμεθα. ABM. Ar. 149.
book 395.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Achilles) κεχολωμένος Ἀτρείωνι: ὅτι τὴν μῆνιν διὰ τοῦ χόλου (Bekk. χόλος) ἀντέφρασεν. V. Ar. 137.

A versu 405 usque ad 504 eadem recentiori manu qua codex alias suppletus—non sine mendis descriptus est. Villoiso. Unde et hic scholia A desunt. In codd. B et V. nonnulla sunt ex Aristonico derivata, velut ad 409, 444, 462, 471, 474, 487, fortasse etiam ad 476 qui rejectus esse dicitur in cod. V. Cf. Athen. p. 12.

νέον δ’ ἀπέληγεν ἐδωδῆς ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα. Versu 475 docemur Achillem cum maxime recentem esse a coena; abusive igitur positus vs. 628 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος.

πεντήκοντά μοι ἦσαν, ὅτ’ ἤλυθον υἷες Ἀχαιῶν. Ut Priamus hos quinquaginta filios ex pluribus uxoribus sustulit, ita fortasse etiam Neleus duodecim illos quos habuisse dicitur Λ 692. Nam e Chloride tres tantum genuit λ 286. πρὸς τοὺς χωρίζοντας.

ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν. Hinc Zenodotus scripsit ἰογάστριος pro ὁμογάστριος Φ 95.

τῶν δὲ στοναχὴ κατὰ δώματ’ ὀρώρει: ἡ διπλῆ ὅτι καταχρηστικῶς τὰς σκηνὰς οὕτως εἶπεν. A.

αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς, καί οἱ ἀπὸ πραπίδων ἦλθ’ ἵμερος ἠδ’ ἀπὸ γυίων: ἀθετεῖται· προείρηται γὰρ ἱκανῶς διὰ τοῦ αὐτὰρ ἐπεί ῥα γόοιο, καὶ ἀκύρως τέθειται τὸ γυίων· οὐ γὰρ οὕτως λέγει πάντα τὰ μέλη, ἀλλὰ μόνον τὰς χεῖρας καὶ τοὺς πόδας. A. Ar. 119.

ἀλλ’ ἄγε δὴ κατ’ ἄρ’ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ’ ἔμπης ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν—ὅτι τὸ ἁπλοῦν ἔστιν ἕζευ· τούτῳ δὲ ἀνάλογον τὸ σύνθετον κατ’ ἄρ’ ἕζευ, οὐχὶ ἵζευ (Legitne ἕζευ etiam Γ 162 Η 115?). καὶ ὅτι τὸ ἔμπης ἀντὶ τοῦ ὅμως. ἔσθ’ ὅτε δὲ ἀντὶ τοῦ ὁμοίως· ἔμπης μοι δοκέει δαΐδων σέλας (ς 353 Ar. 145). A.

δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων. ἡ διπλῆ ὅτι ἐντεῦθεν Ἡσιόδῳ (ἔ. 94) τὸ περὶ τοῦ πίθου μύθευμα, καὶ ὅτι δύο τοὺς πάντας λέγει πίθους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινὲς δὲ τῶν νεωτέρων ἕνα μὲν τῶν ἀγαθῶν, δύο δὲ τῶν
book 527.4 κακῶν ἐδέξαντο A. Ar. 191.
book 528.1 ἡ διπλῆ ὅτι τὸ ἑάων ἀντὶ τοῦ ἀγαθῶν· καὶ τὸ
book 528.2 υἷος ἑῆος (550) ἀγαθοῦ. διὰ δὲ ἄγνοιαν ὁ Ζηνόδοτος γρά-
book 528.3 φει ἑοῖο (Ar. 121). καὶ ὅτι τὸ ἕτερος ἐπὶ δύο. A.
book 544.1 ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς
book 544.2 ἐέργει: ἡ διπλῆ ὅτι τὸ ἄνω ἀντὶ τοῦ ἀνά, καὶ πρὸς τὸ ἐέρ-
book 544.3 γει, ἵν’ ᾖ ἀνείργει καὶ περιορίζει. A. Cf. p. 28.
book 545.1 καὶ Φρυγίη καθύπερθε: ἡ διπλῆ ὅτι ἑτέρα καθ’
book 545.2 Ὅμηρον ἡ Φρυγία τῆς Τροίας. οἱ δὲ νεώτεροι συγχέουσιν.
book 545.3 A. Verba τῆς Τροίας inseruit L. Cf. Ar. 238.
book h550-1.1 οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
book h550-1.2 οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πά-
book h550-1.3 θῃσθα.
book 550.1 ἡ διπλῆ περιεστιγμένη ὅτι Ζηνόδοτος γράφει ἑοῖο
book 550.2 (cf. ad 528). καὶ ὅτι λείπει ἡ περί (p. 26). A.
book 551.1 ἡ διπλῆ ὅτι οὐ λέγει, οὐκ ἀναστήσεις αὐτόν, ἂν
book 551.2 μὴ πρότερον κακὸν πάθῃς, ἀλλὰ πρότερον κακὸν πείσῃ ἢ
book 551.3 ἀναστήσεις αὐτόν. τοιοῦτο δέ ἐστι καὶ τὸ τὴν δ’ ἐγὼ οὐ
book 551 λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν (A 29). A.
book h556-7.1 (σὺ δὲ δέξαι ἄποινα) πολλὰ τά τοι φέρομεν. σὺ
book h556-7.2 δὲ τῶνδ’ ἀπόναιο καὶ ἔλθοις
book h556-7.3 σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας.
book 556-7.1 ἀθετοῦνται ὅτι ἀνάρμοστοι τῷ προσώπῳ αἱ
book 556-7.2 εὐχαὶ καὶ ἐπαυτόφωρος ἡ ὑπόκρισις. A. Versum sequentem
book 556-7.3 αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο—Alexandrinis igno-
book 556-7.4 tum ne Eustathius quidem novit, qui p. 1364 fin. ὅρα inquit ὅτι
book 556-7.5 τὸ ἔασας ἔλλειψιν ἔχει μυστικωτέραν.
book 566.1 οὐδὲ γὰρ ἂν φυλακοὺς λάθοι: ἡ διπλῆ ὅτι
book 566.2 οὕτως ἐσχημάτισε τοὺς φύλακας.
book 572.1 Πηλείδης δ’ οἴκοιο λέων ὣς ἆλτο θύραζε:
book 572.2 καταχρηστικῶς τὴν κλισίαν δῶμα (512) οἶκον δόμον (673)
book 572.3 εἶπεν. V. Ar. 152.
book 574.1 Αὐτομέδων καὶ Ἄλκιμος: ἡ διπλῆ ὅτι συγκέ-
book 574.2 κοφε τὸν Ἀλκιμέδοντα Ἄλκιμον εἰπών. A.
book 577.1 ἐς δ’ ἄγαγον κήρυκα καλήτορα τοῖο γέρον-
book 577.2 τος: ἡ διπλῆ ὅτι τὸν Ἰδαῖον ἐπιθετικῶς καλήτορα εἶπεν.
book 577.3 A. Cf. ad 701.
book h594-5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Ἕκτορα δῖον ἔλυσα) πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀει-
book h594-5.2 κέα δῶκεν ἄποινα.
book h594-5.3 σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσς' ἐπέοικεν.
book 594.1 ἀθετοῦνται, ὅτι οὐκ ὀρθῶς ἕνεκα δώρων λέγει ἀπο-
book 594.2 λελυκέναι τὸν νεκρόν· ὑπὸ γὰρ τοῦ Διὸς ἠναγκάσθη, ἐπεὶ
book 594.3 οὐκ ἂν τὴν ὑπὲρ Πατρόκλου τιμωρίαν δώρων ἠλλάξατο. A.
book h604-5.1 (Νιόβης) ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες
book h604-5.2 τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο.
book 604.1 ἡ διπλῆ ὅτι οἱ νεώτεροι διαφωνοῦσι περὶ τοῦ ἀρι-
book 604.2 θμοῦ τῶν Νιόβης παίδων· οἱ μὲν γὰρ δεκατέσσαρας οἱ δὲ
book 604.3 εἴκοσι τοὺς Νιοβίδας λέγουσιν. A. Ar. 187.
book 605 ἡ διπλῆ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A.
book h613-7.1 ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
book h613-7.2 νῦν δέ που ἐν πέτρῃσιν ἐν οὔρεσιν οἰοπόλοισιν,
book h613-7.3 ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνάς
book h613-7.4 νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο,
book h613-7.5 ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
book 613.1 ἡ διπλῆ πρὸς τὴν διαφωνίαν τῶν νεωτέρων· φασὶ
book 613.2 γὰρ καὶ αὐτὴν ἀπολελιθῶσθαι, Ὅμηρος δὲ οὔ. A. Ar. 187.
book 614-7.1 ἀθετοῦνται στίχοι δ', ὅτι οὐκ ἀκόλουθοι τῷ
book 614-7.2 ἡ δ' ἄρα σίτου μνήσατ'· εἰ γὰρ ἀπελιθώθη, πῶς σιτία
book 614-7.3 προσηνέγκατο; καὶ ἡ παραμυθία γελοία· φαγέ, ἐπεὶ καὶ ἡ
book 614-7.4 Νιόβη ἔφαγε καὶ ἀπελιθώθη. ἔστι δὲ Ἡσιόδεια τῷ χαρα-
book 614-7.5.1 κτῆρι, καὶ μᾶλλόν γε τὸ ἀμφ' Ἀχελώιον ἐρρώσαντο.
book 614-7.5.2 (Cf. Theog. 8). καὶ τρὶς κατὰ τὸ συνεχὲς τὸ ἔν. πῶς δὲ καὶ
book 614-7.5.3 λίθος γενομένη θεῶν ἐκ κήδεα πέσσει; προηθετοῦντο δὲ καὶ
book 614-7.5.4 παρ' Ἀριστοφάνει. A. Ar. 358.
book 624.1 ὤπτησαν δὲ περιφραδέως ἐρύσαντό τε
book 624.2 πάντα: σημειοῦνταί τινες ὅτι Ἡσίοδος ἐποίησεν ὤπτησαν
book 624.3 μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο. οὐδεὶς δὲ περι-
book 624.4 φραδέως ἐξέλκει κρέα, ἀλλὰ μᾶλλον ὀπτᾷ. A.
book 628.1 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον
book 628.2 ἕντο: ἡ διπλῆ ὅτι κατακέχρηται τῷ στίχῳ. ὁ γὰρ Ἀχιλ-
book 628.3 λεὺς ἤδη κεκόρεσται· λέγει γὰρ νέον δ' ἀπέληγεν ἐδωδῆς
book 628.4 (475). A. Cf. ad I 222.
book 665.1 τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός:
book 665.2 ὅτι μετὰ τοσαύτας ἡμέρας ἔκαιον καὶ μετὰ τὴν ταφὴν περί-
book 665.3 δειπνον ἐποίουν. A. Apud Bekkerum sic est: ὅτι μετὰ τού-
book 665.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

των τῶν ἡμερῶν ἔκαιον καὶ μετὰ τὴν ταφὴν τὸν δεῖπνον
book 665.5 ἐποίουν. A. Corr. L. Cf. ad Ψ 29.
book 701.1 κήρυκά τε ἀστυβοώτην: ἐπιθετικῶς τὸν κήρυκα,
book 701.2 ἀπὸ τοῦ ἐν τῷ ἄστει βοᾶν. A. Cf. ad 577.
book 735.1 (Astyanactem aliquis Graecorum) ῥίψει χειρὸς ἑλὼν
book 735.2 ἀπὸ πύργου, λυγρὸν ὄλεθρον: ἡ διπλῆ ὅτι ἐντεῦθεν
book 735.3 κινηθέντες οἱ μεθ’ Ὅμηρον ποιηταὶ ῥιπτόμενον κατὰ τοῦ
book 735.4 τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα. AD.
book 735.5 Ar. 180.
book 795.1 καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόν-
book 795.2 τες: ἡ διπλῆ ὅτι τὴν σορὸν λάρνακα εἶπεν (Ar. 152). A.
book 795 Cf. ad Ψ 92.

Eulogikon public reading copy · View original HTML at eulogikon.org